6 *οἱ δεινοί εἰσί μου κατήγοροι*. *Οἱ κατασκεδάσαντες* ὑποκείμενον, οἱ κατήγοροι κατηγορούμενον. Τὸ ἄρθρ. *οἱ* ἀποκλείει πάντα ἄλλον κατήγορον, οὕτως ὥςτε ἡ ἔννοια τοῦ ὑποκ. καὶ ἡ τοῦ κατηγ. νὰ ἔχωσι τὸ αὐτὸ λογικὸν πλάτος. Ἂν ἔλεγε *δεινοί μου κατήγοροι*, θὰ ἐσήμαινε μόνον τινὰς τῶν πολλῶν καὶ ἄλλων δεινῶν κατηγόρων. Οὕτως ὁ *Ἀριστείδης ἦν δίκαιος, ἀδωροδόκητος* κ.τ.τ. καὶ *ὁ Ἀριστ. ἦν ὁ δίκαιος, ὁ ἀδωροδόκητος* κ. τ. τ.

7 *οἱ γὰρ ἀκούοντες - οὐδὲ θεοὺς νομίζειν*. Πρὸ τοῦ Σωκρ. Ἀναξαγόρας, Ἀσπασία καὶ Πρωταγόρας ἔφυγον δίκην ἀθείας.

10 *ἐν ᾗ ἂν μάλιστα ἐπιστεύσατε*. Αἱ κατηγορίαι ἐλέγοντο πρὸς ὑμᾶς ἐν τοιαύτῃ ἡλικίᾳ ὄντας, ἐν ᾗ ἂν μάλιστα ἐπιστεύσατε, (εἰ ἦσαν πιθαναί, εἰ ἐτύχετε ἀκούσαντες κ. τ. τ.)

12 *ἐρήμην*· ἐλλειπτικῶς τοῦ *δίκην*. Λέξις δικανική, ἑρμηνεύεται διὰ τοῦ ἐπιφερομένου *ἀπολογουμένου οὐδενός*.

13 *ὃ δὲ πάντων ἀλογώτατον, ὅτι* κ τ. λ. Ἐλλειπτικῶς ἀντὶ «ὃ δ' ἐστὶ πάντων ἀλογώτατον, τοῦτό ἐστιν, ὅτι κ.τ.λ.». Συμπ. 220 a· «καὶ ὃ πάντων θαυμαστότατον Σωκράτη μεθύοντα οὐδεὶς πώποτε ἑώρακε», ἔνθα παραλείπεται καὶ τὸ ὅτι.

14 *πλὴν εἴ τις κωμῳδιοποιός*· τουτέστιν, ἐξαιρουμένων τῶν κωμῳδιοποιῶν, ὧν τὰ ὀνόματα ἦσαν γνωστά. Αἰνίττεται πρὸ πάντων μὲν τὸν Ἀρι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τυγχάνει ὤν· ὅσοι δὲ φθόνῳ καὶ διαβολῇ χρώμενοι ὑμᾶς
ἀνέπειθον, οἱ δὲ καὶ αὐτοὶ πεπεισμένοι ἄλλους πείθοντες,
οὗτοι πάντων ἀπορώτατοί εἰσιν· οὐδὲ γὰρ ἀναβιβάσασθαι
οἷόν τ' ἐστὶν αὐτῶν ἐνταυθοῖ οὐδ' ἐλέγξαι οὐδένα, ἀλλ'
ἀνάγκη ἀτεχνῶς ὥσπερ σκιαμαχεῖν ἀπολογούμενόν τε καὶ
ἐλέγχοντα μηδενὸς ἀποκρινομένου. ἀξιώσατε οὖν καὶ ὑμεῖς,
ὥσπερ ἐγὼ λέγω, διττούς μου τοὺς κατηγόρους γεγονέναι,
ἑτέρους μὲν τοὺς ἄρτι κατηγορήσαντας, ἑτέρους δὲ τοὺς E
πάλαι, οὓς ἐγὼ λέγω, καὶ οἰήθητε δεῖν πρὸς ἐκείνους πρῶ-
τόν με ἀπολογήσασθαι· καὶ γὰρ ὑμεῖς ἐκείνων πρότερον
ἠκούσατε κατηγορούντων καὶ πολὺ μᾶλλον ἢ τῶνδε τῶν
ὕστερον. Εἶεν· ἀπολογητέον δή, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ
ἐπιχειρητέον ὑμῶν ἐξελέσθαι τὴν διαβολήν, ἣν ὑμεῖς ἐν 19
πολλῷ χρόνῳ ἔσχετε, ταύτην ἐν οὕτως ὀλίγῳ χρόνῳ.

στοφάνην, διακωμῳδήσαντα αὐτὸν ἐν ταῖς Νεφέλαις· ἔπειτα δὲ καὶ ἄλλους κωμικούς, τὸν Κρατῖνον, τὸν Ἀμειψίαν, τὸν Εὔπολιν, οἵτινες καθήπτοντο τοῦ Σωκ. ἐν ταῖς κωμῳδίαις. Ἀλλὰ τοὺς κωμικοὺς δὲν ὑπολαμβάνει ὡς λίαν δεινοὺς κατηγόρους· διότι εἶνε τὸ ἐπάγγελμά των νὰ σκώπτωσι καὶ διασύρωσι. Διὰ τοῦτο ἐξαιρεῖ αὐτοὺς ἀπὸ τοῦ ἑπομένου λόγου «ὅσοι δὲ φθόνῳ καὶ διαβολῇ χρώμενοι».

1 *ὅσοι δὲ φθόνῳ - ἀπορώτατοί εἰσι.* Ἀρχόμενος διὰ τοῦ *ὅσοι*, ὃ ἐνοεῖτο νὰ εἴπῃ ὅτι πάντες οἱ λοιποὶ (πλὴν τῶν κωμικῶν), κατηγόρουν φθόνῳ καὶ διαβολῇ· ἀλλὰ προϊὼν εἶδεν ὅτι μέρος αὐτῶν δὲν κατηγόρουν φθόνῳ καὶ διαβολῇ, ἀλλὰ πεισθέντες καὶ ἐξαπατηθέντες ὑπὸ τῶν φθόνῳ καὶ διαβολῇ χρωμένων· ἠναγκάσθη λοιπὸν νὰ διαστείλῃ τούτους ἐκείνων. Ἐκ τούτου προῆλθεν ἀνακολουθία τις ἐν τῷ λόγῳ. Ὀρθῶς θα εἶχεν ὧδε· «Ὅσοι δὲ (τῶν λοιπῶν), οἱ μὲν φθόνῳ καὶ διαβολῇ χρώμενοι, οἱ δὲ καὶ αὐτοὶ πεπεισμένοι, ἄλλους πείθοντες, ὑμᾶς ἀνέπειθον, οὗτοι κ. τ. λ.» Ἡ μετοχ. *πεπεισμένοι* προσδιορίζει αἰτιολογ. τὴν *πείθοντες*, ὡς κυρίαν πρότασιν.

3 *οὐδὲ γὰρ ἀναβιβάσασθαι*. Τὸ ἀναβιβάζειν τινὰ εἰς τὸ δικαστήριον εἶνε τὸ μεταβατικὸν τοῦ ἀναβαίνειν, καὶ ἐλέγετο ἐπὶ τῶν ἀρχόντων τῶν καλούντων τινὰ εἰς δίκην. Τὸ μέσον *ἀναβιβάσασθαι = ποιῆσαι ἀναβῆναι·* μέσ. διάμ. διότι ὁ Σωκ. δὲν εἶχεν αὐτὸς τὴν δύναμιν νὰ ἀναβιβάσῃ τινά.

12 *Εἶεν* = ἂς εἶνε, καλά, ἕως ἐδῶ καλά. Τὸ μετεχειρίζοντο ὁσάκις διηγουμένου τινὸς ὁ ἀκούων ἢ δὲν προσεῖχεν, ὤφειλε δὲ νὰ λέγῃ κάτι τι διὰ νὰ φαίνηται ὅτι προσεῖχεν, ἢ δὲν ἤθελε νὰ τῷ ἀντιλέγῃ. Πολιτ. 350 e· «Εἰ οὖν ἔα με εἰπεῖν ὅσα βούλομαι, ἤ, εἰ βούλει ἐρωτᾶν, ἐρώτα, ἐγὼ δέ σοι, ὥςπερ ταῖς γραυσὶ ταῖς τοὺς μύθους λεγούσαις, *εἶεν* ἐρῶ καὶ κατανεύσομαι καὶ ἀνανεύσομαι». Ἐνταῦθα παρεκάλεσε τοὺς δικαστὰς νὰ τῷ ἐπιτρέψωσι νὰ διαστείλῃ δύο εἴδη κατηγόρων καὶ νὰ ἀπολογηθῇ πρῶτον πρὸς τοὺς παλαιοτέρους ἐκείνους. Ἂν οἱ δικασταὶ ἀπεκρίνοντο, θα ἔλεγον ἐκεῖνοι τὸ *εἶεν* (= ἂς εἶνε, σοῦ τὸ συγχωροῦμεν)· μὴ δυναμένων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βουλοίμην μὲν οὖν ἂν τοῦτο οὕτω γενέσθαι, εἴ τι ἄμεινον καὶ ὑμῖν καὶ ἐμοί, καὶ πλέον τί με ποιῆσαι ἀπολογούμενον· οἶμαι δὲ αὐτὸ χαλεπὸν εἶναι, καὶ οὐ πάνυ με λανθάνει οἷόν ἐστιν. ὅμως δὲ τοῦτο μὲν ἴτω ὅπῃ τῷ θεῷ φίλον, τῷ δὲ νόμῳ πειστέον καὶ ἀπολογητέον.

Γ'. Ἀναλάβωμεν οὖν ἐξ ἀρχῆς, τίς ἡ κατηγορία ἐστίν,
ἐξ ἧς ἡ ἐμὴ διαβολὴ γέγονεν, ᾗ δὴ καὶ πιστεύων Μέλη- B
τός με ἐγράψατο τὴν γραφὴν ταύτην. εἶεν· τί δὴ λέγοντες διέβαλλον οἱ διαβάλλοντες; ὥσπερ οὖν κατηγόρων τὴν ἀντωμοσίαν δεῖ ἀναγνῶναι αὐτῶν· "Σωκράτης ἀδικεῖ καὶ περιεργάζεται ζητῶν τά τε ὑπὸ γῆς καὶ οὐράνια καὶ τὸν ἥττω λόγον κρείττω ποιῶν καὶ ἄλλους τὰ αὐτὰ ταῦτα δι-
δάσκων". τοιαύτη τίς ἐστι· ταῦτα γὰρ ἑωρᾶτε καὶ αὐτοὶ C
ἐν τῇ Ἀριστοφάνους κωμῳδίᾳ, Σωκράτη τινὰ ἐκεῖ περι-

δὲ τῶν δικαστῶν νὰ ἀποκρίνωνται, τὸ λέγει αὐτὸς ὁ Σ. = ἔστω λοιπὸν οὕτω· μὲ τὴν ἄδειάν σας.

1 *τοῦτο οὕτω γενέσθαι·* δηλ. ἐξαιρεθῆναι ὑμῶν τὴν διαβολήν, καὶ πλέον τί με ποιῆσαι ἀπολογούμενον. Πλέον τι ποιῶ = κατορθῶ τι (πλέον τοῦ μηδενός). Κριτ. 54 d· «εἴ τι οἴει πλέον ποιήσειν, λέγε».

*εἴ τι ἄμεινον.* Ὁ Σωκ. δὲν ἐπιθυμεῖ νὰ μεταπείσῃ τοὺς δικαστὰς ὁπωςδήποτε, ἀλλ' ὑπὸ τὸν ὅρον νὰ συμφέρῃ τοῦτο ἀμφοτέροις· συμφέρει δέ, ὅταν νικᾷ τὸ δίκαιον.

4 *τοῦτο μὲν ἴτω.* Προστ. τοῦ *εἶμι*· ἂς πορευθῇ, ἂς ἀποβῇ κατὰ τὸ θέλημα τοῦ θεοῦ.

6 *τίς ἡ κατηγορία ἐστίν, ἐξ ἧς ἡ ἐμὴ διαβολὴ γέγονε.* Ἐκ τῆς κατηγορίας λέγει ὅτι ἐγένετο ἡ διαβολή· διότι κατηγορία μὲν εἶνε τὰ κατ' αὐτοῦ λεγόμενα, ἡ δυσφημία· διαβολὴ δὲ ἡ ἐν τῇ ψυχῇ τῶν ἀνθρώπων κακὴ ὑπόληψις καὶ δυσμενὴς διάθεσις, ἡ ἐκ τῆς κατηγορίας ἐγγινομένη.

7 *ᾗ δὴ καὶ πιστεύων·* ᾗ διαβολῇ, οὐχὶ ᾗ κατηγορίᾳ. Ὁ Μέλητος πιστεύων ὅτι ἡ κοινωνία εἶχεν ἤδη κακὴν ἰδέαν περὶ τοῦ Σωκ. ἐπήγαγε τὴν δίκην· ἄλλως δὲν θὰ ἐτόλμα, φοβούμενος μὴ καταδικασθῇ εἰς πρόστιμον 1000 δρ. καὶ εἰς ἀτιμίαν, ἂν δὲν ἐλάμβανε τὸ 5ον τῶν ψήφων. Ὅρ. εἰσαγ. σ. 243.

9 *τὴν ἀντωμοσίαν.* Ἔπιθι εἰσαγ. σ. 239.

10 *ἀδικεῖ καὶ περιεργάζεται.* Παρατακτικῶς ἀντὶ ὑποτακτικῶς· *ἀδικεῖ περιεργαζόμενος.* Ἀλλ' ἂν ἔλεγε *περιεργαζόμενος*, κατὰ μετοχήν, εἶχε δὲ νὰ ἐπιφέρῃ τρεῖς μετοχὰς προσδιοριστικὰς αὐτοῦ, ὁ λόγος θὰ ἀπέβαινεν ἀσαφὴς καὶ ἄχαρις. Τὸ *ἀδικεῖ* πάλιν δὲν ἠδύνατο νὰ παραλειφθῇ, διότι ἦτο νομικὸς ὅρος καθιερωμένος ἐν τῷ τύπῳ τῆς κατηγορίας. Τὸ *περιεργάζεται* = ἀσχολεῖται περὶ ἃ μὴ δεῖ, περὶ ἃ μὴ θέμις κ.τ.λ.

14 *ἐν τῇ Ἀριστοφάνους κωμῳδίᾳ.* Ταῖς Νεφέλαις παρασταθείσαις τὸ πρῶτον περὶ τὸ 423 π. Χ. 24 ἔτη πρὸ τῆς δίκης.

*περιφερόμενον.* Ὁ Ἀριστφ. τὸν παριστᾷ αἰωρούμενον ἐπὶ κρεμάθρας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φερόμενον, φάσκοντά τε ἀεροβατεῖν καὶ ἄλλην πολλὴν φλυαρίαν φλυαροῦντα, ὧν ἐγὼ οὐδὲν οὔτε μέγα οὔτε μικρὸν πέρι ἐπαΐω. καὶ οὐχ ὡς ἀτιμάζων λέγω τὴν τοιαύτην ἐπιστήμην, εἴ τις περὶ τῶν τοιούτων σοφός ἐστι, μή πως ἐγὼ ὑπὸ Μελήτου τοσαύτας δίκας φύγοιμι· ἀλλὰ γὰρ ἐμοὶ τούτων, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδὲν μέτεστι. μάρτυρας δὲ αὐτοὺς ὑμῶν τοὺς πολλοὺς παρέχομαι, καὶ ἀξιῶ D ὑμᾶς ἀλλήλους διδάσκειν τε καὶ φράζειν, ὅσοι ἐμοῦ πώποτε ἀκηκόατε διαλεγομένου· πολλοὶ δὲ ὑμῶν οἱ τοιοῦτοί εἰσιν· φράζετε οὖν ἀλλήλοις, εἰ πώποτε ἢ μικρὸν ἢ μέγα ἤκουσέ τις ὑμῶν ἐμοῦ περὶ τῶν τοιούτων διαλεγομένου· καὶ ἐκ τούτων γνώσεσθε, ὅτι τοιαῦτ' ἐστὶ καὶ τἆλλα περὶ ἐμοῦ, ἃ οἱ πολλοὶ λέγουσιν.

Δ'. Ἀλλὰ γὰρ οὔτε τούτων οὐδέν ἐστιν, οὐδέ γ' εἴ τινος ἀκηκόατε, ὡς ἐγὼ παιδεύειν ἐπιχειρῶ ἀνθρώπους καὶ

Νεφ. 218· Στρ «Φέρε, τίς γὰρ οὗτος οὑπὶ τῆς κρεμάθρας ἀνήρ; Μαθ. Αὐτός. Στρεψ. Τίς αὐτός; Μαθ. Σωκράτης.»

2 *οὔτε μέγα οὔτε μικρόν*. Διὰ τῆς προσθήκης τούτων γίνεται ἰσχυροτέρα ἡ ἄρνησις· καὶ φαίνεται ὅτι ἐν τῇ καθ' ἡμέραν ὁμιλίᾳ συνείθιζον πολὺ τοῦτο οἱ Ἀθηναῖοι. Ὁμοίως καὶ ἡμεῖς σήμερον ἀντὶ νὰ ἀρκεσθῶμεν λέγοντες ἁπλῶς «*δὲν ἔχω χρήματα*», ἐπιπροσθέτομεν «δὲν ἔχω οὔτε πολλὰ οὔτε ὀλίγα χρ.», καὶ ἀντὶ νὰ εἴπωμεν «δὲν φοβεῖται κανένα» λέγομεν «δὲν φοβεῖται οὔτε θεὸν οὔτε διάβολον».

2 *ὧν — πέρι*. Πολλάκις παρὰ Πλ. ἡ γενικὴ συντασσομένη *περὶ* (καὶ ἐν ἀναστροφῇ *πέρι*) τίθεται πλεοναστικῶς, ὅπου ἡ ἁπλῆ γεν. θὰ ἐξήρκει· διὰ τοῦτο ἐνδέχεται καὶ νὰ κῆται πολὺ μακρὰν τῆς πτώσεώς της. Φαῖδρ. 259 e· «εἰδυῖαν τὸ ἀληθὲς ὧν ἂν ἐρεῖν πέρι μέλλῃ». Τὸ ὧν εἰς τὸ φλυαρίαν κατὰ τὸ νοούμενον· διότι φλυαρία εἶνε λέξις περιληπτική.

3 *οὐχ ὡς ἀτιμάζων* = ὡς καταφρονῶν, ὡς οὐδενὸς ἀξίαν ὑπολαμβάνων.

4 *μήπως — φύγοιμι*. Προτ. τελ. ἐκ τοῦ παραλειπομένου *φοβηθείς*. (Ὅρα πρκβλ.).

7 *ἀξιῶ* = κρίνω ἄξιον, δίκαιον, παρακαλῶ.

10 *εἰ πώποτε*. Σύμπλεκε ὧδε· «εἴ τις ὑμῶν ἤκουσε πώποτε ἐμοῦ διαλεγομένου περὶ τῶν τοιούτων ἢ μικρὸν ἢ μέγα».

12 *περὶ ἐμοῦ ἅ*. Ὑπερβατόν, ἀντί· ἃ περὶ ἐμοῦ οἱ πολλοὶ λέγουσιν.

14 *Ἀλλὰ γάρ*. Μεταβαίνει εἰς ἀνασκευὴν ἄλλου κεφαλαίου τῆς κατηγορίας, ὅτι ἐδίδασκεν ἐπὶ μισθῷ. Ὁ Ἀριστφ. ἐν ταῖς Νεφέλαις ἔρριπτε καὶ τοιαύτην ὑπόνοιαν κατὰ Σωκρ. 1146· Στρεψ. «Ἀλλὰ τουτονὶ πρῶτον λαβέ· χρὴ γὰρ ἐπιθαυμάζειν τι τὸν διδάσκαλον». Περὶ τῆς πλοκῆς *ἀλλὰ γάρ*, ἰδὲ κατωτέρω σελ. 20 c.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χρήματα πράττομαι, οὐδὲ τοῦτο ἀληθές, ἐπεὶ καὶ τοῦτό E
γέ μοι δοκεῖ καλὸν εἶναι, εἴ τις οἷός τ' εἴη παιδεύειν ἀνθρώπους, ὥςπερ Γοργίας τε ὁ Λεοντῖνος καὶ Πρόδικος ὁ

1 *χρήματα πράττομαι*. Ξνφ. Ἀπομν. Α', 6', 60· «Οὐδένα πώποτε μισθὸν τῆς ξυνουσίας ἐπράξατο». Πρωταγ. 328 b· «ἀξίως τοῦ μισθοῦ ὃν πράττομαι». Ἀριστφ. Νεφ. 245· «Μισθὸν δ' ὅντιν' ἂν πράττῃ μ', ὀμοῦμαί σοι καταθήσειν τοὺς θεούς».

*ἐπεὶ καὶ τοῦτο*. Ἡ πρότασις αὕτη ὡς αἰτιολ. τῆς προηγηθείσης (οὐ παιδεύω ἀνθρώπους) εἶνε παρὰ λόγον· κατὰ λόγον θὰ ἦτο μᾶλλον διὰ τοῦ *καίτοι, καίπερ*, ἐκφερομένη Ἀλλ' ὁ *καὶ* μᾶς ὁδηγεῖ εἰς ἀνίχνευσιν τῶν παραλειπομένων νοημάτων, ἅτινα αἰτιολογεῖ. Ὁ Σωκ. κατηγορήθη πρῶτον ὅτι ἠσχολεῖτο περὶ τὰ φυσικά· ἀπεκρίθη δὲ ἀνωτέρω ὅτι τοῦτο δὲν εἶνε ἀληθές, ἂν καὶ δὲν ἀτιμάζει τὴν τοιαύτην μελέτην καὶ σοφίαν· ἔπειτα κατηγορήθη ὅτι ἐπαίδευεν ἀνθρώπους ἐπὶ μισθῷ· καὶ εἰς ταῦτα ἀποκρίνεται ὅτι δὲν εἶνε ἀληθῆ. Καὶ ἐνταῦθα δὲ εἶχε νὰ προσθέσῃ «καὶ οὐχ ὡς ἀτιμάζων τὴν τοιαύτην παίδευσιν λέγω ταῦτα· ἐπεὶ καλόν γέ μοι δοκεῖ εἶναι, εἴ τις οἷός τ' εἴη παιδεύειν κ.τ.λ.», ἀλλὰ παρέλιπε τὸ «οὐχ ὡς ἀτιμάζων» ἵνα ἀποφύγῃ τὴν παλιλλογίαν· ἔθεσε δὲ μετὰ τὸν *ἐπεὶ* τὸν προσθ. *καί*, ἵνα σημάνῃ ὅτι καὶ περὶ τοῦ παιδεύειν ἔχει τὴν αὐτὴν γνώμην ἣν καὶ περὶ τοῦ φυσιολογεῖν, ὅτι εἰσὶν ἀμφότερα καλά.

3 *Γοργίας τε ὁ Λεοντῖνος* κ. τ. λ. Καταλέγει τοὺς τρεῖς μετὰ Πρωταγόραν ἐνδοξοτάτους σοφιστάς. Τὸν Πρωταγόραν παρέλιπεν, ἴσως διότι εἶχεν ἀποθάνει τότε, καὶ ὁ λόγος εἶνε περὶ ζώντων καὶ νῦν ἔτι παιδευόντων.

Ὁ Γοργίας κατήγετο ἐκ Λεοντίνων τῆς Σικελίας, καὶ ἀπεστάλη ὑπὸ τῆς πατρίδος εἰς Ἀθήνας πρεσβευτὴς περὶ τὸ 427 π. Χ. ἵνα ἐπικαλεσθῇ τὴν βοήθειαν αὐτῶν κατὰ τῶν Συρακουσῶν. Τότε τὸ πρῶτον ἐγνωρίσθη ἐν τῇ κυρίως Ἑλλάδι, ὡς ῥήτωρ μεταχειριζόμενος ποιητικὴν καὶ τροπικὴν φράσιν καὶ ἐπιτηδεύων μεγαλοπρέπειαν καὶ σεμνότητα καὶ καλλιλογίαν, κατὰ Διον. Ἁλικ. Ἔκτοτε ἐγκατεστάθη ἐν Ἑλλάδι καὶ ἐπεδήμει ἄλλοτε ἐν ἄλλαις πόλεσι διδάσκων τὴν ῥητορικὴν ἀντὶ χρημάτων (100 μνῶν). Ἀκριβέστερον περὶ Γοργίου ἐν τῷ φερωνύμῳ διαλόγῳ.

Ἱππίας ἐξ Ἤλιδος, ἀνὴρ πολυμαθέστατος, ἀλλ' ἅμα καὶ ἐπιπόλαιος καὶ οἰησίσοφος, περιώδευεν ὁμοίως κατὰ τὰς πόλεις τῆς Ἑλλάδος (καὶ τῆς Σικελίας) ἐπιδεικνύων τὴν πολυμάθειάν του καὶ διδάσκων ἀντὶ χρημάτων πᾶν ὅ τι ἤθελέ τις νὰ μάθῃ. Ἦτο ἢ ἐπηγγέλλετο ὅτι ἦτο γεωμετρικός, ἀστρονομικός, ἱστορικός, ποιητής, λογογράφος· ἔτι δέ, ὅ τι ἐφόρει ἦτο ἔργον τῶν χειρῶν του· ἡ ζώνη, ὁ δακτύλιος, ὁ χιτωνίσκος· ἔτι δὲ ἡ σφραγίς, ἡ στλεγγίς, ἡ λήκυθος κ.τ.λ. Ὅρα Ἱππ. Ἐλ. 368 b, c. Ἀκριβέστερον περὶ Ἱππίου ἐν τοῖς φερωνύμοις διαλόγοις.

Πρόδικος ἐκ Κέας ἦλθε καὶ αὐτὸς ὡς καὶ ὁ Γοργίας εἰς Ἀθήνας πρεσβευτὴς τῆς πατρίδος του, καὶ ἐθαυμάσθη ἐν τῇ βουλῇ διὰ τὴν ῥητορικήν του δεινότητα. Ἔκτοτε ἐγκατεστάθη ἐν Ἀθήναις καὶ ἐδίδασκεν ἐπὶ μισθῷ. Κατεγίνετο μάλιστα περὶ τὴν γλῶσσαν ὁρίζων τὴν σημασίαν καὶ τὴν ὀρθὴν χρῆσιν τῶν λέξεων, ἰδίως τῶν συνωνύμων, ἃς ὁ ἀφιλόσοφος νοῦς συνειθίζει νὰ μεταχειρίζηται ἀβασανίστως ἑτέραν ἀνθ' ἑτέρας, ὅπως τῷ ἐπέρχεται. Ὡς ἀξίωμα εἶχεν ἀνὰ στόμα τὸ δε· «Πρῶτον περὶ ὀνομάτων ὀρθότητος μαθεῖν δεῖ». (Πλ. Εὐθυδ. 277 e). Ὁ Πρόδικος ἦτο μετριοφρονέστερος τῶν ἄλλων σοφιστῶν καὶ διὰ τοῦτο ὁ Πλ. συνήθως φιλανθρωπότε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Κεῖος καὶ Ἱππίας ὁ Ἠλεῖος. τούτων γὰρ ἕκαστος, ὦ ἄνδρες, οἷός τ' ἐστίν, ἰὼν εἰς ἑκάστην τῶν πόλεων, τοὺς νέους, οἷς ἔξεστι τῶν ἑαυτῶν πολιτῶν προῖκα ξυνεῖναι ᾧ ἂν βούλωνται, τούτους πείθουσι τὰς ἐκείνων ξυνουσίας ἀπολι- 20 πόντας σφίσιν ξυνεῖναι χρήματα διδόντας καὶ χάριν προσειδέναι. ἐπεὶ καὶ ἄλλος ἀνήρ ἐστι Πάριος ἐνθάδε σοφός, ὃν ἐγὼ ᾐσθόμην ἐπιδημοῦντα· ἔτυχον γὰρ προσελθὼν ἀνδρί, ὃς τετέλεκε χρήματα σοφισταῖς πλείω ἢ ξύμπαντες οἱ ἄλλοι, Καλλίᾳ τῷ Ἱππονίκου· τοῦτον οὖν ἀνηρόμην—

ρον ὁμιλεῖ περὶ αὐτοῦ· ἐν τούτοις σπουδαῖον ἄνδρα οὐδ' αὐτὸν ὑπελάμβανεν· οὐδέποτε ὁμιλεῖ μετὰ θαυμασμοῦ περὶ αὐτοῦ, ἀλλ' ἀείποτε μετ' εἰρωνείας.

1 *τούτων ἕκαστος* κ. τ. λ. Ἀξιοσημείωτος ἀνακολουθία. Μετὰ τὸ *οἷός τ' ἐστὶ* περιεμένομεν τὸ συμπλήρωμα αὐτοῦ κατ' ἀπαρέμφ. ἀντὶ τούτου ἔχομεν τὴν ὁριστ. *πείθουσι*. Δικαιολογεῖται ἡ ἀνακολουθια αὕτη διὰ τὰ πολλὰ παρεμπεσόντα μεταξὺ τοῦ ῥήματος *οἷός τ' ἐστὶ* καὶ τοῦ συμπληρώματός του, ὧν ἕνεκα τρόπον τινὰ ἀπώλεσεν ὁ λέγων τὸν μίτον τοῦ λόγου. Τοιαῦται ἀνακολουθίαι ἐν μὲν τῷ προφορικῷ λόγῳ γίνονται συχνόταται· ἐν δὲ τῷ γραπτῷ οἱ μὲν σημερινοὶ συγγραφεῖς ἐπιμελῶς τὰς ἀποφεύγουσι, διορθοῦντες ἐπὶ τοῦ χάρτου, οἱ δὲ ἀρχαῖοι δὲν τὰς ἐφοβοῦντο πολύ, ἰδίως ὅπου, ὡς ἐνταῦθα, ὁ γραπτὸς λόγος εἶνε μίμησις προφορικοῦ ἀπερίττου καὶ φυσικοῦ. Σύμπλεκε λοιπὸν ὧδε· «ἕκαστος τούτων, ὦ ἄνδρες, οἷός τ' ἐστίν, ἰὼν εἰς ἑκάστην τῶν πόλεων, πείθειν τοὺς νέους, οἷς ἔξεστι ξυνεῖναι προῖκα ᾧ ἂν βούλωνται τῶν ἑαυτῶν πολιτῶν, ἀπολιπόντας τὰς ξυνουσίας ἐκείνων (τῶν συμπολιτῶν) ξυνεῖναι σφίσι (τοῖς σοφισταῖς) διδόντας χρήματα καὶ προσειδέναι χάριν».

6 *ἐπεὶ καὶ ἄλλος*. Ἡ διὰ τοῦ *ἐπεὶ* πρότασις δὲν εἶνε αἰτιολογία τῆς προηγουμένης. Διατί λοιπὸν ἔθεσε τὸν *ἐπεί*; Ὁ λόγος τοῦ Σωκρ. ἐν γένει εἶνε ἀπολογητικός· καὶ πᾶν ὅ τι λέγει ἔχει τελ. σκοπὸν νὰ ἀποδείξῃ τὴν ἀθῳότητά του· πᾶσαι λοιπὸν αἱ προτάσεις τοῦ λόγου του εἶνε ἐπὶ τέλους αἰτιολογικαὶ καὶ ἂν δὲν ἐκφέρωνται ὑπὸ αἰτιολογ. τύπον. Ἐνδέχεται ἄρα καὶ νὰ δοθῇ εἴς τινα πρότασιν ὁ αἰτιολ. τύπος διὰ τοῦτον τὸν λόγον. Ὁμοίως Πρωταγ. 334 b· «ἐπεὶ καὶ τὸ ἔλαιον τοῖς μὲν φυτοῖς ἅπασίν ἐστι πάγκακον καὶ ταῖς θριξὶ πολεμιώτατον ταῖς τῶν ἄλλων ζώων, πλὴν ταῖς τοῦ ἀνθρώπου κ.τ.λ.», διότι καὶ ὁ Πρωταγόρας ἐκεῖ ἀπολογητικῶς, ὡς προελεγχθείς, καὶ φιλονίκως λέγει ὅσα λέγει. Καὶ ἡμεῖς σήμερον ἐν διηγήσει ἧς ὁ τελ. σκοπὸς εἶνε ἡ ἀπόδειξις θέσεώς τινος, παρεμβάλλομεν πρότασιν ἀρχομένην ἀπὸ τοῦ *γιατί*, ὁσάκις μᾶς ἔρχεται νέον ἀποδεικτικὸν ἐπιχείρημα (γιατὶ νά, καὶ ὁ γείτονας ἠθέλησε νὰ ἀναμιχθῇ εἰς τὸ χρηματιστήριον, ἀλλ' ἔχασε τὴν περιουσίαν του).

9 *Καλλίᾳ τῷ Ἱππονίκου*.

Οἱ Ἱππόνικοι καὶ οἱ Καλλίαι ἀντιπροσωπεύουσιν ἐν Ἀθήναις ἕνα τῶν ἐπιφανεστάτων καὶ πλουσιωτάτων οἴκων τῶν Ἀθηνῶν. Ἠξίουν ὅτι κατήγοντο ἀπὸ τοῦ Τριπτολέμου, καὶ ἓν μέλος τῆς οἰκογενείας εἶχε τὸ ἀξίωμα δᾳδούχου τῶν Ἐλευσινίων Μυστηρίων. Ὁ ἐνταῦθα μνημονευόμενος Ἱππόνικος ἐφονεύθη ἐν Δηλίῳ 424 π. Χ. Ζῶντος ἔτι αὐτοῦ ἡ σύζυγός του τὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐστὸν γὰρ αὐτῷ δύο υἱέε — "Ὦ Καλλία, ἦν δ' ἐγώ, εἰ μέν σου τὼ υἱέε πώλω ἢ μόσχω ἐγενέσθην, εἴχομεν ἂν αὐτοῖν ἐπιστάτην λαβεῖν καὶ μισθώσασθαι, ὃς ἔμελλεν αὐτὼ καλώ τε καὶ ἀγαθὼ ποιήσειν τὴν προσήκουσαν ἀρετήν· ἦν δ' B
ἂν οὗτος ἢ τῶν ἱππικῶν τις ἢ τῶν γεωργικῶν· νῦν δ' ἐπειδὴ ἀνθρώπω ἐστόν, τίνα αὐτοῖν ἐν νῷ ἔχεις ἐπιστάτην λαβεῖν; τίς τῆς τοιαύτης ἀρετῆς, τῆς ἀνθρωπίνης τε καὶ πολιτικῆς, ἐπιστήμων ἐστίν; οἶμαι γάρ σε ἐσκέφθαι διὰ τὴν τῶν υἱέων κτῆσιν. ἔστι τις, ἔφην ἐγώ, ἢ οὔ; — Πάνυ γε, ἦ δ' ὅς. — Τίς, ἦν δ' ἐγώ, καὶ ποδαπός, καὶ πόσου διδάσκει; — Εὔηνος, ἔφη, ὦ Σώκρατες, Πάριος, πέντε μνῶν." καὶ ἐγὼ τὸν Εὔηνον ἐμακάρισα, εἰ ὡς ἀληθῶς ἔχει ταύτην τὴν τέχνην καὶ οὕτως ἐμμελῶς διδάσκει. ἐγὼ C
οὖν καὶ αὐτὸς ἐκαλλυνόμην τε καὶ ἡβρυνόμην ἄν, εἰ ἠπιστάμην ταῦτα· ἀλλ' οὐ γὰρ ἐπίσταμαι, ὦ ἄνδρες Ἀθηναῖοι.

ἐγκατέλιπε καὶ συνεζεύχθη μετὰ Περικλέους. Ἡ θυγάτηρ του Ἱππαρέτη ἔλαβε σύζυγον τὸν Ἀλκιβιάδην· ὁ δὲ υἱός του Καλλίας κατεσπατάλησε τὴν πατρικὴν οὐσίαν εἰς συμπόσια, ξενίας καὶ ἀμοιβὰς τῶν σοφιστῶν. Ἐν Πλ. Πρωταγ. καταλύουσι παρ' αὐτῷ οἱ τρεῖς σοφισταὶ Πρωταγόρας, Ἱππίας καὶ Πρόδικος καὶ πλῆθος ἄλλων ξένων.

3 *λαβεῖν καὶ μισθώσασθαι·* παρατακτικῶς ἀντί· *μισθωσάμενοι λαβεῖν·* ἅμα δὲ πρωθύστερον. ἀντὶ μισθ. καὶ λαβεῖν. Τὸ μὲν *μισθοῦν* ἐπὶ τοῦ διδόντος τι ἐπὶ μισθῷ, τὸ δὲ μισθοῦσθαι ἐπὶ τοῦ λαμβάνοντός τι ἀντὶ μισθοῦ. Ὁ οἰκοκύριος μισθοῖ τὴν οἰκίαν, ὁ ἔνοικος μισθοῦται αὐτήν.

7 *τῆς τοιαύτης ἀρετῆς.* Ἀνθρωπίνη μὲν ἀρετὴ ἡ ἀπεργαζομένη τέλειον τὸν ἄνθρωπον, πολιτικὴ δὲ ἡ τὸν πολίτην. Ἐνταῦθα τὰς συνέδεσεν ὁ Σωκρ. τὰς δύο ἀρετάς· διότι ἐν τῇ ἀκμῇ τῆς Ἀθηναϊκῆς δημοκρατίας δὲν ἠδύνατο νὰ νοηθῇ ἡ ἑτέρα ἄνευ τῆς ἑτέρας. Πρβλ. Ἀριστοτ. Πολιτ. Α. 2.

12 *τὸν Εὔηνον ἐμακάρισα, εἰ* κ.τ.λ. Μακαρίζω τινὰ τινὸς (ἀγαθοῦ, ὅπερ βεβαίως κέκτηται)· ὅταν δὲ δὲν εἶμαι βέβαιος ὅτι κέκτηται τὸ ἀγαθὸν τοῦτο, τότε ἀντὶ τῆς γενικῆς τίθεται ὑποθ· λόγος, ὡς ἐνταῦθα.

Περὶ Εὐήνου πρβλ. Φαίδ. 60 d καὶ ἑξ. Ἦτο ποιητὴς ἐλεγείων· ἐπηγγέλλετο δὲ καὶ τὸν σοφιστήν, τουτέστι τὸν διδάσκαλον τῆς ἀρετῆς.

13 *οὕτως ἐμμελῶς διδάσκει.* Φιλανθρώπευμα τοῦ Σωκ. ἀντὶ *οὕτως εὐτελῶς,* δὲν ἔχει ὑπερμέτρους ἀξιώσεις, ὡς οἱ ἄλλοι προονομασθέντες.

15 *ἀλλ' οὐ γὰρ ἐπίσταμαι* = ἀλλὰ νῦν οὐ καλλύνομαι οὐδ' ἀβρύνομαι· οὐ γὰρ ἐπίσταμαι. Τοιαύτη εἶνε ἡ ἀρχὴ τῆς παρὰ Πλ. συχνοτάτης πλοκῆς *ἀλλὰ γάρ·* ἡ διὰ τοῦ *ἀλλὰ* ἐναντιωμ. πρότασις παραλείπεται, ἡ δὲ διὰ τοῦ *γάρ,* ἡ αἰτιολογοῦσα αὐτήν, καταλαμβάνει τὴν θέσιν της· ὥστε τὸ *ἀλλὰ γὰρ* καταντᾷ νὰ μὴ σημαίνῃ τι πλέον ἢ ὁ ἁπλοῦς *ἀλλά.* (Ἐπιθ. πρκβλ.)



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ε΄. Ὑπολάβοι ἂν οὖν τις ὑμῶν ἴσως· ἀλλ᾽, ὦ Σώκρατες, τὸ σὸν τί ἐστι πρᾶγμα; πόθεν αἱ διαβολαί σοι αὗται γεγόνασιν; οὐ γὰρ δήπου σοῦ γε οὐδὲν τῶν ἄλλων περιττότερον πραγματευομένου ἔπειτα τοσαύτη φήμη τε καὶ λόγος γέγονεν· [εἰ μή τι ἔπραττες ἀλλοῖον ἢ οἱ πολλοί·] λέγε οὖν ἡμῖν, τί ἐστιν, ἵνα μὴ ἡμεῖς περὶ σοῦ αὐτοσχεδιάζωμεν. D ταυτί μοι δοκεῖ δίκαια λέγειν ὁ λέγων, κἀγὼ ὑμῖν πειράσομαι ἀποδεῖξαι, τί ποτ᾽ ἐστὶν τοῦτο ὃ ἐμοὶ πεποίηκε τό τε ὄνομα καὶ τὴν διαβολήν. ἀκούετε δή. καὶ ἴσως μὲν δόξω τισὶν ὑμῶν παίζειν, εὖ μέντοι ἴστε, πᾶσαν ὑμῖν τὴν ἀλήθειαν ἐρῶ. ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, δι᾽ οὐδὲν ἄλλ᾽ ἢ διὰ σοφίαν τινὰ τοῦτο τὸ ὄνομα ἔσχηκα. ποίαν δὴ σοφίαν ταύτην; ἥπερ ἐστὶν ἴσως ἀνθρωπίνη σοφία· τῷ ὄντι γὰρ κινδυνεύω ταύτην εἶναι σοφός. οὗτοι δὲ

1 *Ὑπολάβοι ἂν οὖν τις*. Βραχυλογία=ὑπολαβὼν ἂν ἔροιτό τις.

2 *τὸ σὸν τί ἐστι πρᾶγμα*; Σύμπλεκε· «τί ἐστι τὸ σὸν πρᾶγμα»; Παρὰ τὸν γεν. κανόνα, καθ᾽ ὃν ἐν ἐρωτήσεσι προτάσσεται ἡ ἐρωτηματικὴ λέξις (τίς; τί; πῶς; πότε; ποῦ; κ.τ.τ.) ἡ σημαίνουσα τὸ ἀγνοούμενον καὶ ἐρωτώμενον, πολλάκις προτάσσεται τὸ ὄνομα οὗ χάριν γίνεται ἡ ἐρώτησις. Οὕτω παρ᾽ Ἀριστφ. «Τουτὶ τί ἦν;» Εἰρην. 44. «Τὸ δὲ πρᾶγμα τί; ὁ κάνθαρος δὲ πρὸς τί;» Οὕτως ἐξαίρεται ἡ ἀπορία τοῦ ἐρωτῶντος.

3 *οὐδὲν περιττότερον*. Περιττὸν τὸ ὑπὲρ τὸ μέτριον ἢ τὸ ἀναγκαῖον, τὸ παραπανισμένον. Ἐντεῦθεν, ἢ τὸ ἄχρηστον καὶ ἀνωφελές, ὡς καὶ παρ᾽ ἡμῖν, ἢ τὸ ἐξαίρετον, τὸ ὑπὲρ τὴν κοινὴν χρῆσιν ἢ τοὺς κοινοὺς ἀνθρώπους, ὅπως ἐνταῦθα.

4 *ἔπειτα τοσαύτη φήμη τε* κ. τ. λ. Τὸ ἔπειτα καὶ τὸ εἶτα ἐξαίρει τὴν ἐναντίωσιν, τὸ ἀσυμβίβαστον δύο ἐναντιωματικῶν προτάσεων. Ἐνταῦθα τὰ ἀσυμβίβαστά εἰσι τὸ μηδὲν τῶν ἄλλων περιττότερον πραγματεύεσθαι καὶ τὸ γεγονέναι τοσαύτην φήμην καὶ λόγον.

6 *ἵνα μὴ περὶ σοῦ αὐτοσχεδιάζωμεν*=διανοώμεθα ὅ τι μᾶς κατέβη, ἀγνοοῦντες τὰ ἀληθῆ αἴτια, δι᾽ ἃ ἐγένετο περὶ σοῦ τόση φήμη.

9 *τό τε ὄνομα καὶ τὴν διαβολήν*· τὸ ὄνομα μέν, οἷον Σωκράτης ὁ σοφός, ὁ φροντιστὴς κ.τ.τ. τὴν δὲ *διαβολὴν* σημαίνει τὰ περὶ αὐτοῦ λεγόμενα, ὅτι περιεργάζεται, ὅτι δὲν νομίζει θεούς, ὅτι ποιεῖ τὸν ἥττω λόγον κρείττω κ.τ.τ. Σ. 38 c· «ὄνομα ἕξετε καὶ αἰτίαν».

*καὶ ἴσως μὲν δόξω - τὴν ἀλήθειαν ἐρῶ*. Διὰ τὸ παράδοξον καὶ ἀπίθανον τῶν ἑπομένων προδιαθέτει τοὺς δικαστάς.

13 *ποίαν δὴ σοφίαν ταύτην;*=διὰ τὴν σοφίαν ταύτην (ἣν λέγεις) οὖσαν ποίαν σοφίαν; Σύμπτυξις δύο προτάσεων. Λέγεις ὅτι διὰ σοφίαν κ.τ.λ. Αὕτη δὲ ἡ σοφία ποία τις σοφία ἐστίν;

14 *κινδυνεύω ταύτην εἶναι σοφός*. Ὅταν ἔκ τινος διανοητικῆς ζητήσεως καὶ ἐρεύνης ὑποφαίνηταί τι ἀπροσδόκητον, παράδοξον, τοῦτο συνειθίζουσι νὰ προεξαγγέλλωσιν οἱ ἀρχαῖοι διὰ τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τάχ' ἄν, οὓς ἄρτι ἔλεγον, μείζω τινὰ ἢ κατ' ἄνθρωπον E
σοφίαν σοφοὶ εἶεν, ἢ οὐκ ἔχω τί λέγω· οὐ γὰρ δὴ ἔγωγε αὐτὴν ἐπίσταμαι, ἀλλ' ὅςτις φησὶ ψεύδεταί τε καὶ ἐπὶ διαβολῇ τῇ ἐμῇ λέγει. Καί μοι, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ θορυβήσητε, μηδὲ ἂν δόξω τι ὑμῖν μέγα λέγειν· οὐ γὰρ ἐμὸν ἐρῶ τὸν λόγον, ὃν ἂν λέγω, ἀλλ' εἰς ἀξιόχρεων ὑμῖν τὸν λέγοντα ἀνοίσω. τῆς γὰρ ἐμῆς, εἰ δή τίς ἐστιν σοφία καὶ οἵα, μάρτυρα ὑμῖν παρέξομαι τὸν θεὸν τὸν ἐν Δελφοῖς.
Χαιρεφῶντα γὰρ ἴστε που. οὗτος ἐμός τε ἑταῖρος ἦν ἐκ 21

ῥήματος *κινδυνεύειν*, πολλάκις μετ' εἰρωνείας. Συμπ 205 d «κινδυνεύεις ἀληθῆ λέγειν»· 201 b «κινδυνεύω οὐδὲν εἰδέναι ὧν τότε εἶπον». Λύσ. 218 «κινδυνεύομεν ὄναρ πεπλουτηκέναι». Πολιτ. 334 a «κλέπτης ἄρα τις ὁ δίκαιος ἀναπέφανται· καὶ κινδυνεύεις παρ' Ὁμήρου μεμαθηκέναι αὐτό».

1 *μείζω ἢ κατ' ἄνθρωπον* = μείζω ἢ ἀνθρωπίνην· ἀλλ' ἐπειδὴ τὸ *ἀνθρωπίνην* δὲν ἐδήλου ἀκριβῶς τὸ νόημά του, εἶπε *κατ' ἄνθρωπον* = ὁποία πρέπει ἀνθρώπῳ, ἧς ἐστιν ἐπιδεκτικὸς ὁ ἄνθρωπος.

2 *ἢ οὐκ ἔχω τί λέγω* = ἤ, ἂν τοῦτο ὃ εἶπον περὶ αὐτῶν δὲν εἶνε πιστευτόν, δὲν ἔχω τί ἄλλο νὰ εἴπω, δὲν ἠξεύρω ποίου εἴδους σοφίαν ἔχουσιν. Ἀφοῦ ἡ ἰδική του σοφία εἶνε ἡ ἀνθρωπίνη, πιστεύονται δὲ καὶ οἱ σοφισταὶ σοφοὶ ἄνθρωποι, εἶνε δὲ ἡ ἰδική του ὅλως διάφορος τῆς τῶν σοφιστῶν, δυοῖν θἄτερον, ἢ ἡ σοφία αὐτῶν εἶνε ὑπεράνθρωπος, θεία τις, ἢ εἶνε μηδαμινή, ἀγυρτική· ἀντὶ ὅμως νὰ εἴπῃ τὰς ὑβριστικὰς ταύτας λέξεις, (αἵτινες ἐν τούτοις θὰ ἐδήλουν τὴν ἀληθῆ γνώμην του), εὐφημῶν λέγει «δὲν ἠξεύρω τί νὰ εἴπω». *Τί λέγω*· τὸ *λέγω* ὑποτακτ.

4 *καί μοι μὴ θορυβήσητε* κ. τ. λ. Ἐπειδὴ μέλλει νὰ περιαυτολογήσῃ τοιαῦτα, ὁποῖα θὰ ἐφαίνοντο ἄτοπα καὶ νεμεσητά, ὅτι δῆθεν ἔχει κοινωνίαν μετὰ τοῦ θεοῦ, καὶ προκαταλαμβάνει τοὺς δικαστάς, παρακαλῶν νὰ μὴ θορυβήσωσι.

5 *μέγα λέγειν* = μεγαλορρημονεῖν, μεγαλαυχεῖν. Ἀριστφ. Βατρ. 835 «ὦ δαιμόνιε, μὴ μέγα λίαν λέγε».

*οὐ γὰρ ἐμὸν ἐρῶ τὸν λόγον, ὃν ἂν λέγω.* — Οἱ ἑρμηνευταὶ καὶ μεταφράσται νοοῦσι τὸ χωρίον ὧδε: «ὁ λόγος, ὃν ἐρῶ, οὐκ ἔστιν ἐμός». Ἀλλ' οὕτως ὁ λόγος θὰ ἦτο ὡρισμένος καὶ δὲν θὰ ἠδύνατο νὰ ἐπιφέρῃ τὸ ἀόριστον, *ὃν ἂν λέγω*. Ἑρμηνευτέον ὧδε· τὸν λόγον, ὃν ἂν λέγω, οὐκ ἐρῶ ἐμόν, δηλ. ἐξ ἐμαυτοῦ.

6 *ἀλλ' εἰς ἀξιόχρεων* κ. τ. λ. «Ἀνοίσω τὸν λόγον εἰς τὸν λέγοντα (εἰς τὸν πατέρα αὐτοῦ) ἀξιόχρεων ὄντα». Νοεῖ δὲ τὸν Ἀπόλλωνα· ἀξιόχρεως = ἀξιόπιστος.

9 *Χαιρεφῶντα*. Ἦτο ὁ πιστότατος ὀπαδὸς καὶ θαυμαστὴς τοῦ Σωκ. Ἐν Χαρμ. 153 b χαρακτηρίζεται ὡς μανικός· ἐν τῷ Γοργίᾳ παραστατεῖ τῷ Σωκ. καὶ ἐνίοτε μετέχει τοῦ λόγου· κατὰ τὸν χρόνον τῆς δίκης εἶχε προαποθάνει. Ὁ Ξενοφῶν Ἀπομν. Α', β', 48 ἐπαινεῖ αὐτόν τε καὶ ἄλλους, ὅτι «συνῆσαν Σωκράτει, οὐχ ἵνα δημηγορικοὶ ἢ δικανικοὶ γένοιντο, ἀλλ' ἵνα καλοί τε κἀγαθοὶ γενόμενοι καὶ οἴκῳ καὶ οἰκέταις καὶ οἰκείοις καὶ φίλοις καὶ πόλει καὶ πολίταις δύναιντο καλῶς χρῆσθαι». Οἱ δὲ κωμικοὶ διέστρεψαν δεινῶς τὸ ἦθος τοῦ ἀνδρός.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νέου καὶ ὑμῶν τῷ πλήθει, [ἑταῖρός τε] καὶ ξυνέφυγε τὴν φυγὴν ταύτην καὶ μεθ' ὑμῶν κατῆλθε. καὶ ἴστε δή, οἷος ἦν Χαιρεφῶν, ὡς σφοδρὸς ἐφ' ὅ τι ὁρμήσειεν. καὶ δή ποτε καὶ εἰς Δελφοὺς ἐλθὼν ἐτόλμησε τοῦτο μαντεύσασθαι· καί, ὅπερ λέγω, μὴ θορυβεῖτε, ὦ ἄνδρες· ἤρετο γὰρ δή, εἴ τις ἐμοῦ εἴη σοφώτερος. ἀνεῖλεν οὖν ἡ Πυθία μηδένα σοφώτερον εἶναι. καὶ τούτων πέρι ὁ ἀδελφὸς ὑμῖν αὐτοῦ οὑτοσὶ μαρτυρήσει, ἐπειδὴ ἐκεῖνος τετελεύτηκεν.

Ϛ'. Σκέψασθε δέ, ὧν ἕνεκα ταῦτα λέγω· μέλλω γὰρ B
ὑμᾶς διδάξειν, ὅθεν μοι ἡ διαβολὴ γέγονε. ταῦτα γὰρ ἐγὼ ἀκούσας ἐνεθυμούμην οὑτωσί· τί ποτε λέγει ὁ θεός, καὶ τί

Παρ' Ἀριστφ. εἶνε συμφροντιστὴς τοῦ Σωκ.

1 *ξυνέφυγε τὴν φυγὴν ταύτην*· τὴν ἐπὶ τῶν Τριάκοντα· τὸ *ταύτην* διὰ τὸ ἔτι πρόσφατον τοῦ γεγονότος (εἶχον παρέλθει 3-4 ἔτη). Ὡς ψυχογνώστης ἐξαίρει ἐνταῦθα ὁ Σωκ. τὸ δημοτικόν τοῦ ἀνδρὸς καὶ τὴν συμμετοχὴν τοῦ διωγμοῦ καὶ τῶν κακοπαθειῶν τοῦ δήμου. Οὕτω γίνεται πιστευτότερος ἐν οἷς λέγει, καὶ διαθέτει τοὺς δικαστὰς εὐμενεστέρους.

2 *κατῆλθε*. Περὶ τῶν ἐκ τῆς φυγῆς ἐπανερχομένων εἰς τὴν πατρίδα των, Αἰσχ. Χοηφόρ. 3 «Ἥκω γὰρ εἰς γῆν τήνδε καὶ κατέρχομαι». Ὁμοίως λέγεται «ἡ κάθοδος τῶν Ἡρακλειδῶν».

3 *ὡς σφοδρός ἐφ' ὅ τι ὁρμήσειεν*· ὅ,τι ἤθελεν ἐπέλθει αὐτῷ εἰς τὸν νοῦν ὡς πρακτέον, τὸ ἔπραττε μετὰ σφοδρότητος

*καὶ δή ποτε καί*· διὰ τοῦ *καὶ δὴ καὶ* ἐκθέτει μίαν τῶν πολλῶν πράξεων τοῦ Χαιρεφῶντος τῶν μαρτυρουσῶν τὴν σφοδρότητα τῶν ἐπιχειρήσεών του.

4 *ἐτόλμησε*· ὡς τόλμημα χαρακτηρίζει τὸ διάβημα τοῦ Χαιρεφ. νὰ ἐρωτήσῃ τὸ μαντεῖον περὶ ἑνὸς ἰδιώτου ἀνθρώπου. Συνήθως ἠρωτᾶτο τὸ μαντεῖον περὶ σπουδαίων δημοσίων ἢ πολιτικῶν ὑποθέσεων. Ἅμα δὲ ὑποσημαίνει ὁ Σωκ. ὅτι τὸ διάβημα τοῦ Χαιρ. ἐτολμήθη ἐν ἀγνοίᾳ αὐτοῦ.

*τοῦτο μαντεύσασθαι* = τοῦτο ἐρωτῆσαι τὸν θεόν. Ἐπὶ τῶν ἀποκρίσεων ἔλεγον «ἔχρησεν ἢ ἀνεῖλεν ἡ Πυθία» Ὁ Διογ. Λ. Β', 37 παρέδωκεν ἡμῖν τὸν χρησμὸν εἰς τρίμετρον ἰαμβεῖον ἔχοντα ὧδε·

Ἀνδρῶν ἁπάντων Σωκράτης σοφώτατος.

Ὁ δὲ Σουΐδας προτάσσει τούτου καὶ ἕτερον ἰαμβεῖον, ἔχον ὧδε.

Σοφὸς Σοφοκλῆς, σοφώτερος δ' Εὐριπίδης.

7 *ὁ ἀδελφὸς αὐτοῦ οὑτοσί*· τὸν δεικνύει ὡς παρόντα ἐν τῷ δικαστηρίῳ. Νοεῖ τὸν Χαιρεκράτην, περὶ οὗ ἔπιθι Ξνφ. Ἀπομν. Β', γ'.

10 *διδάξειν*. Διδάσκω τινὰ = τοῦ δίδω νὰ καταλάβῃ, τὸν φωτίζω Λάχ. 195 a. (Λάχης περὶ Νικίου). Ταῦτά τοι καὶ ληρεῖ.—(Σωκρ.) Οὐκοῦν διδάσκωμεν αὐτόν, ἀλλὰ μὴ λοιδορῶμεν. Ὡσαύτως καὶ τὸ *μανθάνειν* = καταλαμβάνω, ἐμβαίνω εἰς τὸ νόημα. Γοργ. 447 c· Σωκ. «Ἢ οὐ μανθάνεις, ὡς λέγω; — Χαιρεφ. Μανθάνω καὶ ἐρήσομαι».

11 *ἐνεθυμούμην οὑτωσί* = διενοούμην κατ' ἐμαυτόν Τὸ ἐνθυμοῦμαι = ἐν θυμῷ τίθεμαί τι· βάζω κάτι τι εἰς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ποτε αἰνίττεται; ἐγὼ γὰρ δὴ οὔτε μέγα οὔτε σμικρὸν ξύνοιδα ἐμαυτῷ σοφὸς ὤν· τί οὖν ποτε λέγει φάσκων ἐμὲ σοφώτατον εἶναι; οὐ γὰρ δήπου ψεύδεταί γε· οὐ γὰρ θέμις αὐτῷ. καὶ πολὺν μὲν χρόνον ἠπόρουν, τί ποτε λέγει. ἔπειτα μόγις πάνυ ἐπὶ ζήτησιν αὐτοῦ τοιαύτην τινὰ ἐτραπόμην· ἦλθον ἐπί τινα τῶν δοκούντων σοφῶν εἶναι, ὡς ἐνταῦθα, C εἴπερ που, ἐλέγξων τὸ μαντεῖον καὶ ἀποφανῶν τῷ χρησμῷ, ὅτι οὑτοσὶ ἐμοῦ σοφώτερός ἐστι, σὺ δ' ἐμὲ ἔφησθα. διασκοπῶν οὖν τοῦτον — ὀνόματι γὰρ οὐδὲν δέομαι λέγειν, ἦν δέ τις τῶν πολιτικῶν — πρὸς ὃν ἐγὼ σκοπῶν τοιοῦτόν τι ἔπαθον, ὦ ἄνδρες Ἀθηναῖοι· διαλεγόμενος αὐτῷ, ἔδοξέ μοι οὗτος ὁ ἀνὴρ δοκεῖν μὲν εἶναι σοφὸς ἄλλοις τε πολλοῖς ἀνθρώποις καὶ μάλιστα ἑαυτῷ, εἶναι δ' οὔ· κἄπειτα ἐπειρώμην αὐτῷ δεικνύναι, ὅτι οἴοιτο μὲν εἶναι σοφός, εἴη δ'

τόν νοῦν μου· ἢ προεγνωσμένον ἤδη, ὅτε = ἀναμιμνήσκομαι, τὸ σημερινὸν ἐνθυμοῦμαι· ἢ ὅλως νέον διανόημα, πρός ὃ νῦν τὸ πρῶτόν μοι δίδεται ἀφορμὴ = ἐννοῶ. Ἱππ. Μ. 300 d· «ἐνθυμοῦμαι μὴ παίζῃς πρός με». Ἀριστφ. Βατρ. 40 «Οὐκ ἐνεθυμήθης; — Τὸ τί; — Ὡς σφόδρα μ' ἔδεισε!»

1 *ξύνοιδα ἐμαυτῷ σοφὸς ὤν·* κατωτέρω 22 d· «ἐμαυτῷ ξυνῄδη οὐδὲν ἐπισταμένῳ». Ἐπειδὴ τὸ ὑποκ. καὶ ἡ δοτ. τοῦ ξύνοιδα δηλοῦσι τὸ αὐτὸ πρόσωπον, ὁ μετοχ. προσδιορισμὸς συμφωνεῖ, ὅπως ἔτυχεν, ἢ μετὰ τοῦ ὑποκ. ἢ μετὰ τῆς δοτ.

2 *τί οὖν ποτε λέγει φάσκων* Τὸ μὲν τί λέγει = τί νοεῖ, τὸ δὲ *φάσκων* = ἀποφαινόμενος.

5 *ἐπὶ ζήτησιν αὐτοῦ·* τοῦ τί λέγει ἢ τί νοεῖ ὁ θεὸς ταῦτα λέγων.

7 *ἐλέγξων τὸ μαντεῖον·* οὐχὶ ἀποδείξων αὐτὸ ψευδόμενον, ὡς ἡρμήνευσαν! (ἀρτίως δὰ εἶπεν, ὅτι ὁ θεὸς οὐ ψεύδεται· οὐ γὰρ θέμις αὐτῷ)· ἀλλ' ἀποδείξων ὅτι οἱ λόγοι τοῦ μαντείου δὲν συμφωνοῦσι πρὸς τὰ πράγματα· ἐξ οὗ δὲν θὰ συνεπεραίνετο τὸ ψεῦδος, ἀλλὰ γνωστοῦ ὄντος ὅτι τὸ μαντεῖον συνείθιζε νὰ δίδῃ λοξούς, αἰνιγματώδεις χρησμούς, ἢ θὰ ἐμαντεύετο τὸ βαθύτερον κείμενον νόημα τοῦ θεοῦ, ἢ θὰ παρίστατο χρεία νέας ἐρωτήσεως πρὸς λύσιν τῆς ἀπορίας. Φαίδ. 85 c· «τὸ μέντοι αὖ τὰ λεγόμενα περὶ αὐτῶν μὴ οὐχὶ παντὶ τρόπῳ ἐλέγχειν καὶ μὴ προαφίστασθαι, πρὶν ἂν πανταχῇ σκοπῶν ἀπείπῃ τις, πάνυ μαλθακοῦ ἀνδρός». Πρβλ. τὰ περὶ τῶν χρησμῶν τοῦ Κροίσου Ἡροδ. Α', 90-91.

10 *πρὸς ὃν ἐγὼ σκοπῶν τοιοῦτόν τι ἔπαθον.* Τὸ *πρὸς ὃν* εἰς τὸ *ἔπαθον.* Γοργ. 485 c· «ταὐτὸν οὖν ἔγωγε τοῦτο πάσχω πρὸς τοὺς φιλοσοφοῦντας».

11 *διαλεγόμενος αὐτῷ, ἔδοξέ μοι.* Ἡ ἀπόλυτος αὕτη ὀνομαστ. ἐπὶ τοῦ ῥήμ. ἔδοξε εἶνε συχνοτάτη· διότι τὸ τριτοπρόσωπον *ἔδοξε* εἶνε κατ' ἔννοιαν ἀντὶ πρωτοπροσώπου ῥήματος ᾠήθην, ὑπέλαβον, εὗρον κ.τ.τ. Ὅμοιον τὸ ἡμέτερον «Ἐγὼ δέν με μέλει τίποτε».

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὔ. ἐντεῦθεν οὖν τούτῳ τε ἀπηχθόμην καὶ πολλοῖς τῶν D παρόντων· πρὸς ἐμαυτὸν δ' οὖν ἀπιὼν ἐλογιζόμην, ὅτι τούτου μὲν τοῦ ἀνθρώπου ἐγὼ σοφώτερός εἰμι· κινδυνεύει μὲν γὰρ ἡμῶν οὐδέτερος οὐδὲν καλὸν κἀγαθὸν εἰδέναι, ἀλλ' οὗτος μὲν οἴεταί τι εἰδέναι οὐκ εἰδώς, ἐγὼ δέ, ὥςπερ οὖν οὐκ οἶδα, οὐδὲ οἴομαι· ἔοικα γοῦν τούτου γε σμικρῷ τινι αὐτῷ τούτῳ σοφώτερος εἶναι, ὅτι ἃ μὴ οἶδα οὐδὲ οἴομαι εἰδέναι. ἐντεῦθεν ἐπ' ἄλλον ᾖα τῶν ἐκείνου δοκούντων σοφωτέρων εἶναι, καί μοι ταὐτὰ ταῦτα ἔδοξε· καὶ ἐνταῦθα E κἀκείνῳ καὶ ἄλλοις πολλοῖς ἀπηχθόμην.

Ζ'. Μετὰ ταῦτ' οὖν ἤδη ἐφεξῆς ᾖα, αἰσθανόμενος μὲν καὶ λυπούμενος καὶ δεδιὼς ὅτι ἀπηχθανόμην, ὅμως δὲ ἀναγκαῖον ἐδόκει εἶναι τὸ τοῦ θεοῦ περὶ πλείστου ποιεῖσθαι· ἰτέον οὖν σκοποῦντι τὸν χρησμόν, τί λέγει, ἐπὶ ἅπαντας τούς τι δοκοῦντας εἰδέναι. καὶ νὴ τὸν κύνα, ὦ ἄνδρες

1 *τούτῳ τε ἀπηχθόμην*· ἀπεχθάνομαί τινι — γίνομαι μισητός τινι, ἐχθρεύομαι ὑπό τινος. Ὥστε ἔχει σημασίαν παθητ. ῥήματος.

6 *σμικρῷ τινι αὐτῷ τούτῳ*. Τὸ αὐτῷ τούτῳ ἐτέθη ὡς ἐπεξήγ. τοῦ *σμικρῷ τινι*. Ἀμφότερα μὲν δηλοῦσι τὴν διαφοράν, ἀλλὰ τὸ μὲν α' δηλοῖ τὸ ποσὸν τῆς διαφορᾶς, τὸ δὲ β' αὐτὴν τὴν οὐσίαν τῆς διαφορᾶς.

14 *ἰτέον οὖν σκοποῦντι*· δηλ. ἐδόκει μοι ἰτέον εἶναι.

15 *νὴ τὸν κύνα*. Πολλάκις ἀναγκαζόμεθα νὰ ἐπιβεβαιώσωμεν ἀπόφασίν τινα, ἄπιστον τοῖς ἀκούουσι, δι' ὅρκου. Σὺν τῷ χρόνῳ τὸ ὀμνύειν ἐν τῷ λόγῳ γίνεται ἕξις· ὥστε καὶ ἄνευ ἀνάγκης νὰ λαμβάνωμεν τὸ ὄνομα τοῦ Θεοῦ ἐπὶ ματαίῳ, διηγούμενοι πράγματα παιγνιώδη, γελοῖα ἢ καὶ αἰσχρά. Οἱ θεοσεβέστεροι ἐδυσχέραινον τὸ πρᾶγμα· ἐν τούτοις δὲν ἦτο εὔκολον οὔτε αὐτοί, οὔτε τοὺς ἄλλους νὰ πείσωσι νὰ ἀποβάλωσι τὴν ἕξιν ταύτην· ἐπενόησαν λοιπὸν νὰ μεταχειρίζωνται μὲν τὸν τύπον τοῦ ὅρκου ἐν τῷ λέγειν, νὰ ὑποκαθιστῶσι δὲ ὑπὸ τὸ ὄνομα τοῦ θεοῦ, ἄλλο τι, κατὰ προτίμησιν παρονομασίαν ἐκείνου. Οὕτω λοιπόν, ἀντὶ *μὰ τὸν Ζῆνα*, ἐπεκράτησε νὰ λέγωσιν, οἱ μὲν *μὰ τὸν χῆνα*, οἱ δὲ *μὰ τὸν κύνα*. Σχολ. Ἀριστφ. Ὄρν. 521 «Λέγεται αὐτὸν πρῶτον (Ῥαδάμανθυν) οὐδένα ἐᾶν ὅρκους ποιεῖσθαι κατὰ θεῶν, ἀλλ' ὀμνύναι κελεῦσαι χῆνα καὶ κύνα καὶ κριὸν καὶ τὰ ὅμοια». (Περὶ Ῥαδαμάνθ. ἔπιθι Πλ. Νόμ. 948 b. ἑξ.) Κρατῖνος ἐν ἀποσπ. «Οἷς ἦν μέγιστος ὅρκος ἅπαντι λόγῳ κύων, ἔπειτα χήν, θεοὺς δ' ἐσίγων». Οἱ ψεῦσται καὶ ἀπατεῶνες ἐκαρποῦντο τὴν τοῦ λαοῦ εὐλάβειαν, ἵνα ψευδόμενοι ὀμνύωσιν εὐσυνειδήτως. Ἀριστφ. «Λάμπων δ' ὄμνυσ' ἔτι καὶ νυνὶ τὸν χῆν', ὅταν ἐξαπατᾷ τι». Ἐν Γοργ. 482 b ὁ Σωκ. παίζων ὀμνύει «μὰ τὸν κύνα τὸν Αἰγυπτίων θεόν». Ὁ μὲν ὅρκος ἔπρεπε νὰ γίνηται εἰς τὸ ὄνομα θεοῦ τινος, ἀλλ' ἡ εὐλάβεια τοῦ λαοῦ απαγορεύει τοῦτο, ὑποκαθιστῶσα τὸν κύνα·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἀθηναῖοι — δεῖ γὰρ πρὸς ὑμᾶς τἀληθῆ λέγειν — ἦ μὴν ἐγὼ ἔπαθόν τι τοιοῦτον· οἱ μὲν μάλιστα εὐδοκιμοῦντες ἔδοξάν μοι ὀλίγου δεῖν τοῦ πλείστου ἐνδεεῖς εἶναι, ζητοῦντι κατὰ τὸν θεόν, ἄλλοι δὲ δοκοῦντες φαυλότεροι, ἐπιεικέστεροι εἶναι ἄνδρες πρὸς τὸ φρονίμως ἔχειν. δεῖ δὴ ὑμῖν τὴν ἐμὴν πλάνην ἐπιδεῖξαι ὥςπερ πόνους τινὰς πονοῦντος, ἵνα μή μοι καὶ ἀνέλεγκτος ἡ μαντεία γένοιτο. μετὰ γὰρ τοὺς πολιτικοὺς ᾖα ἐπὶ τοὺς ποιητὰς τούς τε τῶν τραγῳδιῶν καὶ τοὺς τῶν διθυράμβων καὶ τοὺς ἄλλους, ὡς ἐνταῦθα ἐπ' αὐτοφώρῳ καταληψόμενος ἐμαυτὸν ἀμαθέστερον ἐκείνων ὄντα. ἀναλαμβάνων οὖν αὐτῶν τὰ ποιήματα, ἅ μοι ἐδόκει μάλιστα πεπραγματεῦσθαι αὐτοῖς, διηρώτων ἂν αὐτούς, 22 B

ὁ Σωκ. λοιπὸν εὗρε τρόπον νὰ συμβιβάσῃ τὰ διεστῶτα ὀμνύων εἴς τινα θεὸν Κύνα, τὸν τῶν Αἰγυπτίων. Δι' ὁμοίαν εὐλάβειαν καὶ σήμερον ἀποφεύγομεν τὸ ὄνομα τοῦ Θεοῦ (οἱ δὲ Ζακύνθιοι τὸ τοῦ Ἁγίου) καὶ ὑποκαθιστῶμεν ἄλλα βεβηλότερα ὀνόματα «μὰ τὴν ἀλήθειαν· μὰ τὴν ζωήν μου κ.τ.τ.» ἢ καὶ μὰ τὰ λάχανα, μὰ τὰ πράσα, μὰ τὴν κάππαριν κ.τ.τ. Ὅτε ἤμην παῖς, συμπαίζοντες ὠμνύομεν «Μὰ τὸν *Χριστάκην*», τὸ ὄνομα παγγνώστου τινὸς ὀπωροπώλου.

2 ***οἱ μάλιστα εὐδοκιμοῦντες*** οἱ ἐν δόξῃ ὄντες, οἱ διακρινόμενοι ἔν τινι ἔργῳ.

3 ***ὀλίγου δεῖν***. Το *δεῖν* δὲν εἶνε το ἀπαρέμφ. ἀλλ' ἡ μετοχ. *δέον* συνηρημένη. Ὁμοίως παρ' Ἀριστφ. τὸ *πλέον εἰς πλεῖν*· Βατρ. 90. «Εὐριπίδου πλεῖν (πλέον) ἢ σταδίῳ λαλίστερα».Βατρχ. 103 «πλεῖν ἢ μαίνομαι».

5 ***τὴν ἐμὴν πλάνην — πονοῦντος***. Ἐπειδὴ ἐμὴν = ἐμαυτοῦ, τὸ πονοῦντος συνεφώνησε κατὰ τὴν πτῶσιν τούτου. Συμπ. 194 b· «ἰδὼν τὴν σὴν ἀνδρείαν καὶ μεγαλοφροσύνην ἀναβαίνοντος = σοῦ ἀναβαίνοντος». Ἱππ. Μ. 281 e· «τὴν ὑμετέραν τῶν σοφιστῶν τέχνην» = τὴν ὑμῶν τῶν σοφιστῶν. *Πλάνη*, ἡ κατὰ τὴν πόλιν περιπλάνησις πρὸς ἔλεγχον τοῦ μαντείου.

9 ***τοὺς τῶν διθυράμβων***. Διθύραμβος, κατ' ἀρχὰς ὕμνος εἰς Διονύσιον, ᾀδόμενος πρὸς αὐλὸν ὑπὸ χοροῦ μέχρι 50 προσώπων, ὀρχουμένων περὶ τὸν βωμὸν τοῦ θεοῦ· ὕστερον δὲ καὶ πρὸς τιμὴν ἄλλων θεῶν ποιούμενος καὶ ᾀδόμενος κατὰ τὰς ἑορτὰς αὐτῶν.

11 ***ἀναλαμβάνων αὐτῶν τὰ ποιήματα*** = λαμβάνων εἰς τὰς χεῖρας καὶ διεξερχόμενος τὰ ποιήματα αὐτῶν.

***ἅ μοι ἐδόκει μάλιστα πεπραγματεῦσθαι αὐτοῖς***. Τὸ πεπραγματεῦσθαι παθ. = ὅσα μοι ἐφαίνοντο ὅτι ἦσαν μάλιστα πεπραγματευμένα, ἐπιμεμελημένα, ἐσπουδασμένα ὑπ' αὐτῶν· ἄρα τὰ ἄριστα αὐτῶν.

12 ***διηρώτων ἄν***· «ἀφοῦ προανεγίνωσκον κατ' ἰδίαν τὰ ποιήματα, ὁσάκις ἐτύχαινε νὰ συναντήσω τοὺς ποιητάς, τοὺς ἠρώτων». Ὁ *ἂν* ἐνταῦθα μεθ' ὁριστ. παρατατ. ἢ ἀορ. δὲν εἶνε ἡ γνωστὴ ἀπόδ. ὑποθ. λόγου, ἔνθα σημαίνεται ὅτι τὸ δι' αὐτῆς λεγόμενον δὲν ἔλαβε χώραν. Ἐνταῦθα, τοὐναντίον, τὸ λεγόμενον ἐγίνετο, ὁ δὲ *ἂν* δηλοῖ τὴν ἀοριστίαν τοῦ χρόνου καθ' ὃν ἐγίνετο καὶ ὅτι πλεονάκις ἐγίνετο. Ἀριστφ. Πλοῦτ. 982· «ἀλλ' ἀργυρίου

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τί λέγοιεν, ἵν' ἅμα τι καὶ μανθάνοιμι παρ' αὐτῶν. αἰσχύνομαι οὖν ὑμῖν εἰπεῖν, ὦ ἄνδρες, τἀληθῆ· ὅμως δὲ ῥητέον. ὡς ἔπος γὰρ εἰπεῖν, ὀλίγου αὐτῶν ἅπαντες οἱ παρόντες ἂν βέλτιον ἔλεγον περὶ ὧν αὐτοὶ ἐπεποιήκεσαν. ἔγνων οὖν καὶ περὶ τῶν ποιητῶν ἐν ὀλίγῳ τοῦτο, ὅτι οὐ σοφίᾳ ποιοῖεν C ἃ ποιοῖεν, ἀλλὰ φύσει τινὶ καὶ ἐνθουσιάζοντες, ὥςπερ οἱ θεομάντεις καὶ οἱ χρησμῳδοί· καὶ γὰρ οὗτοι λέγουσι μὲν πολλὰ καὶ καλά, ἴσασι δὲ οὐδὲν ὧν λέγουσι. τοιοῦτόν τί μοι ἐφάνησαν πάθος καὶ οἱ ποιηταὶ πεπονθότες· καὶ ἅμα ᾐσθόμην αὐτῶν διὰ τὴν ποίησιν οἰομένων καὶ τἆλλα σοφωτάτων εἶναι ἀνθρώπων, ἃ οὐκ ἦσαν. ἀπῇα οὖν καὶ ἐντεῦθεν τῷ αὐτῷ οἰόμενος περιγεγονέναι ᾧπερ καὶ τῶν πολιτικῶν.

Η'. Τελευτῶν οὖν ἐπὶ τοὺς χειροτέχνας ᾖα· ἐμαυτῷ γὰρ ξυνῄδη οὐδὲν ἐπισταμένῳ, ὡς ἔπος εἰπεῖν, τούτους D δέ γ' ᾔδη ὅτι εὑρήσοιμι πολλὰ καὶ καλὰ ἐπισταμένους. καὶ τούτου μὲν οὐκ ἐψεύσθην, ἀλλ' ἠπίσταντο ἃ ἐγὼ οὐκ ἠπιστάμην καί μου ταύτῃ σοφώτεροι ἦσαν. ἀλλ', ὦ ἄνδρες Ἀθηναῖοι, ταὐτόν μοι ἔδοξαν ἔχειν ἁμάρτημα, ὅπερ καὶ οἱ ποιηταί, καὶ οἱ ἀγαθοὶ δημιουργοί· διὰ τὸ τὴν τέ-

δραχμὰς ἂν ᾔτησ' εἴκοσιν | εἰς ἱμάτιον, ὀκτὼ δ' ἂν εἰς ὑποδήματα | καὶ ταῖς ἀδελφαῖς ἀγοράσαι χιτώνιον | ἐκέλευσεν ἄν, τῇ μητρί θ' ἱματίδιον· | πυρῶν τ' ἂν ἐδεήθη μεδίμνων τεσσάρων.

3 *ὡς ἔπος γὰρ εἰπεῖν* κ.τ.λ. Σύμπλεκε ὧδε· Ἅπαντες γὰρ οἱ παρόντες (κατὰ τὴν ἐξέτασιν), ὡς ἔπος εἰπεῖν, ἔλεγον ἄν, περὶ ὧν αὐτοὶ (οἱ ποιηταὶ ἐπεποιήκεσαν), ὀλίγου (δεῖν) βέλτιον αὐτῶν. Τὸ *ἔλεγον ἂν* ὡς τὸ ἀνωτέρω *διηρώτων ἄν*.

4 *ἔγνων οὖν καὶ περὶ τῶν ποιητῶν* κ.τ.λ. Ἡ γνώμη αὕτη ἐπεκράτει παρὰ Πλάτ. διὰ παντὸς τοῦ βίου. Ἔπιθι Ἴων. 533 ἑξ. Μένων. 99 ἑξ. Φαῖδρ. 254 a. Συμπ. 196 e. Νόμ. 719 c.

12 *τῷ αὐτῷ οἰόμενος περιγεγονέναι*. Συμπλρ. τῶν ποιητῶν, ᾧπερ καὶ τῶν πολιτικῶν.

17 *καί μου ταύτῃ σοφώτεροι* = κατὰ τοῦτο, κατὰ τὰς γνώσεις τοῦ ἐπαγγέλματός των.

18 *ταὐτόν μοι ἔδοξαν*. Σύμπλεκε ὧδε· καὶ οἱ ἀγαθοὶ δημιουργοὶ ἔδοξάν μοι ἔχειν ταὐτὸν ἁμάρτημα, ὅπερ καὶ οἱ ποιηταί. Ἐπὶ ταυτότητος ὁ β' ὅρος ἐκφέρεται, ἢ ὅπως ἐνταῦθα διὰ τοῦ ἀναφορ. *ὅπερ καὶ* (τοῦτό ἐστι ταὐτὸν ὅπερ καὶ ἐκεῖνο)· ἢ ἄνευ τοῦ ἀναφορ. διὰ μόνου τοῦ *καὶ* (τοῦτό ἐστι ταὐτὸν καὶ ἐκεῖνο) ἢ διὰ δοτ. (τοῦτό ἐστι ταὐτὸν ἐκείνῳ).

19 *διὰ τὸ τὴν τέχνην — ἕκαστος ἠξίου*. Ἀσυνδέτως, ὡς ἐπεξήγ. τοῦ *ταὐτόν μοι ἔδοξαν* κ.τ.λ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χνην καλῶς ἐξεργάζεσθαι ἕκαστος ἠξίου καὶ τἆλλα τὰ μέ-
γιστα σοφώτατος εἶναι, καὶ αὐτῶν αὕτη ἡ πλημμέλεια
ἐκείνην τὴν σοφίαν ἀπέκρυπτεν· ὥςτ' ἐμὲ ἐμαυτὸν ἀνερω-
τᾶν ὑπὲρ τοῦ χρησμοῦ, πότερα δεξαίμην ἂν οὕτω ὥςπερ E
ἔχω ἔχειν, μήτε τι σοφὸς ὢν τὴν ἐκείνων σοφίαν μήτε ἀμα-
θὴς τὴν ἀμαθίαν, ἢ ἀμφότερα ἃ ἐκεῖνοι ἔχουσιν ἔχειν.
ἀπεκρινάμην οὖν ἐμαυτῷ καὶ τῷ χρησμῷ, ὅτι μοι λυσιτε-
λεῖ ὥςπερ ἔχω ἔχειν.

Θ'. Ἐκ ταυτησὶ δὴ τῆς ἐξετάσεως, ὦ ἄνδρες Ἀθηναῖοι,
πολλαὶ μὲν ἀπέχθειαί μοι γεγόνασι καὶ οἷαι χαλεπώτα- 23
ται καὶ βαρύταται, ὥςτε πολλὰς διαβολὰς ἀπ' αὐτῶν γε-
γονέναι, ὄνομα δὲ τοῦτο λέγεσθαι, σοφὸς εἶναι. οἴονται γάρ
με ἑκάστοτε οἱ παρόντες ταῦτα αὐτὸν εἶναι σοφόν, ἃ ἂν
ἄλλον ἐξελέγξω· τὸ δὲ κινδυνεύει, ὦ ἄνδρες, τῷ ὄντι ὁ θεὸς

3 *ὥςτ' ἐμὲ ἐμαυτὸν ἀνερωτᾶν ὑπὲρ τοῦ χρησμοῦ* κ.τ.λ. «Ἠρώτων ἐγὼ ἐμαυτόν, ὥςπερ ἂν εἴ με ἠρώτα ὁ χρησμός». «Πότερα δέξαιο ἄν, ὦ Σώκρατες, οὕτως ὥςπερ ἔχεις ἔχειν κ.τ.λ. Ἀπεκρινάμην οὖν ἐμαυτῷ καὶ τῷ χρησμῷ ὅ τι μοι λυσιτελοῖ ὥςπερ ἔχω ἔχειν». Ἐν τούτοις κεῖται ὁ ἔλεγχος τοῦ χρησμοῦ, ἡ ἀποκάλυψις δηλ. τοῦ ἀληθοῦς νοήματος αὐτοῦ, ὅπερ ἐνόει λέγων τὸν Σωκ. σοφώτατον πάντων. Ὅλη ἡ σοφία του συνωψίζετο ἐν τῇ ἀπαλλαγῇ αὐτοῦ ἀπὸ οἰήσεως, ἐν τῇ συνειδήσει τῆς ἀμαθείας ἑαυτοῦ καὶ ἐν γένει τῆς ἀνθρωπίνης ἀνεπαρκείας πρὸς ἀξίαν λόγου σοφίαν.

7 *ὅ τι μοι λυσιτελεῖ* Τὰ μὲν τῶν χγρ. οὕτω, τὰ δέ, *λυσιτελοῖ*, ὅπερ ἀπεδέχθησαν πάντες οἱ νεώτεροι ἐκδόται. Μοὶ φαίνεται ἐκεῖνο ὀρθότερον. Ὅ τι ἀπεκρίνατο τότε, τοῦτο ἀποκρίνεται καὶ νῦν ἐνώπιον τῶν δικαστῶν ὅτι λυσιτελεῖ αὐτῷ οὕτως ἔχειν.

10 *οἷαι χαλεπώταται καὶ βαρύταται* = τοιαῦται ἀπέχθειαι οἷαι ἂν εἴησαν ἀπέχθειαι χαλεπώταται καὶ βαρύταται. Ξνφ. Ἀπομν. Δ', 8,11 «ἐδόκει τοιοῦτος εἶναι, οἷος ἂν εἴη ἄριστός γε ἀνὴρ καὶ εὐδαιμονέστατος». Ἐκ τῆς παραλείψεως κατήντησε τὸ *οἷαι* ἁπλοῦν ἐπιτατικὸν μόριον.

11 *ὥςτε πολλὰς διαβολὰς ἀπ' αὐτῶν γεγονέναι* = πολλὰ διαβολικὰ πλάσματα ἢ μυθεύματα ὑπαγορευόμενα ὑπὸ τῆς ἀπεχθείας.

12 *ὄνομα δὲ τοῦτο λέγεσθαι, σοφὸς εἶναι*. Τὸ *λέγεσθαι* ἐκ τοῦ *ὥςτε*. Η σύνταξις ἀπῄτει αἰτ. σοφόν Ἀλλὰ μετεχειρίσθη τὴν πτῶσιν ἐκείνην ἣν συνήθως μετεχειρίζοντο καὶ οἱ ἐπὶ διαβολῇ ὀνομάζοντες αὐτόν· ἰδοὺ ὁ σοφός! ἔρχεται ὁ σοφός! τοιαῦτα διδάσκει ὁ σοφός!

14 *τὸ δὲ κινδυνεύει – ὁ θεὸς σοφὸς εἶναι*. Τὸ *τὸ δὲ* εἶνε ἀσύντακτον· προῆλθεν ἐκ παραλείψεως «τὸ δὲ οὐχ οὕτως ἔχει, ἀλλ' ὧδε· κινδυνεύει κ.τ.λ.» Πρβλ. Πολιτ. 340 d, Μέν 97 c, Θεαίτ. 157 b. Ὁμοία παράλειψις Θουκ. Β', 40 «ὃ τοῖς ἄλλοις, ἀμαθία μὲν θράσος, λογισμὸς δ' ὄκνον φέρει» = ὃ τοῖς ἄλλοις ἄλλως ἔχει· ἀμαθία μὲν κ.τ.λ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σοφὸς εἶναι, καὶ ἐν τῷ χρησμῷ τούτῳ τοῦτο λέγειν, ὅτι ἡ ἀνθρωπίνη σοφία ὀλίγου τινὸς ἀξία ἐστὶ καὶ οὐδενός· καὶ φαίνεται τοῦτ' οὐ λέγειν τὸν Σωκράτη, προσκεχρῆσθαι δὲ τῷ ἐμῷ ὀνόματι, ἐμὲ παράδειγμα ποιούμενος, ὥσπερ ἂν [B] εἰ εἴποι, ὅτι οὗτος ὑμῶν, ὦ ἄνθρωποι, σοφώτατός ἐστιν, ὅςτις ὥςπερ Σωκράτης ἔγνωκεν, ὅτι οὐδενὸς ἄξιός ἐστι τῇ ἀληθείᾳ πρὸς σοφίαν. ταῦτ' οὖν ἐγὼ μὲν ἔτι καὶ νῦν περιιὼν ζητῶ καὶ ἐρευνῶ κατὰ τὸν θεόν, καὶ τῶν ἀστῶν καὶ ξένων ἄν τινα οἴωμαι σοφὸν εἶναι· καὶ ἐπειδάν μοι μὴ δοκῇ, τῷ θεῷ βοηθῶν ἐνδείκνυμαι, ὅτι οὐκ ἔστι σοφός. καὶ ὑπὸ ταύτης τῆς ἀσχολίας οὔτε τι τῶν τῆς πόλεως πρᾶξαί μοι σχολὴ γέγονεν ἄξιον λόγου, οὔτε τῶν οἰκείων, ἀλλ' ἐν πενίᾳ μυρίᾳ εἰμὶ διὰ τὴν τοῦ θεοῦ λατρείαν. [C]

Ι'. Πρὸς δὲ τούτοις οἱ νέοι μοι ἐπακολουθοῦντες, οἷς μάλιστα σχολή ἐστιν, οἱ τῶν πλουσιωτάτων αὐτόματοι, χαίρουσιν ἀκούοντες ἐξεταζομένων τῶν ἀνθρώπων, καὶ αὐτοὶ πολλάκις ἐμὲ μιμοῦνται, εἶτα ἐπιχειροῦσιν ἄλλους ἐξετάζειν κἄπειτα, οἶμαι, εὑρίσκουσι πολλὴν ἀφθονίαν οἰομένων μὲν εἰδέναι τι ἀνθρώπων, εἰδότων δὲ ὀλίγα ἢ οὐδέν. ἐντεῦθεν οὖν οἱ ὑπ' αὐτῶν ἐξεταζόμενοι ἐμοὶ ὀργίζονται, ἀλλ' οὐχ αὑτοῖς, καὶ λέγουσιν, ὡς Σωκράτης τίς ἐστι μιαρώτατος καὶ διαφθείρει τοὺς νέους· καὶ ἐπειδάν [D] τις αὐτοὺς ἐρωτᾷ, ὅ τι ποιῶν καὶ ὅ τι διδάσκων, ἔχουσι μὲν οὐδὲν εἰπεῖν, ἀλλ' ἀγνοοῦσιν, ἵνα δὲ μὴ δοκῶσιν ἀπορεῖν, τὰ κατὰ πάντων τῶν φιλοσοφούντων πρό-

2 *καὶ φαίνεται τοῦτ' οὐ λέγειν τὸν Σωκράτη*· καὶ φαίνεται οὐ λέγειν τὸν Σωκράτην εἶναι τοῦτο· δὲν λέγει ὅτι ὁ Σωκράτης εἶνε σοφός, ἀλλ' ὅτι μετεχειρίσθη τὸ ἐμὸν ὄνομα ὡς παράδειγμα.

9 *τῷ θεῷ βοηθῶν* = ἐκτελῶν τὸ θέλημα τοῦ θεοῦ, ὅπερ ἦν νὰ ἐννοήσῃ πᾶς τις ὅτι ἡ ἀνθρωπίνη σοφία ἐστὶν οὐδενὸς ἀξία καὶ νὰ μὴ ὑπεραίρηται.

13 *διὰ τὴν τοῦ θεοῦ λατρείαν*. Λατρεία ἡ ὑπηρεσία, ἡ δουλεία.

14 *οἱ νέοι ἐπακολουθοῦντες αὐτόματοι*· ἐξ οἰκείας ὁρμῆς, οὐχὶ θηρευόμενοι, ὡς ὑπὸ τῶν σοφιστῶν. (Ὅρ. ἀνωτέρω σ. 19 e). Σοφιστ. 223 b· νέων πλουσίων καὶ ἐνδόξων γιγνομένη θήρα... σοφιστική.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χειρα ταῦτα λέγουσιν, ὅτι τὰ μετέωρα καὶ τὰ ὑπὸ γῆς
καὶ θεοὺς μὴ νομίζειν καὶ τὸν ἥττω λόγον κρείττω ποιεῖν.
τὰ γὰρ ἀληθῆ, οἶμαι, οὐκ ἂν ἐθέλοιεν λέγειν, ὅτι κατά-
δηλοι γίγνονται προσποιούμενοι μὲν εἰδέναι, εἰδότες δὲ
οὐδέν. ἅτε οὖν, οἶμαι, φιλότιμοι ὄντες καὶ σφοδροὶ καὶ E
πολλοί, καὶ ξυντεταγμένως καὶ πιθανῶς λέγοντες περὶ
ἐμοῦ, ἐμπεπλήκασιν ὑμῶν τὰ ὦτα καὶ πάλαι καὶ νῦν σφο-
δρῶς διαβάλλοντες. ἐκ τούτων καὶ Μέλητός μοι ἐπέθετο
καὶ Ἄνυτος καὶ Λύκων, Μέλητος μὲν ὑπὲρ τῶν ποιητῶν
ἀχθόμενος, Ἄνυτος δὲ ὑπὲρ τῶν δημιουργῶν [καὶ τῶν
πολιτικῶν], Λύκων δὲ ὑπὲρ τῶν ῥητόρων· ὥστε, ὅπερ 24
ἀρχόμενος ἐγὼ ἔλεγον, θαυμάζοιμ' ἄν, εἰ οἷός τ' εἴην ἐγὼ
ὑμῶν ταύτην τὴν διαβολὴν ἐξελέσθαι ἐν οὕτως ὀλίγῳ
χρόνῳ οὕτω πολλὴν γεγονυῖαν. Ταῦτ' ἐστὶν ὑμῖν, ὦ ἄν-
δρες Ἀθηναῖοι, τἀληθῆ, καὶ ὑμᾶς οὔτε μέγα οὔτε μικρὸν
ἀποκρυψάμενος ἐγὼ λέγω οὐδ' ὑποστειλάμενος. καίτοι
οἶδα σχεδόν, ὅτι τοῖς αὐτοῖς ἀπεχθάνομαι· ὃ καὶ τεκμή-
ριον ὅτι ἀληθῆ λέγω καὶ ὅτι αὕτη ἐστὶν ἡ διαβολὴ ἡ ἐμὴ
καὶ τὰ αἴτια ταῦτά ἐστιν. καὶ ἐάν τε νῦν ἐάν τε αὖθις ζη- B
τήσητε ταῦτα, οὕτως εὑρήσετε.

1 *ὅτι τὰ μετέωρα καὶ τὰ ὑπὸ γῆς.* Συμπληρωτέα «ὅτι διαφθείρει διδάσκων τὰ μετέωρα καὶ τὰ ὑπὸ γῆς, καὶ θεοὺς μὴ νομίζειν κ.τ.λ.» Παρελείφθη τὸ ῥῆμα καὶ ἐτέθησαν μόνον τὰ ἀντικείμενα, διότι αὗται ἦσαν αἱ πρόχειροι λέξεις ἃς εἶχον ἀνὰ στόμα οἱ κατήγοροί του καὶ τὰς προέφερον ὅπου καὶ ὅπως ἔτυχεν ἀσυνειδήτως καὶ ἀσυναρτήτως. Καὶ σήμερον ὁσάκις σοφαὶ λέξεις ἐμπίπτουσιν εἰς ἄσοφον λαὸν πρὸς ἔπαινον ἢ ψόγον τινός, μὴ κατανοῶν αὐτὰς καὶ ἀνίκανος ὢν νὰ τὰς διαρθρώσῃ εἰς προτάσεις ἐχούσας τέλειον νόημα, τὰς συνείρει εἰς ὁρμαθὸν ἄνευ λογικῆς συντάξεως. Ὁμοίως καὶ οἱ ἐκ τοῦ Ἀρείου Πάγου μετὰ τὸν λόγον τοῦ Παύλου ἀπερχόμενοι Ἀθηναῖοι θὰ ἀπεκρίνοντο, ἐρωτώμενοι, τί εἶπεν ὁ ξένος; — Εἶπε θεὸν γεννηθέντα καὶ ἀποθανόντα καὶ ἀναστάντα καὶ νεκρῶν ἀνάστασιν, καὶ ζωὴν αἰώνιον.

Εὐριπ. Φοιν. 1169 «βοᾷ πῦρ καὶ δικέλλας, ὡς κατασκάψων πόλιν».

4 *προσποιούμενοι μὲν εἰδέναι.* Τὸ προσποιούμενοι οὐχὶ ὑποκρινόμενοι ὅτι ἐπίστανται, ἐν συνειδήσει τῆς ἀμαθείας των· ἀλλὰ πράγματι πιστεύοντες, ἔχοντες τὴν οἴησιν ὅτι ἐπίστανται.

8 *ἐκ τούτων* οὐδ. γένους· ἐκ τούτων τῶν γεγονότων, ἐκ ταύτης τῆς κατ' ἐμοῦ καταδρομῆς.

17 *τοῖς αὐτοῖς ἀπεχθάνομαι* = τοῖς αὐτοῖς ἀνδράσιν. Ὅρ. πρκβλ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΙΑ'. Περὶ μὲν οὖν ὧν οἱ πρῶτοί μου κατήγοροι κατηγόρουν αὕτη ἐστὶν ἱκανὴ ἀπολογία πρὸς ὑμᾶς. πρὸς δὲ Μέλητον τὸν ἀγαθόν τε καὶ φιλόπολιν, ὥς φησι, καὶ τοὺς ὑστέρους μετὰ ταῦτα πειράσομαι ἀπολογεῖσθαι. αὖθις γὰρ δή, ὥςπερ ἑτέρων τούτων ὄντων κατηγόρων, λάβωμεν αὖ τὴν τούτων ἀντωμοσίαν. ἔχει δέ πως ὧδε· Σωκράτη φησὶν ἀδικεῖν τούς τε νέους διαφθείροντα καὶ θεοὺς οὓς ἡ πόλις νομίζει οὐ νομίζοντα, ἕτερα δὲ δαιμόνια καινά. τὸ C
μὲν δὴ ἔγκλημα τοιοῦτόν ἐστι· τούτου δὲ τοῦ ἐγκλήματος ἓν ἕκαστον ἐξετάσωμεν. φησὶ γὰρ δὴ τοὺς νέους ἀδικεῖν με διαφθείροντα. ἐγὼ δέ γε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀδικεῖν φημι Μέλητον, ὅτι σπουδῇ χαριεντίζεται, ῥᾳδίως εἰς ἀγῶνα καθιστὰς ἀνθρώπους, περὶ πραγμάτων προσποιούμενος σπουδάζειν καὶ κήδεσθαι, ὧν οὐδὲν τούτῳ πώποτε ἐμέλησεν. ὡς δὲ τοῦτο οὕτως ἔχει, πειράσομαι καὶ ὑμῖν ἐπιδεῖξαι.

3 *Μέλητον τὸν ἀγαθόν τε καὶ φιλόπολιν, ὥς φησι*. Φαίνεται ὅτι ὁ Μέλητος ἐν τῷ κατηγορητηρίῳ λόγῳ οὕτως ἐχαρακτήριζεν ἑαυτόν, πείθων τοὺς δικαστὰς ὅτι δι' ἀγάπην τῆς ἀρετῆς καὶ διὰ φιλοπατρίαν προήχθη εἰς καταδίωξιν τοῦ Σωκ.

6 *ἔχει δέ πως ὧδε*. Παραθέτει τὴν ἀντωμοσίαν τοῦ Μελήτου αὐταῖς μὲν λέξεσιν, ἀλλὰ πλαγιάζων τὸν λόγον, καὶ προτάσσων τὸ τῆς διαφθορᾶς τῶν νέων κεφάλαιον πρὸ τοῦ τῆς ἀσεβείας.

8 *τὸ μὲν δὴ ἔγκλημα*· τὸ πρᾶγμα δι' ὃ ἐγκαλεῖταί τις. Θουκ. Α', 126 «Ἐπρεσβεύοντο εἰς τοὺς Ἀθηναίους ἐγκλήματα ποιούμενοι, ὅπως σφίσιν ὅτι μεγίστη πρόφασις εἴη τοῦ πολεμεῖν». Ϛ', 89 «τῶν ἐμῶν προγόνων τὴν προξενίαν ὑμῶν κατά τι ἔγκλημα ἀπειπόντων».

10 *τοὺς νέους ἀδικεῖν με κ. τ. λ.* Σύμπλκ. ὧδε· «Φησί με ἀδικεῖν διαφθείροντα τοὺς νέους», ἵνα ᾖ τὸ *ἀδικεῖν* ἁπλῶς εἰρημένον ἄνευ ἀντικ.

11 *ἐγὼ δέ γε κ.τ.λ.* Ἀντιτάσσει ἰσχυρισμὸν πρὸς ἰσχυρισμὸν καὶ σχεδὸν λέξιν πρὸς λέξιν. Ὁ μὲν Μελητός φησιν ἐμὲ ἀδικεῖν· ἐγὼ δέ γέ φημι αὐτὸν ἀδικεῖν.

12 *σπουδῇ χαριεντίζεται*. Ὀξύμωρον. Συμπλέκει δύο ἐννοίας ἀντιθέτων πράξεων, αἵτινες παρ' ἀνθρώπῳ ὑγιαίνοντι τὸν νοῦν δὲν δύνανται νὰ συνυπάρχωσι, τὴν τοῦ σπουδάζειν καὶ τὴν τοῦ χαριεντίζεσθαι. Τὰ ἑπόμενα ἐπεξηγοῦσιν ἑκατέραν τῶν πράξεων τούτων· τὸ μὲν καθιστάναι ἀνθρώπους εἰς ἀγῶνας εἶνε τὸ σπουδάζειν· τὸ δὲ προσποιεῖσθαι περὶ πραγμάτων σπουδάζειν καὶ κήδεσθαι, ὧν οὐδὲν τούτῳ πώποτε ἐμέλησε, τοῦτο εἶνε τὸ χαριεντίζεσθαι. Σήμερον ἐν ὁμοίαις περιστάσεσι λέγομεν «*κακὰ χωρατεύει· ἄσχημα χωρατὰ κάμνει*»· ἤ: «*παίζει, καὶ βαρεῖ στὰ σωστά, ἢ στὰ γερά*».

14 *ὧν οὐδὲν τούτῳ πώποτε ἐμέλησεν*. Τὸ *μέλει* παρὰ Πλ. καὶ προσωπικῶς καὶ ἀπροσώπως. Προσωπ. Λάχ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΙΒ΄. Καί μοι δεῦρο, ὦ Μέλητε, εἰπέ· ἄλλο τι ἢ περὶ D
πολλοῦ ποιεῖ, ὅπως ὡς βέλτιστοι οἱ νεώτεροι ἔσονται;
— Ἔγωγε. — Ἴθι δή νυν εἰπὲ τούτοις, τίς αὐτοὺς βελ-
τίους ποιεῖ. δῆλον γὰρ ὅτι οἶσθα, μέλον γέ σοι. τὸν μὲν
γὰρ διαφθείροντα ἐξευρών, ὡς φῄς, ἐμὲ εἰσάγεις τουτοισὶ
καὶ κατηγορεῖς· τὸν δὲ δὴ βελτίους ποιοῦντα ἴθι εἰπὲ
καὶ μήνυσον αὐτοῖς, τίς ἐστιν. ὁρᾷς, ὦ Μέλητε, ὅτι σι-
γᾷς καὶ οὐκ ἔχεις εἰπεῖν; καίτοι οὐκ αἰσχρόν σοι δοκεῖ
εἶναι καὶ ἱκανὸν τεκμήριον οὗ δὴ ἐγὼ λέγω, ὅτι σοι οὐ-
δὲν μεμέληκεν; ἀλλ' εἰπέ, ὦ 'γαθέ, τίς αὐτοὺς ἀμείνους
ποιεῖ; — Οἱ νόμοι. — Ἀλλ' οὐ τοῦτο ἐρωτῶ, ὦ βέλ- E
τιστε, ἀλλὰ τίς ἄνθρωπος, ὅστις πρῶτον καὶ αὐτὸ τοῦτο
οἶδε, τοὺς νόμους. — Οὗτοι, ὦ Σώκρατες, οἱ δικασταί.
— Πῶς λέγεις, ὦ Μέλητε; οἵδε τοὺς νέους παιδεύειν
οἷοί τέ εἰσι καὶ βελτίους ποιοῦσι; — Μάλιστα. — Πότε-
ρον ἅπαντες, ἢ οἱ μὲν αὐτῶν, οἱ δ' οὔ; — Ἅπαντες. —

182 e· «οἷς οὐδὲν ἄλλο μέλει ἢ τοῦτο». Νόμ. 835 d· «θυσίαι τε καὶ αἱ ἑορταὶ καὶ χοροὶ πᾶσι μέλουσι διὰ βίου». (Ὅμοια τὰ Ὁμ. «Ἀργὼ πᾶσι μέλουσα» καὶ «πόλεμος ἄνδρεσσι μελήσει»). Πολὺ συχνοτέρα ἡ ἀπρ. σύνταξις «μέλει μοί τινος» καὶ «μέλει μοι περί τινος». Ἐνίοτε ἐν τῇ ἀπροσ. συντ. εὕρηται: *τι, οὐδέν, οὐδ' ὁτιοῦν, τὸ πᾶν* (σ. 32 d), ἅτινα φυλακτέον μὴ ἐκλάβῃς ὑποκ. προσωπικῆς συντάξεως· εἶνε αἰτ. τοῦ ποσοῦ ἢ τοῦ βαθμοῦ τοῦ μελήματος. Καὶ ἐνταῦθα «οὐκ ἐμέλησεν αὐτῷ τούτων (κατ')οὐδέν»· οὐχὶ δὲ «οὐδὲν τούτων».

1 *Καί μοι δεῦρο εἰπέ.* Κατὰ τὸν νόμον ὤφειλον οἱ διαδικαζόμενοι, ἐρωτώμενοι ὑπ' ἀλλήλων, νὰ ἀποκρίνωνται (σ. 25 d). Τὸ *δεῦρο* ἄλλοτε μὲν ἐπίρρ. κινήσεως εἰς τόπον = ἐδῶ, πρὸς τὰ ἐδῶ, κατ' ἐδῶ· ἄλλοτε δὲ παρακελευσμ. ὅπως τὸ ἡμέτερον *ἔλα*. Κρατ. 422 c· «δεῦρο αὖ συνεπίσκεψαι μετ' ἐμοῦ». Πολιτ. 445 d· «δεῦρο νῦν, ἵνα καὶ ἴδῃς».

***ἄλλο τι ἢ περὶ πολλοῦ ποιεῖ;*** ***Ἄλλο τι ἤ***· συχνοτάτη πλοκὴ παρα Πλ. προελθοῦσα ἐκ παραλείψεων. Τὸ πλῆρες θὰ ἦτο· ἄλλο τι ποιεῖς; ἄλλο τι λέγεις; ἄλλο τι συμβαίνει, ἢ (τὸ ἑπόμενον); Ὁ Πλ. τὴν μεταχειρίζεται ποῦ μὲν πληρεστέραν *ἄλλο τι ἤ*, ποῦ δὲ ἐλλιπεστέραν *ἄλλο τι*. Πολιτ. 337 c· «Ἄλλο τι οὖν καὶ σὺ οὕτω ποιήσεις;»

3 *Ἴθι δή νυν — ὁρᾷς, ὦ Μέλητε, ὅτι σιγᾷς;* Ἡ α΄ ἐρώτ. τοῦ Σωκ. περατοῦται εἰς τὸ *βελτίους ποιεῖ;* καὶ ὤφειλεν ἐκεῖ νὰ ἀποκριθῇ ὁ Μέλητος. Μὴ ἀποκρινομένου, προσθέτει ὁ Σωκ. τὰ ἑπόμενα μέχρι τοῦ *τίς ἐστιν;* καθιστῶν σαφεστέραν τὴν ἐρώτησίν του. Ἐπειδὴ ὁ Μ. διατελεῖ σιγῶν, μετά τινα παῦλαν καὶ προσδοκίαν, ἐπιφέρει ὁ Σωκ. τὰ «*Ὁρᾷς* κ.τ.λ.» Προσκαλούμενος καὶ τὸ τρίτον ὑπὸ Σωκ. νὰ ἀποκριθῇ, τέλος ὁ Μ. ἀπεκρίθη ***οἱ νό-***

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Εὖ γε νὴ τὴν Ἥραν λέγεις, καὶ πολλὴν ἀφθονίαν τῶν ὠφελούντων. τί δὲ δή; οἵδε οἱ ἀκροαταὶ βελτίους ποιοῦσιν ἢ οὔ; — Καὶ οὗτοι. — Τί δὲ οἱ βουλευταί; — Καὶ οἱ βουλευταί. — Ἀλλ' ἄρα, ὦ Μέλητε, μὴ οἱ ἐν τῇ ἐκκλησίᾳ, οἱ ἐκκλησιασταί, διαφθείρουσι τοὺς νεωτέρους; ἢ κἀκεῖνοι βελτίους ποιοῦσιν ἅπαντες; — Κἀκεῖνοι. — Πάντες ἄρα, ὡς ἔοικεν, Ἀθηναῖοι καλοὺς κἀγαθοὺς ποιοῦσι πλὴν ἐμοῦ, ἐγὼ δὲ μόνος διαφθείρω. οὕτω λέγεις; — Πάνυ σφόδρα ταῦτα λέγω. — Πολλήν γ' ἐμοῦ κατέγνωκας δυστυχίαν. καί μοι ἀπόκριναι· ἢ καὶ περὶ ἵππους οὕτω σοι δοκεῖ ἔχειν; οἱ μὲν βελτίους ποιοῦντες αὐτοὺς πάν- B

*μοι*. (Ὅρα παρεκβολάς!) Ἐλέγχων τις ἕτερον, πολλάκις ἐφιστᾷ τὴν προσοχήν του ἐπὶ τοῦ σφάλματός του διὰ ἐρωτ. ἀρχομένης ἀπὸ τοῦ *ὁρᾷς* καὶ εἰδ. λόγου δηλοῦντος τὸ ὀρθόν. Συμπ. 202 d· «ὁρᾷς οὖν ὅτι καὶ σὺ Ἔρωτα οὐ θεὸν νομίζεις;» Ἄλλοτε μετὰ τὸ ἐρωτημ. *ὁρᾷς;* ἐκφέρεται τὸ ὀρθὸν διὰ κυρίας προτάσεως ἄνευ ἐρωτήσεως. Πρωταγ. 336 b· «Ἀλλ' ὁρᾷς, ὦ Σώκρατες, δίκαια δοκεῖ λέγειν Πρωταγόρας». Κατ' ἀμφοτέρους τοὺς τρόπους μεταχειριζόμεθα καὶ σήμερον τὸ *βλέπεις*.

1 ***Εὖ γε λέγεις καὶ πολλὴν ἀφθονίαν***. Διὰ τοῦ *καὶ* συνδέονται τὸ *εὖ* καὶ τὸ ***ἀφθονίαν***, δύο οὐ μόνον γραμματικῶς ἀλλὰ καὶ συντακτικῶς ἑτερογενεῖς ὅροι. Εἶνε ἀληθὲς ὅτι τὸ *λέγεις* ὀρθῶς δέχεται καὶ τὸ ἐπίρρ. *εὖ* καὶ τὸ ἀντικ. *ἀφθονίαν*, ἀλλὰ λαμβάνον διάφορον σημασίαν, δι' ἣν θὰ ἠδύναντο νὰ τεθῶσι δύο διάφορα ῥήματα, οἷον: «εὖ λέγεις καὶ πολλὴν ἀφθονίαν μηνύεις ὑπάρχουσαν τῶν ὠφελούντων». Εἶνε λοιπὸν εἶδός τι ζεύγματος, καθ' ὃ τὸ αὐτὸ ῥῆμα λαμβάνεται ἐν ἑκατέρῳ τῶν συνδεομένων μὲ διάφορον σημασίαν.

2 *οἱ ἀκροαταί*. (Ὅρα εἰσαγ. σ. 241).

3 *οἱ βουλευταί*· τὰ μέλη τῆς βουλῆς τῶν πεντακοσίων.

8 *πλὴν ἐμοῦ, ἐγὼ δέ*. Διὰ τοῦ *ἐγὼ δὲ* δηλοῦται σαφέστερον τὸ διὰ τοῦ *πλὴν ἐμοῦ* νοούμενον. Ἄνευ τούτου, τὸ *πλὴν ἐμοῦ* καθ' ἑαυτὸ θὰ ἐσήμαινε μόνον ἐξαίρεσιν τοῦ ἐν τῇ προηγουμένῃ προτάσει λεγομένου. «Πάντες Ἀθ. ποιοῦσι τοὺς νέους καλοὺς κἀγαθούς, ἐγὼ δὲ μόνος οὐ ποιῶ (δηλ. καλοὺς κἀγαθούς)». Ἀλλὰ μεταξὺ τοῦ μὴ ποιεῖν καλοὺς κἀγαθούς, καὶ τοῦ διαφθείρειν, ὑπάρχει διαφορά· διὰ τοῦτο ἐπέφερε τὴν διὰ τοῦ *ἐγὼ δὲ* πρότασιν

9 ***πολλήν γ' ἐμοῦ κατέγνωκας δυστυχίαν***. Καταγιγνώσκω τινός τι (κακόν) = ἀποφαίνομαι γνώμην κατά τινος ὅτι ἔχει τι κακὸν ἢ εἶνε ἄξιος νὰ πάθῃ τι κακόν.

10 *ἢ καὶ περὶ ἵππους*. Ὁ Σωκ. συλλογίζεται ὧδε·

Μ. Π. Οἱ ἵπποι ὠφελοῦνται ὑπὸ ἑνὸς ἢ ὀλίγων, τῶν τῆς ἱπποκομίας ἐπιστημόνων, βλάπτονται δὲ ὑπὸ τῶν πολλῶν ἀνεπιστημόνων ὄντων. Ἐλ. Π. Ὅ τι συμβαίνει περὶ τοὺς ἵππους τοῦτ' αὐτὸ συμβαίνει καὶ περὶ τοὺς νέους.

Συμπ. Καὶ οἱ νέοι ἄρα, ὠφελοῦνται μὲν ὑπὸ ἑνὸς (ἢ ὀλίγων) παιδαγωγι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τες ἄνθρωποι εἶναι, εἷς δέ τις ὁ διαφθείρων; ἢ τοὐναντίον τούτου πᾶν, εἷς μέν τις ὁ βελτίους οἷός τ' ὢν ποιεῖν ἢ πάνυ ὀλίγοι, οἱ ἱππικοί· οἱ δὲ πολλοὶ ἐάνπερ ξυνῶσι καὶ χρῶνται ἵπποις, διαφθείρουσιν; οὐχ οὕτως ἔχει, ὦ Μέλητε, καὶ περὶ ἵππων καὶ τῶν ἄλλων ἁπάντων ζῴων; Πάντως δήπου, ἐάν τε σὺ καὶ Ἄνυτος οὐ φῆτε ἐάν τε φῆτε· πολλὴ γὰρ ἄν τις εὐδαιμονία εἴη περὶ τοὺς νέους, εἰ εἷς μὲν μόνος αὐτοὺς διαφθείρει, οἱ δ' ἄλλοι ὠφελοῦσιν. ἀλλὰ γάρ, C
ὦ Μέλητε, ἱκανῶς ἐπιδείκνυσαι, ὅτι οὐδεπώποτε ἐφρόντισας τῶν νέων, καὶ σαφῶς ἀποφαίνεις τὴν σαυτοῦ ἀμέλειαν, ὅτι οὐδέν σοι μεμέληκε περὶ ὧν ἐμὲ εἰσάγεις.

ΙΓ'. Ἔτι δὲ ἡμῖν εἰπέ, ὦ πρὸς Διὸς Μέλητε, πότερόν ἐστιν οἰκεῖν ἄμεινον ἐν πολίταις χρηστοῖς ἢ πονηροῖς; ὦ τᾶν, ἀπόκριναι· οὐδὲν γάρ τοι χαλεπὸν ἐρωτῶ. οὐχ οἱ μὲν πονηροὶ κακόν τι ἐργάζονται τοὺς ἀεὶ ἐγγυτάτω ἑαυτῶν ὄντας, οἱ δ' ἀγαθοὶ ἀγαθόν τι; — Πάνυ γε. — Ἔστιν οὖν ὅστις βούλεται ὑπὸ τῶν ξυνόντων βλάπτεσθαι μᾶλλον ἢ ὠφελεῖσθαι; ἀπόκριναι, ὦ ἀγαθέ· καὶ γὰρ ὁ νόμος κελεύει D
ἀποκρίνεσθαι. ἔσθ' ὅστις βούλεται βλάπτεσθαι; — Οὐ δῆτα. — Φέρε δὴ πότερον ἐμὲ εἰσάγεις δεῦρο ὡς διαφθείροντα τοὺς νεωτέρους καὶ πονηροτέρους ποιοῦντα ἑκόντα ἢ

κῶν ἀνδρῶν, βλάπτονται δὲ ὑπὸ τῶν πολλῶν. Τοῦτο βέβαια δὲν εἶνε ἐπιστημονικὸς συλλογισμός, ἀλλὰ τοῦ εἰκότος· διότι *ἀναγκαίως* δὲν συμβαίνει περὶ τοὺς νέους ὅ τι καὶ περὶ τοὺς ἵππους, ἀλλὰ κατὰ συμβεβηκός. Συμβαίνει δὲ πράγματι τὸ τοιοῦτον ἐν κοινωνίᾳ ἀνθρώπων διεφθαρμένῃ, ὅπου καθῆκον τοῦ παιδεύοντος εἶνε νὰ περιφράττῃ τὸν νέον ἀπὸ πάσης μετὰ τῶν ἐπιτυχόντων ἀνθρώπων κοινωνίας, ὅπως ποιοῦσι καὶ οἱ ἱππικοὶ περὶ τοὺς ἵππους.

6 *ἐάν τε σὺ καὶ Ἄνυτος οὐ φῆτε*. Ἐπίστησον ἐπὶ τὸ *οὐ* ἐν ὑποθ. λόγῳ. Ἡ ἄρνησις δὲν ἰσχύει δι' ὅλον τὸν ὑποθ. λόγον ἀλλὰ μόνον διὰ τὸ *φῆτε*= ἀποφῆτε. Τὸν Ἄνυτον συμπαρέλαβε, διότι οὗτος πρὸ πάντων κατηγόρει σφοδρῶς τοῦ Σωκ. ὡς διαφθείροντος τοὺς νέους, ἕνεκα τοῦ υἱοῦ του (Ὅρα εἰσαγ. σελ. 205-6).

8 *ἀλλὰ γάρ*. Ἀπὸ τῶν ἰσχνῶν καὶ ἀδεξίων ἀποκρίσεων τοῦ Μ. συμπεραίνει ὁ Σωκ. ὅτι οὐδέποτε ἐμελέτησε τὸ τῆς παιδείας τῶν νέων κεφάλαιον.

18 *καὶ γὰρ ὁ νόμος*. Παρὰ Δημοσθ. κατὰ Στεφάνου Β', 10 φέρεται ὁ νόμος οὗτος ἔχων ὧδε· «Τοῖν ἀντιδίκοιν ἐπάναγκες εἶναι ἀποκρίνεσθαι ἀλλήλοις τὸ ἐρωτώμενον κ.τ.λ.»

21 *ἑκόντα ἢ ἄκοντα*· ἰσοδυναμοῦσι τροπικαῖς μετοχαῖς τοῦ *ποιοῦντα*.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄκοντα; — Ἑκόντα ἔγωγε. — Τί δῆτα, ὦ Μέλητε; τοσοῦτον σὺ ἐμοῦ σοφώτερος εἶ τηλικούτου ὄντος τηλικόσδε ὤν, ὥςτε σὺ μὲν ἔγνωκας, ὅτι οἱ μὲν κακοὶ κακόν τι ἐργάζονται ἀεὶ τοὺς μάλιστα πλησίον ἑαυτῶν, οἱ δὲ ἀγαθοὶ E ἀγαθόν· ἐγὼ δὲ δὴ εἰς τοσοῦτον ἀμαθίας ἥκω, ὥςτε καὶ τοῦτ' ἀγνοῶ, ὅτι, ἐάν τινα μοχθηρὸν ποιήσω τῶν ξυνόντων, κινδυνεύσω κακόν τι λαβεῖν ἀπ' αὐτοῦ, ὥςτε τοῦτο τὸ τοσοῦτον κακὸν ἑκὼν ποιῶ, ὡς φῂς σύ; ταῦτα ἐγώ σοι οὐ πείθομαι, ὦ Μέλητε, οἶμαι δὲ οὐδὲ ἄλλον ἀνθρώπων οὐδένα· ἀλλ' ἢ οὐ διαφθείρω, ἢ εἰ διαφθείρω, ἄκων· ὥςτε 26 σύ γε κατ' ἀμφότερα ψεύδει. εἰ δὲ ἄκων διαφθείρω, τῶν τοιούτων [καὶ] ἀκουσίων ἁμαρτημάτων οὐ δεῦρο νόμος εἰσάγειν ἐστίν, ἀλλὰ ἰδίᾳ λαβόντα διδάσκειν καὶ νουθετεῖν· δῆλον γὰρ ὅτι, ἐὰν μάθω, παύσομαι ὅ γε ἄκων ποιῶ. σὺ δὲ ξυγγενέσθαι μέν μοι καὶ διδάξαι ἔφυγες καὶ οὐκ ἠθέλησας, δεῦρο δὲ εἰσάγεις, οἷ νόμος ἐστὶν εἰσάγειν τοὺς κολάσεως δεομένους, ἀλλ' οὐ μαθήσεως.

ΙΔ'. Ἀλλὰ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο μὲν δῆλον ἤδη ἐστίν, ὃ ἐγὼ ἔλεγον, ὅτι Μελήτῳ τούτων οὔτε μέγα B οὔτε μικρὸν πώποτε ἐμέλησεν. Ὅμως δὲ δὴ λέγε ἡμῖν, πῶς με φῂς διαφθείρειν, ὦ Μέλητε, τοὺς νεωτέρους; ἢ δῆλον δὴ ὅτι κατὰ τὴν γραφήν, ἣν ἐγράψω, θεοὺς διδάσκοντα μὴ νομίζειν οὓς ἡ πόλις νομίζει, ἕτερα δὲ δαιμόνια καινά;

5 *ἐγὼ δὲ εἰς τοσοῦτον ἀμαθίας ἥκω ὥςτε ἀγνοῶ*. Τὸ *εἰς τοσοῦτον ἀμαθίας ἥκω ὥςτε* πλεονάζει· ἤρκει μόνον τὸ *ἐγὼ δὲ ἀγνοῶ*. Ἀλλ' ἐν τῷ προφ. λόγῳ τοιοῦτοι πλεονασμοὶ εἶνε συχνότατοι.

8 *ταῦτα ἐγώ σοι οὐ πείθομαι*. Βραχυλογία, ἀντί: οὐ πείθομαί σοι λέγοντι ἢ ἰσχυριζομένῳ ταῦτα.

14 *δῆλον γὰρ ὅτι*. Ἐνταῦθα σαφῶς τὸ μὲν *δῆλόν (ἐστι)* ἡ κυρία πρότ. τὸ δὲ *ὅτι — παύσομαι* ὁ εἰδ. λόγος. Ὁμοίως καὶ κατωτέρω *ἢ δῆλον δὴ ὅτι*· καὶ οὕτω πλεονάκις παρὰ Πλ. Ἀλλ' ἡ συχνὴ χρῆσις συνεκόλλησε τὰ δύο *δῆλον ὅτι*, εἰς ἓν *δηλονότι* μὲ ἔννοιαν ἐπιρρημ., ὁ δὲ εἰδ. λόγος ἀπαλλαγεὶς τοῦ *ὅτι* ἔλαβε τὴν θέσιν τῆς κυρίας προτάσεως. Πολιτ. 372 c· «Ἐπελαθόμην ὅτι καὶ ὄψον ἕξουσιν, ἅλας τε δηλονότι καὶ ἐλάας καὶ τυρόν». Γοργ. 516· «ὀλίγου δέ, καὶ θανάτου ἐτίμησαν, δηλονότι ὡς πονηροῦ ὄντος». Κρατ. 438 d· «δείξαντα δηλονότι τὴν ἀλήθειαν τῶν ὄντων».

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐ ταῦτα λέγεις, ὅτι διδάσκων διαφθείρω; — Πάνυ μὲν οὖν σφόδρα ταῦτα λέγω. — Πρὸς αὐτῶν τοίνυν, ὦ Μέλητε, τούτων τῶν θεῶν, ὧν νῦν ὁ λόγος ἐστίν, εἰπὲ ἔτι C σαφέστερον καὶ ἐμοὶ καὶ τοῖς ἀνδράσιν τούτοις. ἐγὼ γὰρ οὐ δύναμαι μαθεῖν, πότερον λέγεις διδάσκειν με νομίζειν εἶναί τινας θεούς, καὶ αὐτὸς ἄρα νομίζω εἶναι θεούς, καὶ οὐκ εἰμὶ τὸ παράπαν ἄθεος οὐδὲ ταύτῃ ἀδικῶ, οὐ μέντοι οὕσπερ γε ἡ πόλις, ἀλλὰ ἑτέρους, καὶ τοῦτ' ἔστιν ὅ μοι ἐγκαλεῖς, ὅτι ἑτέρους· ἢ παντάπασί με φῄς οὔτε αὐτὸν νομίζειν θεοὺς τούς τε ἄλλους ταῦτα διδάσκειν; — Ταῦτα λέγω, ὡς τὸ παράπαν οὐ νομίζεις θεούς. — Ὦ θαυμάσιε Μέλητε, ἵνα τί ταῦτα λέγεις; οὐδὲ ἥλιον οὐδὲ σελήνην D ἄρα νομίζω θεοὺς εἶναι, ὥσπερ οἱ ἄλλοι ἄνθρωποι; — Μὰ Δί', ὦ ἄνδρες δικασταί, ἐπεὶ τὸν μὲν ἥλιον λίθον φησὶν εἶναι, τὴν δὲ σελήνην γῆν. — Ἀναξαγόρου οἴει κατηγορεῖν, ὦ φίλε Μέλητε, καὶ οὕτω καταφρονεῖς τῶνδε καὶ οἴει αὐ-

1 *οὐ ταῦτα λέγεις; ὅτι διδάσκων διαφθείρω;* Τὸ ταῦτα ἀντικ. τοῦ *λέγεις*. Ἡ ἑπομ. εἰδ. πρότ. ἐπεξήγησις τοῦ *ταῦτα*· τὸ δὲ *διδάσκων* ἐτέθη ἄνευ ἀντικειμένου = *διδάσκοντας*.

6 *καὶ αὐτὸς ἄρα νομίζω εἶναι θεούς*. Δὲν τὸ ἐξήρτησεν ἐκ τοῦ *λέγεις*, καλῶς ποιῶν· διότι ὁ λόγος θὰ ἦτο ἀσαφὴς καὶ μονότονος. Τὸ παρέταξεν ὡς κυρίαν πρότ., τὸ δὲ *ἄρα* = κατὰ τὸν σὸν λόγον.

11 *Ὦ θαυμάσιε Μέλητε*. Τὸν ἀποκαλεῖ θαυμάσιον, ὡς θαυμαστὰ λέγοντα· θαυμαστὰ δὲ ἐκάλουν εὐφήμως τὰ ἄτοπα, τὰ παράλογα. Θεαίτ. 151 a· «θαυμαστὰ δρῶντες». 154 b· «θαυμαστά γε καὶ γελοῖα ἀναγκαζόμεθα λέγειν». Νόμ. 646 b· «τοῦ θαυμαστοῦ τε καὶ ἀτόπου ἕνεκα». Ξνφ. Συμπ. Η', 32· «θαυμαστὰ λέγων».

12 *ἵνα τί ταῦτα λέγεις;* ἐλλειπτικῶς = ἵνα τί γένηται, ταῦτα λέγεις; πρὸς τίνα σκοπὸν ἀποβλέπων λέγεις ταῦτα;

12 *οὐδὲ ἥλιον* κ.τ.λ. Ὑπὸ τὸ πρόσωπον τοῦ Ἀπόλλωνος καὶ τῆς Ἀρτέμιδος ἐτίμων οἱ ἀρχαῖοι τὸν ἥλιον καὶ τὴν σελήνην, ὡς θεούς.

15 *Ἀναξαγόρου οἴει κατηγορεῖν;* = νομίζεις ὅτι ἔχεις ἐνώπιόν σου τὸν Ἀναξ. κατηγορούμενον; Ἀναξαγόρας ὁ ἐκ Κλαζομενῶν φιλόσοφος, ἂν καὶ πρῶτος εἰσήγαγεν εἰς τὴν φιλοσοφίαν τὸν Νοῦν κοσμήτορα τοῦ παντός, ὅμως ἐν τοῖς καθ' ἕκαστον ἀποδεικνύει τὰ φυσικὰ φαινόμενα προερχόμενα ἐξ ἀλόγων φυσικῶν νόμων ἢ ἀναγκῶν. Ἐπὶ Περικλέους διέτριβεν ἐν Ἀθήναις καὶ πολλοὶ τῶν ἐπιφανῶν ἀνδρῶν ἐγένοντο ἢ μαθηταί του ἢ συνομιληταί του, ἐν οἷς καὶ Εὐριπίδης. Κατὰ τὸν Διογ. Λ. Β', 8 «Οὗτος ἔλεγε τὸν ἥλιον μύδρον εἶναι διάπυρον καὶ μείζω τῆς Πελοποννήσου, τὴν δὲ σελήνην οἰκήσεις ἔχειν, ἀλλὰ καὶ λόφους καὶ φάραγγας».

16 *καὶ οὕτω καταφρονεῖς τῶνδε*. Διὰ τοῦ *καὶ* συνδέονται δύο νοήματα ἀναιροῦντα ἄλληλα. Ἂν μὲν ὁ Μ. νο-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοὺς ἀπείρους γραμμάτων εἶναι, ὥςτε οὐκ εἰδέναι, ὅτι τὰ Ἀναξαγόρου βιβλία τοῦ Κλαζομενίου γέμει τούτων τῶν λόγων; καὶ δὴ καὶ οἱ νέοι ταῦτα παρ' ἐμοῦ μανθάνουσιν, ἃ ἔξεστιν ἐνίοτε, εἰ πάνυ πολλοῦ, δραχμῆς ἐκ τῆς ὀρχήστρας πριαμένοις Σωκράτους καταγελᾶν, ἐὰν προσποιῆται E ἑαυτοῦ εἶναι, ἄλλως τε καὶ οὕτως ἄτοπα ὄντα; ἀλλ', ὦ πρὸς Διός, οὑτωσί σοι δοκῶ οὐδένα νομίζειν θεὸν εἶναι; — Οὐ μέντοι μὰ Δία οὐδ' ὁπωστιοῦν. — Ἄπιστός γ' εἶ, ὦ Μέλητε, καὶ ταῦτα μέντοι, ὡς ἐμοὶ δοκεῖς, σαυτῷ. ἐμοὶ γὰρ δοκεῖ οὑτοσί, ὦ ἄνδρες Ἀθηναῖοι, πάνυ εἶναι ὑβριστὴς καὶ ἀκόλαστος, καὶ ἀτεχνῶς τὴν γραφὴν ταύτην ὕβρει τινὶ καὶ ἀκολασίᾳ καὶ νεότητι γράψασθαι. ἔοικεν γὰρ ὥςπερ

μίζει ὅτι ἔχει ἐνώπιόν του τὸν Ἀναξ. τότε δὲν ὑποθέτει ἀγραμμάτους τοὺς δικαστάς· ἂν δὲ ὑποθέτει αὐτοὺς τοιούτους, τότε εὐλόγως κατηγορῶν τὸν Σωκ. ἀποδίδει αὐτῷ τὰ τοῦ Ἀναξ. ἐλπίζων ὅτι οἱ ἀγράμματοι δικασταὶ δὲν θὰ διίδωσι τὸν δόλον. Διόπερ καί τινες ἑρμηνευναὶ διορθοῦσι τὸν *καὶ* εἰς *ἤ*, «ἢ τὸ ἓν ἢ τὸ ἄλλο». Ἀλλ' ὁ *καὶ* συνδέει ἐνταῦθα ἐρώτησιν μετ' ἐρωτήσεως, ἀσχέτως πρὸς τὸ νόημά των ἂν συμφωνοῦσιν ἢ διαφωνοῦσιν. Σήμερον ἠδυνάμην ὀρθῶς νὰ εἴπω· «Νομίζεις ὅτι δέν σε βλέπει ὁ Θεός; *καὶ* θά σου συγχωρήσῃ ποτὲ τοιοῦτον ἁμάρτημα;» Ταῦτα ἄνευ ἐρωτήσεως δὲν θὰ ἠδυνάμην νὰ συνδέσω διὰ τοῦ *καὶ* ἀλλὰ διὰ τοῦ *ἤ*· «Νομίζω ὅτι ὁ Θεὸς δέν με βλέπει, ἢ ὅτι (ἄν με βλέπῃ) θὰ μοῦ συγχωρήσῃ τὸ ἁμάρτημα».

5 *πριαμένοις*. Ὠνοῦμαι, ἐώνημαι, ἐπριάμην, οὐδέποτε ὠνησάμην παρὰ τοῖς Ἀττ. Κακῶς ὁ Λουκ. ἐν Νεκρ. διαλ. «Εὖγε, ἄξια ταῦτα ὠνήσω».

*ἐὰν προσποιῆται ἑαυτοῦ εἶναι* = ἐὰν τὰ κάμνῃ ἢ τὰ λέγῃ ἰδικά του (Ὅρ. ἀνωτ. σ. 221).

8 *ἄπιστός γ' εἶ, ὦ Μ*. κ.τ.λ. Τὸ ἄπιστος παθ. = δὲν εἶσαι πιστευτός, «δὲν εἶνε πιστευτοὶ οἱ λόγοι σου, οὐ μόνον ὑπὸ τῶν ἄλλων, ἀλλὰ τὸ παράδοξον (καὶ τοῦτο μέντοι) οὐδ' ὑπὸ σοῦ τοῦ ἰδίου».

9 *ἐμοὶ γὰρ δοκεῖ*. Ἀποστροφὴ πρὸς τοὺς δικαστάς, ἵνα χαρακτηρίσῃ τὸν Μέλητον. Ὁ χαρακτηρισμὸς οὗτος καθ' ὅλου μὲν δικαιολογεῖται καὶ καθίσταται πιθανὸς ἐκ τῶν μέχρι τοῦδε δεδειγμένων· σαφῶς δὲ καὶ ἀκριβῶς ἐκ τῶν ἑπομένων (ξυνεπισκέψασθε κ.τ.λ.). Ἐν τοῖς τοιούτοις χαρακτηρισμοῖς οἱ διάδικοι δὲν ἦσαν λίαν φιλόφρονες εἰς ἀλλήλους. (Πρβλ. Δημοσθ. περὶ τοῦ Στεφάνου).

11 *ὕβρει καὶ ἀκολασίᾳ καὶ νεότητι*. Ὕβρις, ἡ λόγῳ ἢ ἔργῳ ἢ διανοίᾳ καταφρόνησις θείων καὶ ἀνθρωπίνων νόμων. Ὁμ. Ὀδ. I 175 περὶ τῶν Κυκλώπων

Ἠ ῥ' ὑβρισταί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι,
ἠὲ φιλόξενοι, καί σφι νόος ἐστὶ θεουδής.

*ἀκολασία* σχεδὸν συνώνυμον τῇ ὕβρει, τὸ δρᾶν ἃ βούλεται κατὰ τὸ Σοφόκλειον

ὅπου δ' ὑβρίζειν δρᾶν θ' ἃ βούλεται παρῇ·

*νεότης* = νεανιευτικὸς ἢ μειρακιώδης τρόπος· πρεπόντως καὶ εἰς τὴν ἡλικίαν τοῦ Μελήτου, ὅςτις κατὰ τὸν Εὐθύφρ. 2 b ἦτο «νέος οὐ πάνυ εὐγένειος».

12 *ἔοικε γὰρ ὥςπερ αἴνιγμα ξυντι-*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αἴνιγμα ξυντιθέντι, διαπειρωμένῳ, «ἆρα γνώσεται Σωκράτης 27
ὁ σοφὸς δὴ ἐμοῦ χαριεντιζομένου καὶ ἐναντί' ἐμαυτῷ λέ-
γοντος, ἢ ἐξαπατήσω αὐτὸν καὶ τοὺς ἄλλους τοὺς ἀκούον-
τας;» οὗτος γὰρ ἐμοὶ φαίνεται τὰ ἐναντία λέγειν αὐτὸς
ἑαυτῷ ἐν τῇ γραφῇ, ὥςπερ ἂν εἰ εἴποι, ἀδικεῖ Σωκράτης
θεοὺς οὐ νομίζων, ἀλλὰ θεοὺς νομίζων. καίτοι τοῦτό ἐστι
παίζοντος.

ΙΕ'. Ξυνεπισκέψασθε δή, ὦ ἄνδρες, ᾗ μοι φαίνεται
ταῦτα λέγειν· σὺ δὲ ἡμῖν ἀπόκριναι, ὦ Μέλητε· ὑμεῖς δέ,
ὅπερ κατ' ἀρχὰς ὑμᾶς παρῃτησάμην, μέμνησθέ μοι μὴ θορυ- Β
βεῖν, ἐὰν ἐν τῷ εἰωθότι τρόπῳ τοὺς λόγους ποιῶμαι. Ἔστιν
ὅςτις ἀνθρώπων, ὦ Μέλητε, ἀνθρώπεια μὲν νομίζει

*θέντι*. Σύμπλεκε, οὐχὶ «ἔοικε ξυντιθέντι ὥςπερ αἴνιγμα» ἀλλὰ «ἔοικεν ὥςπερ ξυντιθέντι αἴνιγμα». Ἱππ. Ἐλ. 373 b· «ἔοικεν ὥςπερ κακουργοῦντι». Φαῖδρ. 270 d· «ἡ τούτων μέθοδος ἐοίκοι ἂν ὥςπερ τυφλοῦ πορείᾳ». Τὰ αἰνίγματα συνετίθεσαν οἱ ἀρχαῖοι ὡς οἷόν τε δι' ἀντιφάσεων, ὥςτε ἐπιπολαίως νὰ φαίνηται ὅτι εἶνε ἀδύνατον νὰ ὑπάρχῃ πράγματι τὸ δι' αὐτοῦ σημαινόμενον. Ἐν Πολιτ. 479 c ἀναφέρεταί τι παίδων αἴνιγμα, ὅπερ κατὰ τὸν σχολιαστὴν εἶχεν ὧδε·

Αἶνός τίς ἐστιν, ὡς ἀνήρ τε κοὐκ ἀνὴρ
[ (εὐνοῦχος)
Ὄρνιθα κοὐκ ὄρνιθα (νυκτερίδα) ἰδών τε
[ κοὐκ ἰδὼν (ἐν λυκόφωτι)
Ἐπὶ ξύλου τε κοὐ ξύλου καθημένην
[ (ἐπὶ καλάμου)
Λίθῳ τε κοὐ λίθῳ (κισήρει) βάλοι τε κοὐ
[ βάλοι (ἔβαλε μὲν ἀλλὰ δὲν ἐπέτυχε).

1 *διαπειρωμένῳ*· προσδιορίζει τὸ *ξυντιθέντι αἴνιγμα*, ὡς σκοπὸς αὐτοῦ. ἵνα διαπειραθῇ.

*ἆρα γνώσεται* κ.τ.λ.; εὐθεῖα ἐρώτ. ἀντὶ πλαγίας ἐκ τοῦ *διαπειρωμένῳ*· ὅπως δηλ. αὐτὸς ὁ Μέλητος προέβαλεν ἑαυτῷ τὴν διάπειραν.

*ἆρα γνώσεται — ἐμοῦ χαριεντιζομένου*. Γιγνώσκω τινὸς πράττοντός τι = Γινώσκω τὴν πρᾶξίν τινος. Παραλείπεται λοιπὸν ἡ αἰτ. παραλαμβανομένη ἐκ τῆς μετοχ. Κρατύλ. 435 a· «εἰ γιγνώσκεις ἐμοῦ φθεγγομένου» = εἰ γιγνώσκεις τὸ φθέγμα ἐμοῦ. Ὁμοία ἡ σύνταξις τοῦ *ἀκούω*. «Ἀκούω τὸ ᾆσμα τῆς ἀηδόνος» καὶ «ἀκούω τῆς ἀηδόνος ᾀδούσης». Ὁμοίως τὸ μανθάνω. Γοργ. 463 d· «ἆρ' οὖν ἂν μάθοις ἀποκριναμένου (μου)»; Φίληβ. 51 c· «εἴ μου μανθάνεις». Ὁμοίως τὸ ἀποδέχομαι, Φαίδ. 92 b· «μήτε ἐμαυτοῦ μήτε ἄλλου ἀποδέχεσθαι λέγοντος».

6 *θεοὺς οὐ νομίζων, ἀλλὰ θεοὺς νομίζων*. Δια τὴν ἀντίφασιν ταύτην τῶν ἰσχυρισμῶν τοῦ Μ. ἐχαρακτήρισε τοὺς λόγους του ὡς αἴνιγμα. Ὅτι δὲ πράγματι ὑπάρχει ἡ ἀντίφασις αὕτη, ἔρχεται νὰ δείξῃ κατωτέρω· διὸ παρακαλεῖ καὶ τοὺς δικαστὰς *συνεπισκέψασθαι* δηλ. νὰ τὸν παρακολουθήσωσιν εἰς τοὺς συλλογισμούς του.

10 *μέμνησθέ μοι μὴ θορυβεῖν*. Τὸ ἀπαρέμφ. οὐχὶ ἀμέσως ἐκ τοῦ *μέμνησθε* ἀλλὰ μέμνησθε ὃ κατ' ἀρχὰς παρῃτησάμην (17 d), μὴ θορυβεῖν· μέμνησθε τῆς δεήσεώς μου μὴ θορυβεῖν.

11 *ἐν τῷ εἰωθότι τρόπῳ* = διαλογικῶς καὶ διὰ παρεισαγωγῆς κοινῶν καὶ τετριμμένων πραγμάτων, οἷον ἵππων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πράγματ' εἶναι, ἀνθρώπους δὲ οὐ νομίζει; ἀποκρινέσθω, ὦ ἄνδρες, καὶ μὴ ἄλλα καὶ ἄλλα θορυβείτω· ἔσθ' ὅςτις ἵππους μὲν οὐ νομίζει, ἱππικὰ δὲ πράγματα; ἢ αὐλητὰς μὲν οὐ νομίζει εἶναι, αὐλητικὰ δὲ πράγματα; Οὐκ ἔστιν, ὦ ἄριστε ἀνδρῶν· εἰ μὴ σὺ βούλει ἀποκρίνασθαι, ἐγὼ σοὶ λέγω καὶ τοῖς ἄλλοις τουτοισί. ἀλλὰ τὸ ἐπὶ τούτῳ γε ἀπόκριναι· ἔσθ' ὅςτις δαιμόνια μὲν νομίζει πράγματ' εἶναι, C
δαίμονας δὲ οὐ νομίζει; —Οὐκ ἔστιν.—Ὡς ὤνησας, ὅτι

καὶ αὐλῶν ἐνταῦθα, καὶ ὄνων καὶ ἡμιόνων κατωτέρω. Γοργ. 491 a· «Ἀτεχνῶς γε ἀεὶ σκυτέας τε καὶ κναφέας καὶ μαγείρους λέγων καὶ ἰατροὺς οὐδὲν παύει». Οἱ ἐλεγκτικοὶ συλλογισμοὶ τοῦ Σωκ. ἐν συνόψει ἔχουσιν ὧδε·

*Α' Συλλογισμός.*

Μ. Πρ. Ὅςτις νομίζει κτήματα ἢ ποιήματα, νομίζει καὶ κτήτορα ἢ ποιητὴν αὐτῶν· οἷον ὅςτις νομίζει ἀνθρώπεια (κτήματα ἢ ποιήματα) νομίζει καὶ ἀνθρώπους, καὶ ὅςτις ἱππικά, καὶ ἵππους, καὶ ὅςτις αὐλητικά, καὶ αὐλητάς.

Ἐλ. Πρ. Ἀλλ' ἐγώ, κατὰ τὴν γραφήν σου, νομίζω δαιμόνια πράγματα.

Συμπ. Νομίζω ἄρα, κατὰ σέ, καὶ δαίμονας.

*Β' Συλλογισμός.*

Μ. Πρ. Τὸ συμπ. τοῦ προηγ. Νομίζω δαίμονας.

Ἐλ. Πρ. Οἱ δαίμονές εἰσιν ἢ θεοὶ ἢ παῖδες τῶν θεῶν.

Συμπ. Νομίζω ἄρα ἢ θεοὺς ἢ παῖδας θεῶν.

Ἂν μὲν ὁ Μέλ. ὁμολογῇ ὅτι οἱ δαίμονές εἰσι θεοί, ὁ ἔλεγχος αὐτοῦ εἶνε τέλειος. Ἂν δὲ δὲν ὁμολογῇ τοῦτο, ἀλλ' ὅτι εἶνε παῖδες θεῶν, τότε ἐπαναλαμβάνεται ὁ α' Συλλογισμός. Ὅςτις νομίζει παῖδας (ποιήματα, γεννήματα) θεῶν, νομίζει καὶ θεούς. Νομίζω ἄρα θεούς. Ἡ ἀντίφασις εἰς ἣν περιέπεσεν ὁ Μ. εἶνε αὕτη, ὅτι ἐν μὲν τῇ γραφῇ εἶπεν ὅτι εἰσάγει καινὰ δαιμόνια, δι' οὗ ὁμολογεῖ ὅτι ὁ Σ. νομίζει δαιμόνια, εἴτ' οὖν καινά, εἴτε παλαιά, ὡς λέγει· ἐν δὲ ταῖς ἐρωτήσεσι τοῦ Σωκ. ἀπεκρίθη ὅτι τὸν ὑπολαμβάνει παντελῶς ἄθεον· καὶ τοῦτο νοεῖ ὁ Σωκ. λέγων «θεοὺς οὐ νομίζων, ἀλλὰ θεοὺς νομίζων».

1 *Ἀποκρινέσθω, ὦ ἄνδρες, καὶ μὴ ἄλλα καὶ ἄλλα θορυβείτω*. Ὁ Μέλ. φοβούμενος μὴ καὶ πάλιν ἐμπέσῃ εἰς τὰ διαλεκτικὰ δίκτυα τοῦ Σωκ. ὡς καὶ πρότερον, ἀποφεύγει νὰ ἀποκρίνηται τὰ ἐρωτώμενα, προφασιζόμενος παντοῖα ἀσυνάρτητα οἷον «τί εἶν' αὐτὰ ποῦ μ' ἐρωτᾷς; δὲν καταλαμβάνω τί λέγεις· κ.τ.τ.» Ὅθεν ἐπικαλεῖται ὁ Σωκ. τὴν βοήθειαν τῶν δικαστῶν πρὸς ἐκτέλεσιν τοῦ νόμου. Ὅρ. εἰσαγ. σελ. 242.

5 *ἐγὼ σοὶ λέγω καὶ τοῖς ἄλλοις τουτοισί*· τοῖς δικασταῖς δηλ. Φαίνεται ὅτι οἱ δικασταὶ εἰς ταῦτα δὲν ἠνάγκασαν τὸν Μ. νὰ ἀποκρίνηται, ἴσως ὡς ἐκτὸς τῆς προκειμένης ὑποθέσεως κείμενα.

6 *ἀλλὰ τὸ ἐπὶ τούτῳ γε ἀπόκριναι.* Τοῦτο ὑπάγεται ὑπὸ τὴν καθολικὴν πρότασιν καὶ τὰ προηγούμενα· ὥςτε ὁ ὁμολογῶν ἐκεῖνα ὁμολογεῖ καὶ τοῦτο. Ἀλλὰ νῦν ἐρωτᾷ τι ἐντὸς τῆς ὑποθέσεως κείμενον, ὥςτε ὁ Μ. κατὰ τὸν νόμον δὲν ἠδύνατο νὰ ἀποφύγῃ τὴν ἀπόκρισιν (διὰ τοῦτο ὁ *γε*!), καὶ ἂν αὐτὸς ἐσιώπα, οἱ δικασταὶ ἦσαν ὑπόχρεοι ἐκ τοῦ νόμου νὰ τὸν ἀναγκάσωσι, καὶ φαίνεται ὅτι τὸν ἠνάγκασαν. Διὸ λέγει κατωτέρω· «Ὡς ὤνησας, ὅτι μόγις ἀπεκρίνω, ὑπὸ τουτωνὶ ἀναγκαζόμενος».

8 *ὡς ὤνησας, ὅτι* κ.τ.λ.= Δόξα σοι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μόγις ἀπεκρίνω ὑπὸ τουτωνὶ ἀναγκαζόμενος. οὐκοῦν δαι-
μόνια μὲν φῄς με καὶ νομίζειν καὶ διδάσκειν, εἴτ' οὖν
καινὰ εἴτε παλαιά· ἀλλ' οὖν δαιμόνιά γε νομίζω κατὰ τὸν
σὸν λόγον, καὶ ταῦτα καὶ διωμόσω ἐν τῇ ἀντιγραφῇ. εἰ δὲ
δαιμόνια νομίζω, καὶ δαίμονας δήπου πολλὴ ἀνάγκη νο-
μίζειν μέ ἐστιν· οὐχ οὕτως ἔχει; Ἔχει δή· τίθημι γάρ σε
ὁμολογοῦντα, ἐπειδὴ οὐκ ἀποκρίνει. Τοὺς δὲ δαίμονας οὐχὶ D
ἤτοι θεούς γε ἡγούμεθα ἢ θεῶν παῖδας; φῂς ἢ οὔ; — Πάνυ
γε. — Οὐκοῦν εἴπερ δαίμονας ἡγοῦμαι, ὡς σὺ φῄς, εἰ μὲν
θεοί τινές εἰσιν οἱ δαίμονες, τοῦτ' ἂν εἴη ὃ ἐγώ φημί σε
αἰνίττεσθαι καὶ χαριεντίζεσθαι, θεοὺς οὐχ ἡγούμενον φά-
ναι ἐμὲ θεοὺς αὖ ἡγεῖσθαι πάλιν, ἐπειδήπερ γε δαίμονας
ἡγοῦμαι· εἰ δ' αὖ οἱ δαίμονες θεῶν παῖδές εἰσιν νόθοι τι-
νὲς ἢ ἐκ νυμφῶν ἢ ἔκ τινων ἄλλων, ὧν δὴ καὶ λέγονται,
τίς ἂν ἀνθρώπων θεῶν μὲν παῖδας ἡγοῖτο εἶναι, θεοὺς δὲ E
μή; ὁμοίως γὰρ ἂν ἄτοπον εἴη, ὥσπερ ἂν εἴ τις ἵππων μὲν
παῖδας ἡγοῖτο ἢ [καὶ] ὄνων [τοὺς ἡμιόνους], ἵππους δὲ καὶ
ὄνους μὴ ἡγοῖτο εἶναι. ἀλλ', ὦ Μέλητε, οὐκ ἔστιν ὅπως
σὺ ταῦτα οὐχὶ ἀποπειρώμενος ἡμῶν ἐγράψω [τὴν γραφὴν
ταύτην] ἢ ἀπορῶν ὅ τι ἐγκαλοῖς ἐμοὶ ἀληθὲς ἀδίκημα·
ὅπως δὲ σύ τινα πείθοις ἂν καὶ σμικρὸν νοῦν ἔχοντα ἀνθρώ-
πων, ὡς οὐ τοῦ αὐτοῦ ἐστιν καὶ δαιμόνια καὶ θεῖα ἡγεῖσθαι,

ὁ Θεός, ποῦ ἔβγαλες μιλιὰ ἀπό τό στόμα σου.

2 *εἴτ' οὖν καινὰ — ἀλλ' οὖν δαιμόνια.* Περὶ τοῦ *οὖν* ὅρα ἔμπροσθεν σελ. 17 a.

13 *νόθοι.* Δὲν ἔχει παρὰ τοῖς ἀρχ. τὴν ἐπονείδιστον ἠθικὴν ἔννοιαν, ἣν παρ' ἡμῖν σήμερον. Νόθον ἦν ἢ τὸ ἐκ διαφόρων γενῶν ζώων προϊόν, οἷον ὁ ἡμίονος, ἢ ὁ ἐκ θεοῦ καὶ ἀνθρώπου, οἷοι οἱ ἡμίθεοι, ἢ ὁ ἐξ ἀλλοφύλων ἀνθρώπων, οἷον ὁ Θεμιστοκλῆς ἦν νόθος πρὸς μητρός, κατὰ Πλούταρχον, οὔσης Θρακικῆς γυναικός. Καὶ ὁ Κῦρος ἦν νόθος, καὶ ὡς τοιοῦτον ὑπηνίχθη αὐτὸν ὁ χρησμὸς ὀνομάσας ἡμίονον (Ἡρόδοτ. Α΄. 55).

18 *οὐκ ἔστιν ὅπως... οὐχὶ* = δὲν εἶνε τρόπος ποῦ νὰ μὴ = ἐξ ἅπαντος. Κατωτέρω· οὐδεμία μηχανή ἐστιν ὅπως = δὲν εἶναι τρόπος ποῦ νὰ = οὐδαμῶς.

19 *ταῦτα — ἐγράψω τὴν γραφὴν ταύτην.* Τὸ *ταῦτα* ἀσύντακτον. Εὐθύφ. 4 d· «Ταῦτα δὴ οὖν καὶ ἀγανακτεῖ ὅ τε πατὴρ καὶ οἱ ἄλλοι οἰκεῖοι» κ.τ.λ· Πρβλ. Θουκ. Α΄, 32· «Τὴν μὲν οὖν γενομένην ναυμαχίαν αὐτοὶ κατὰ μόνας ἀπεωσάμεθα Κορινθίους.» Ἐπιθ. καὶ τὰ ἐν σελ. 23 a σεσημειωμένα. Συχνό-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ αὖ τοῦ αὐτοῦ μήτε δαίμονας μήτε θεοὺς [μήτε ἥρωας], 28
οὐδεμία μηχανή ἐστιν.

ΙϚʹ. Ἀλλὰ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς μὲν ἐγὼ οὐκ ἀδικῶ κατὰ τὴν Μελήτου γραφήν, οὐ πολλῆς μοι δοκεῖ εἶναι ἀπολογίας, ἀλλὰ ἱκανὰ καὶ ταῦτα· ὃ δὲ καὶ ἐν τοῖς ἔμπροσθεν ἔλεγον, ὅτι πολλή μοι ἀπέχθεια γέγονε καὶ πρὸς πολλούς, εὖ ἴστε ὅτι ἀληθές ἐστιν. καὶ τοῦτ' ἐστὶν ὃ ἐμὲ αἱρήσει, ἐάνπερ αἱρῇ, οὐ Μέλητος οὐδὲ Ἄνυτος, ἀλλ' ἡ τῶν πολλῶν διαβολή τε καὶ φθόνος· ἃ δὴ πολλοὺς καὶ ἄλλους καὶ ἀγαθοὺς ἄνδρας ᾕρηκεν, οἶμαι δέ, καὶ αἱρήσει· οὐδὲν δὲ δεινόν, μὴ ἐν ἐμοὶ στῇ. Ἴσως δ' ἂν οὖν εἴποι τις· B
«εἶτ' οὐκ αἰσχύνει, ὦ Σώκρατες, τοιοῦτον ἐπιτήδευμα ἐπιτηδεύσας, ἐξ οὗ κινδυνεύεις νυνὶ ἀποθανεῖν;» ἐγὼ δὲ τούτῳ

τατα μεταχειρίζεται ὁ Ἀριστφ. τὸ *ταῦτα* οὕτω.

5 *ὃ δὲ καὶ ἐν τοῖς ἔμπροσθεν ἔλεγον*. Συνάπτει τὸν ἑπόμενον λόγον πρὸς τὸν ἐν σελ. 25 b διακοπέντα. Ἐκεῖ μὲν ἐξέθηκε τὰ αἴτια δι' ἃ ἐδυσφημήθη καὶ διεβλήθη παρὰ τῷ λαῷ· ἀπὸ τοῦδε δὲ δικαιολογεῖ τὴν διαγωγήν του ἐκείνην, δηλοῖ ὅτι δὲν μετανοεῖ δι' αὐτήν, καὶ ὅτι καὶ νῦν ἂν ἀπολυθῇ, τὴν αὐτὴν πορείαν θὰ ἀκολουθήσῃ.

7 *εὖ ἴστε ὅτι*. Συνήθως ὁ Πλ. τὸ μεταχειρίζεται παρενθετικῶς· ὥςτε καὶ ἐνταῦθα τὸ *ἀληθές ἐστι* ληπτέον ὡς τὴν κυρίαν πρότ. Γοργ. 453 a· «ἐγὼ γάρ, εὖ ἴσθ' ὅτι» Αὐτ. b· «σαφῶς μέν, εὖ ἴσθι ὅτι, οὐκ οἶδα.» Θεαίτ. 145 b, «ὡς, εὖ ἴσθι ὅτι, Θεόδωρος» κ.τ.λ. Πολιτ. 328 d, «ὡς, εὖ ἴσθι ὅτι, ἔμοιγε» κ.τ.λ.

*ὅ ἐμὲ αἱρήσει*. Πολλαὶ λέξεις μετηνέχθησαν εἰς τὴν δικαστικὴν γλῶσσαν ἀπὸ τῆς ἐποχῆς καθ' ἣν μὴ ὑπαρχόντων νόμων καὶ δικαστηρίων ἐτελεῖτο χειροδικία· ἐντεῦθεν ἄρα ὁ μὲν κατηγορῶν ὠνομάζετο *ὁ διώκων*, ὁ δὲ κατηγορούμενος *ὁ φεύγων*. Νικῶν ὁ κατήγορος, ἐλέγετο ὅτι *αἱρεῖ* τὸν κατηγορούμενον, ὡς ἐνταῦθα· ἢ καί, *αἱρεῖ τὴν δίκην*. Νόμ. 784 d· «ἐὰν μὴ ἕλῃ τὴν δίκην». Δημοσθ. κατὰ Νεαίρ. 6 «εἷλε τὸ ψήφισμα» Ὁ δὲ κατηγορούμενος, ἂν μὲν κατεδικάζετο, ἐλέγετο ὅτι *ἁλίσκεται*. Ἀπολ. 38 d «ἀπορίᾳ ἑάλωκα». Νόμ. 955 d «ἁλοὺς τῇ δίκῃ»· ἂν δὲ ἠθῳοῦτο, ἐλέγετο ὅτι *ἀποφεύγει*, ἢ ἁπλῶς (35 c), ἢ τὸν διώκοντα (36 a), ἢ τὴν δίκην (38 d).

10 *οὐδὲν δεινὸν* = οὐδεὶς φόβος μήπως σταματήσῃ ἐπ' ἐμοῦ τὸ κακόν. Πικρὰ εἰρωνεία, ἀντὶ «οὐδεμία ἐλπὶς ὑπάρχει ὅτι θὰ σταματήσῃ».

12 *εἶτ' οὐκ αἰσχύνει — ἐπιτηδεύσας*. Αἰσχύνομαι ποιῶν ἢ ποιήσας τι = αἰσχύνομαι ὅτι ποιῶ ἢ ἐποίησά τι. Αἰσχύνομαι ποιεῖν τι = αἰσχυνόμενος (ὑπ' αἰσχύνης) οὐ ποιῶ τι. Περὶ τοῦ *εἶτα* ἔπιθι ὑποσημ. εἰς σελ. 20 c. Τὰ ἀσυμβίβαστα ἐνταῦθα εἶνε τὸ ἐπιτηδεῦσαι τοιοῦτον ἐπιτήδευμα ἐξ οὗ κινδυνεύει ἀποθανεῖν, καὶ τὸ μὴ αἰσχύνεσθαι ἐπὶ τούτῳ.

13 *ἐγὼ δὲ τούτῳ ἂν δίκαιον λόγον ἀντείποιμι — ἢ κακοῦ*. Ἐπίστησον ἐπὶ τὰ θεῖα ταῦτα ῥήματα!

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἂν δίκαιον λόγον ἀντείποιμι, ὅτι οὐ καλῶς λέγεις, ὦ ἄνθρωπε, εἰ οἴει δεῖν κίνδυνον ὑπολογίζεσθαι τοῦ ζῆν ἢ τεθνάναι ἄνδρα, ὅτου τι καὶ σμικρὸν ὄφελός ἐστιν, ἀλλ' οὐκ ἐκεῖνο μόνον σκοπεῖν, ὅταν πράττῃ, πότερα δίκαια ἢ ἄδικα πράττει, καὶ ἀνδρὸς ἀγαθοῦ ἔργα ἢ κακοῦ. φαῦλοι γὰρ ἂν τῷ γε σῷ λόγῳ εἶεν τῶν ἡμιθέων ὅσοι ἐν Τροίᾳ τετελευ- C τήκασιν οἵ τε ἄλλοι καὶ ὁ τῆς Θέτιδος υἱός, ὃς τοσοῦτον τοῦ κινδύνου κατεφρόνησε παρὰ τὸ αἰσχρόν τι ὑπομεῖναι, ὥςτε ἐπειδὴ εἶπεν ἡ μήτηρ αὐτῷ προθυμουμένῳ Ἕκτορα ἀποκτεῖναι, θεὸς οὖσα, οὑτωσί πως, ὡς ἐγὼ οἶμαι· «Ὦ παῖ, εἰ τιμωρήσεις Πατρόκλῳ τῷ ἑταίρῳ τὸν φόνον καὶ Ἕκτορα ἀποκτενεῖς, αὐτὸς ἀποθανεῖ· αὐτίκα γάρ τοι, φησί, μεθ' Ἕκτορα πότμος ἑτοῖμος·» ὁ δὲ ταῦτα ἀκούσας τοῦ μὲν θανάτου καὶ τοῦ κινδύνου ὠλιγώρησε, πολὺ δὲ D μᾶλλον δείσας τὸ ζῆν κακὸς ὢν καὶ τοῖς φίλοις μὴ τιμωρεῖν, «Αὐτίκα, φησί, τεθναίην δίκην ἐπιθεὶς τῷ ἀδικοῦντι, ἵνα μὴ ἐνθάδε μένω καταγέλαστος παρὰ νηυσὶ κορωνίσιν

2 *κίνδυνον τοῦ ζῆν ἢ τεθνάναι.* Ζῆν καὶ τεθνάναι φύσει ἀντίθετα ὄντα, καὶ ὡς τοιαῦτα διεζευγμένως ἐξενεχθέντα, ὅμως ἐν τῷ προκειμένῳ σημαίνουσι τὸ αὐτό. *Κίνδυνος τοῦ ζῆν* = κίνδυνος τῆς ζωῆς = κίνδυνος τοῦ ἀπολέσαι τὸ ζῆν = κίνδυνος τοῦ τεθνάναι.

3 *ὅτου τι καὶ σμικρὸν ὄφελος.* Συνήθως δημώδης φράσις = ποῦ ἀξίζει κἄτι τι. Εὐθύφρ. 4 e· « οὐδὲν γὰρ ἄν μου ὄφελος εἴη ». Παραπλησίως σήμερον· « δὲν φελᾷς τίποτε ».

8 *παρὰ τὸ αἰσχρόν τι ὑπομεῖναι.* Ἐπροτίμησε νὰ ἀποθάνῃ *παρὰ* νὰ ὑπομείνῃ τι αἰσχρόν. Ἐκ τῆς τοιαύτης χρήσεως τῆς *παρὰ* ὑπὸ τῶν ἀρχαίων προῆλθεν ἡ παρ' ἡμῖν, καταλαβοῦσα τὴν θέσιν τοῦ τῶν ἀρχαίων συγκρ. ἤ. Ἡ *παρὰ* καθιστᾷ ἐναργεστέραν τὴν παράθεσιν ἢ ὁ ἤ· μᾶς κάμνει νὰ φαντασθῶμεν τὸν κίνδυνον τιθέμενον παρὰ τὸ αἰσχρόν, καὶ τὸν Ἀχιλλέα ἐκλέγοντα.

10 *θεὸς οὖσα·* καὶ διὰ τοῦτο ἄρα ἀξιόπιστος, ὡς προγινώσκουσα τὸ μέλλον.

11 *εἰ τιμωρήσεις Πατρόκλῳ.* Τιμωρῶ τινι (οἰκείῳ ἢ φίλῳ) = ἀποδίδω τὴν προσήκουσαν τιμὴν ἢ τὸ δίκαιον αὐτῷ κακῶς παθόντι κακῶς ποιῶν τὸν αἴτιον, ἐκδικῶ αὐτόν, ἢ ἱκανοποιῶ αὐτόν. Τιμωροῦμαί τινα (ἐχθρὸν) = τιμωρῶν ἐμαυτῷ κακῶς ποιῶ τὸν ἐχθρόν. Ὥςτε τὸ μὲν τιμωρεῖν συντ. δοτ. τοῦ προσώπου ὑπὲρ οὗ ἡ τιμωρία· τὸ δὲ τιμωρεῖσθαι αἰτ. τοῦ καθ' οὗ ἡ τιμωρία.

13 *ὁ δὲ ταῦτα ἀκούσας* κ. τ. λ. Ὁ *δὲ* καθιστᾷ τὸν λόγον ἀνακόλουθον. Ὁμαλῶς θὰ εἶχεν ὧδε· « ὃς τοσοῦτον τοῦ κινδύνου κατεφρόνησεν, ὥςτε, ἐπειδὴ εἶπεν ἡ μήτηρ — πότμος ἑτοῖμος, ὁ Ἀχιλλεὺς ἀκούσας τοῦ μὲν θανάτου ὠλιγώρησε, πολὺ δὲ μᾶλλον δείσας — φησὶ κ.τ.λ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄχθος ἀρούρης.» μὴ αὐτὸν οἴει φροντίσαι θανάτου καὶ κινδύνου; οὕτω γὰρ ἔχει, ὦ ἄνδρες Ἀθηναῖοι, τῇ ἀληθείᾳ· οὗ ἄν τις ἑαυτὸν τάξῃ [ἢ] ἡγησάμενος βέλτιστον εἶναι, ἢ ὑπ' ἄρχοντος ταχθῇ, ἐνταῦθα δεῖ, ὡς ἐμοὶ δοκεῖ, μένοντα κινδυνεύειν, μηδὲν ὑπολογιζόμενον μήτε θάνατον μήτε ἄλλο μηδὲν πρὸ τοῦ αἰσχροῦ.

ΙΖ΄. Ἐγὼ οὖν δεινὰ ἂν εἴην εἰργασμένος, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ, ὅτε μέν με οἱ ἄρχοντες ἔταττον, οὓς ὑμεῖς εἵ- E

1 *μὴ αὐτὸν οἴει;* Ἁπλοϊκὴ φράσις, ἀπομίμησις τῆς μεταξὺ δύο οἰκείων προσώπων ὁμιλίας. Ἐντεῦθεν ὁ ἑνικὸς *οἴει*. Τοιοῦτον τὸ παρ' Ὁμ. *φαίης κεν* καὶ τὸ παρ' Εὐριπίδῃ σύνηθες *πῶς δοκεῖς;* Ὁμοίως καὶ σήμερον *τί λές; τί θαρρεῖς;* ἄν τε πρὸς ἕνα, ἄν τε πρὸς πολλοὺς διαλεγώμεθα.

3 *οὗ ἄν τις ἑαυτὸν τάξῃ* κ.τ.λ. Ἀναλαμβάνων τὰς ἐν ἀρχῇ τῆς παραγρ. (ἐγὼ δὲ τούτῳ ἂν δίκαιον κ.τ.λ.) ἐξενεχθείσας γνώμας του, διατυποῖ αὐτὰς εἰς ἠθικὸν παράγγελμα. Εἶνε δὲ τοῦτο ὁ ὕψιστος κανὼν καὶ γνώμων τοῦ χαρακτῆρος καὶ τῶν πράξεων τοῦ ἀνθρώπου.

6 *πρὸ τοῦ αἰσχροῦ.* Ἡ *πρὸ* ἐνταῦθα ὅ τι ἀνωτέρω (C) ἡ *παρά*· μόνον φαντασίαν ἐμποιεῖ διάφορον. Εὑρισκόμενός τις πρὸ (ἔμπροσθεν, ἐνώπιον) τοῦ αἰσχροῦ, δὲν πρέπει νὰ ὑπολογίζῃ μήτε θάνατον μήτε ἄλλο τι· ἄρα πρέπει νὰ προτιμᾷ πᾶν ἄλλο ἢ τὸ αἰσχρόν. Ὁμοίως Φαίδ. 99 d «εἰ μὴ δικαιότερον ᾤμην καὶ κάλλιον εἶναι, πρὸ τοῦ φεύγειν, ὑπέχειν δίκην» (= τὸ ὑπέχειν δίκην προτιμότερον τοῦ φεύγειν). Διάφορον εἶνε τὸ Κρίτ. 16 «μήτε παῖδας περὶ πλείονος ποιοῦ, μήτε τὸ ζῆν, μητὲ ἄλλο μηδὲν πρὸ τοῦ δικαίου» = μὴ προτίμα ἄλλο τι πρὸ τοῦ δικαίου. Ἐν ἐκείνοις μὲν λέγει καταφατικῶς, τί ἐστι προτιμητέον τοῦ αἰσχροῦ, ἐν τούτῳ δὲ ἀποφατικῶς, τί οὐκ ἔστι προτιμητέον τοῦ δικαίου.

7 *ἐγὼ οὖν δεινὰ ἂν* κ. τ. λ. Μετὰ τὴν διατύπωσιν τοῦ ἠθικοῦ παραγγέλματος, ἤθελε νὰ ἐπιφέρῃ ὅτι διὰ παντὸς τοῦ βίου του καὶ δὴ καὶ ἐν ταῖς μάχαις Ποτιδαίας καὶ Ἀμφιπόλεως καὶ Δηλίου, ὧν μετέσχεν, ἀπέδειξε διαγωγὴν σύμφωνον πρὸς τὸ ἠθ. παράγγελμα. Ἵνα ἀποφύγῃ τὸ νεμεσητὸν τῆς περιαυτολογίας, ἐπενόησε νὰ εἴπῃ *παρέργως* περὶ τῆς ἐν ταῖς μάχαις ἐκείναις διαγωγῆς του καὶ νὰ παραστήσῃ ὡς κύριον σκοπὸν τοῦ λόγου τὴν κατάδειξιν τοῦ δεινοῦ, ὅπερ θὰ προήρχετο ἐκ τῆς ἀντιφάσεως μεταξὺ τῆς τότε καὶ τῆς νῦν διαγωγῆς του.

8 *εἰ τότε μὲν ἔμενον — ἐνταῦθα δὲ λίποιμι τὴν τάξιν.* Ἂν καὶ ὁ *εἰ* ἀνήκει εἰς ἀμφοτέρας τὰς προτάσεις (ἔμενον· λίποιμι), ὅμως μόνη ἡ β΄ εἶνε ὑποθετ., διὸ καὶ ἐξηνέχθη κατ' εὐκτ. ἔγκλισιν, ὡς ἀπαιτεῖ ἡ ὑπόθεσις ἐνταῦθα· ἡ δὲ α΄ πρότ. (ἔμενον) δηλοῖ ἱστορικὸ. γεγονός, διὸ καὶ ἐξηνέχθη καθ' ὁριστ. Αἱ δύο προτάσεις ἀντιτίθενται διὰ τοῦ *μὲν - δὲ* ὡς ἀντιφατικαί, ἐκ δὲ τῆς τούτων ἀντιφάσεως καταφαίνεται τὸ δεινόν. «Ὑπήκουσα εἰς ἀνθρώπους ἄρχοντάς μου· δὲν θὰ ἦτο δεινόν, ἂν δὲν ὑπήκουον εἰς τὸν θεὸν ἐπιτάττοντα;»

*ὅτε μὲν — τότε μὲν - τοῦ δὲ θεοῦ τάττοντος — ἐνταῦθα δέ.* Δύο λόγοι συνδεόμενοι διὰ τοῦ μὲν - δέ· τούτων δ' ἑκάτερος σύγκειται ἐκ δευτερευούσης καὶ κυρίας προτάσεως. Οἱ ἀρχαῖοι συνείθιζον νὰ θέτωσι δὶς ἑκάτερον σύνδεσμον, ἕν τε τῇ δευτερευ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λεσθε ἄρχειν μου, καὶ ἐν Ποτιδαίᾳ καὶ ἐν Ἀμφιπόλει καὶ
ἐπὶ Δηλίῳ, τότε μὲν οὗ ἐκεῖνοι ἔταττον ἔμενον ὥςπερ καὶ
ἄλλος τις, καὶ ἐκινδύνευον ἀποθανεῖν, τοῦ δὲ θεοῦ τάττον-
τος, ὡς ἐγὼ ᾠήθην τε καὶ ὑπέλαβον, φιλοσοφοῦντά με
δεῖν ζῆν καὶ ἐξετάζοντα ἐμαυτὸν καὶ τοὺς ἄλλους, ἐνταῦθα
δὲ φοβηθεὶς ἢ θάνατον ἢ ἄλλο ὁτιοῦν πρᾶγμα λίποιμι τὴν 29
τάξιν. δεινὸν μέντ' ἂν εἴη, καὶ ὡς ἀληθῶς τότ' ἄν με δι-
καίως εἰσάγοι τις εἰς δικαστήριον, ὅτι οὐ νομίζω θεοὺς εἶ-
ναι, ἀπειθῶν τῇ μαντείᾳ καὶ δεδιὼς θάνατον καὶ οἰόμενος
σοφὸς εἶναι οὐκ ὤν. τὸ γάρ τοι θάνατον δεδιέναι, ὦ ἄνδρες,
οὐδὲν ἄλλο ἐστὶν ἢ δοκεῖν σοφὸν εἶναι μὴ ὄντα· δοκεῖν γὰρ
εἰδέναι ἐστὶν ἃ οὐκ οἶδεν. οἶδε μὲν γὰρ οὐδεὶς τὸν θάνατον
οὐδ' εἰ τυγχάνει τῷ ἀνθρώπῳ πάντων μέγιστον ὂν τῶν
ἀγαθῶν, δεδίασι δ' ὡς εὖ εἰδότες, ὅτι μέγιστον τῶν κα-
κῶν ἐστι. καὶ τοῦτο πῶς οὐκ ἀμαθία ἐστὶν αὕτη ἡ ἐπονεί- B
διστος, ἡ τοῦ οἴεσθαι εἰδέναι ἃ οὐκ οἶδεν; ἐγὼ δ', ὦ ἄν-
δρες, τούτῳ καὶ ἐνταῦθα ἴσως διαφέρω τῶν πολλῶν ἀν-

ούσῃ καὶ ἐν τῇ κυρίᾳ προτάσει, ἐν ᾧ κατὰ λόγον ἔπρεπε νὰ τεθῇ ἑκάτερος ἅπαξ ἐν τῇ ἀρχῇ ἑκατέρου λόγου, (ἐνταῦθα «*ὅτε μὲν — τοῦ δὲ θεοῦ*) νὰ λείπῃ δὲ ὁ τοῦ *τότε μὲν — ἐνταῦθα δέ*. Θεαίτ. 152a· «οἷα μὲν ἕκαστα ἐμοὶ φαίνεται, τοιαῦτα *μέν* ἐστιν ἐμοί, οἷα δὲ σοί, τοιαῦτα *δ'* αὖ σοί».

1 *ἐν Ποτιδαίᾳ — ἐν Ἀμφιπόλει — ἐπὶ Δηλίῳ*. Ἐκεῖναι μὲν ἦσαν πόλεις καὶ αἱ μάχαι ἐγένοντο *ἐν* τῇ περιοχῇ αὐτῶν. Τὸ δὲ Δήλιον ἦτο ναὸς τοῦ Ἀπόλλωνος μετ' ἄλσους ἐν Βοιωτίᾳ· διὰ τοῦτο μετεχειρίσθη τὴν *ἐπὶ* μετὰ δοτ. = παρὰ τὸ Δήλιον ἢ ἐγγὺς τοῦ Δηλίου.

Ἡ ἐν Ποτ. μάχη 432 π. Χ. μεταξὺ Ἀθηναίων καὶ Κορινθίων στρατηγοῦντος τῶν μὲν Ἀθ. Καλλίου, τῶν δὲ Κορινθ. Ἀριστέως (Θουκ. Α', 62, 63). Κατὰ ταύτην ἔσωσεν ὁ Σωκ. τὸν Ἀλκιβιάδην τετρωμένον (Συμπ. 221b.).

Ἡ ἐν Ἀμφ. μάχη 422 π. Χ καθ' ἣν ἀπέθανον Κλέων καὶ Βρασίδας. Θουκ. Ε', 10.

Ἡ ἐπὶ Δηλίῳ 424 π. Χ. καθ' ἣν ἡττήθησαν οἱ Ἀθ. ὑπὸ τῶν Θηβαίων (Θουκ. Δ', 96). Τὴν διαγωγὴν τοῦ Σωκ. κατὰ τὴν φυγὴν ἱστορεῖ ὁ κατ' αὐτὴν στρατηγὸς Λάχης ἐπαινετικῶς ἐν Λάχ. 181b «κἀγώ σοι λέγω ὅτι εἰ οἱ ἄλλοι ἤθελον τοιοῦτοι εἶναι, ὀρθὴ ἂν ἡμῶν ἡ πόλις ἦν καὶ οὐκ ἂν ἔπεσε τότε τοιοῦτον πτῶμα», καὶ ὁ Ἀλκιβιάδης ἐν τῷ Συμπ. 221.

2 *ὥσπερ καὶ ἄλλος τις*. Μετριοφρονῶν παρενέβαλε ταῦτα. = Ὄχι ἐγὼ μόνος, ἀλλὰ καὶ ἄλλοι πολλοὶ ἐξετέλουν τὸ καθῆκόν των μένοντες ἐν τῇ τάξει.

7 *δεινὸν μέντ' ἂν εἴη*. Ἀναλαμβάνει τὸ προειρημένον «δεινὰ ἂν εἴην εἰργασμένος», ἵνα ἐπενέγκῃ καὶ νέους λόγους τῆς δεινότητος τοῦ πράγματος·

θρώπων, καὶ εἰ δή τῳ σοφώτερός του φαίην εἶναι, τούτῳ ἄν, ὅτι οὐκ εἰδὼς ἱκανῶς περὶ τῶν ἐν Ἅιδου οὕτω καὶ οἴομαι οὐκ εἰδέναι· τὸ δὲ ἀδικεῖν καὶ ἀπειθεῖν τῷ βελτίονι, καὶ θεῷ καὶ ἀνθρώπῳ, ὅτι κακὸν καὶ αἰσχρόν ἐστιν οἶδα. πρὸ οὖν τῶν κακῶν, ὧν οἶδα ὅτι κακά ἐστιν, ἃ μὴ οἶδα εἰ ἀγαθὰ ὄντα τυγχάνει οὐδέποτε φοβήσομαι οὐδὲ φεύξομαι. ὥςτε οὐδ' εἴ με νῦν ὑμεῖς ἀφίετε Ἀνύτῳ ἀπιστήσαντες, C ὃς ἔφη ἢ τὴν ἀρχὴν οὐ δεῖν ἐμὲ δεῦρο εἰσελθεῖν, ἤ, ἐπειδὴ εἰσῆλθον, οὐχ οἷόν τ' εἶναι τὸ μὴ ἀποκτεῖναί με, λέγων πρὸς ὑμᾶς ὡς, εἰ διαφευξοίμην, ἤδη [ἂν] ὑμῶν οἱ υἱεῖς ἐπιτηδεύοντες ἃ Σωκράτης διδάσκει πάντες παντάπασι διαφθαρήσοιντο, — εἴ μοι πρὸς ταῦτα εἴποιτε· ὦ Σώκρατες, νῦν μὲν Ἀνύτῳ οὐ πεισόμεθα, ἀλλ' ἀφίεμέν σε, ἐπὶ τούτῳ μέντοι, ἐφ' ᾧτε μηκέτι ἐν ταύτῃ τῇ ζητήσει διατρίβειν μηδὲ φιλοσοφεῖν· ἐὰν δὲ ἁλῷς ἔτι τοῦτο πράττων, ἀποθανεῖ· εἰ οὖν με, ὅπερ εἶπον, ἐπὶ τούτοις ἀφίοιτε, εἴ- D ποιμ' ἂν ὑμῖν ὅτι ἐγὼ ὑμᾶς, ἄνδρες Ἀθηναῖοι, ἀσπάζομαι μὲν καὶ φιλῶ, πείσομαι δὲ μᾶλλον τῷ θεῷ ἢ ὑμῖν, καὶ

εἶνε δὲ οὗτοι· πρῶτον μέν, ὅτι ἀνυποτακτῶν εἰς τὸν θεόν, τότε θὰ ἦτο τῇ ἀληθείᾳ ἀσεβὴς καὶ δικαίως θὰ εἶχε κατηγορηθῇ, δεύτερον δὲ ὅτι δὲν θὰ ἦτο διόλου σοφός, ἂν φοβούμενος τὸν θάνατον, ὃν ἀγνοεῖ ἂν εἶνε ἀγαθὸν ἢ κακόν, ἠδίκει καὶ ἠπείθει τῷ βελτίονι, ὅπερ γινώσκει σαφῶς ὅτι εἶνε κακὸν καὶ αἰσχρόν.

1 *τούτῳ ἄν.* Συμπλήρου· *φαίην σοφώτερος εἶναι.*

7 *ὥςτε οὐδ' εἴ με νῦν* κ. τ. λ. Τὸ *οὐδὲ* ἀνήκει εἰς τὴν ἀπόδοσιν τοῦ ὑποθ. λόγου, ἥν, ἀρχόμενος μέν, διενοεῖτο τοιάνδε· «οὐδ' οὕτω δέξομαι ἐπὶ τούτοις ἀφεθῆναι». Διὰ δὲ τὸ πλῆθος τῶν παρεμπεσόντων, λησμονήσας τὸν μίτον τοῦ λόγου, ἐπαναλαμβάνει μὲν τὴν ὑπόθεσιν ἀλλὰ κατ' εὐκτ. ἤδη (εἴ με ἀφίοιτε), ἐπιφέρει δὲ τὴν ἀπόδοσιν *εἴποιμι ἄν*, ἐν ᾗ ὁ *οὐδὲ* οὐδεμίαν ἔχει πλέον θέσιν.

10 *εἰ διαφευξοίμην.* Τὸ *διαφεύγω* διαφέρει τοῦ ἀποφεύγω, σημαῖνον ὅτι ἔνοχος ὤν, διὰ πλαγίων καὶ σκοτίων μέσων γλυτώνω, ἐν ᾧ τὸ ἀποφεύγω = νομίμως καὶ εὐθέως ἀπολύομαι ὑπὸ τῶν δικαστῶν.

17 *ἀσπάζομαι μὲν καὶ φιλῶ, πείσομαι δὲ μᾶλλον τῷ θεῷ.* Εὐσχήμων τρόπος ἀρνήσεως καὶ ἀποποιήσεως. Σοφοκλ. Αἴας 112

Χαίρειν, Ἀθάνα, τἄλλ' ἐγώ σ' ἐφίεμαι·
Κεῖνος δὲ τίσει τήνδε, κοὐκ ἄλλην δίκην.

Καὶ ἡμεῖς. Ὅ,τι ἄλλο θέλετε, δὲν σᾶς χαλῶ τὸ χατῆρι· ἀλλὰ ....

18 *πείσομαι δὲ μᾶλλον τῷ θεῷ ἢ ὑμῖν.* Παρβλ. τὸ Σοφόκλειον

Κρεῖσσον θεοῖς γὰρ ἢ βροτοῖς χάριν φέρειν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἕωςπερ ἂν ἐμπνέω καὶ οἷός τε ὦ, οὐ μὴ παύσωμαι φιλο-
σοφῶν καὶ ὑμῖν παρακελευόμενός τε καὶ ἐνδεικνύμενος ὅτῳ
ἂν ἀεὶ ἐντυγχάνω ὑμῶν, λέγων οἷάπερ εἴωθα, ὅτι ὦ
ἄριστε ἀνδρῶν, Ἀθηναῖος ὤν, πόλεως τῆς μεγίστης καὶ
εὐδοκιμωτάτης εἰς σοφίαν καὶ ἰσχύν, χρημάτων μὲν οὐκ
αἰσχύνει ἐπιμελούμενος, ὅπως σοι ἔσται ὡς πλεῖστα, καὶ
δόξης καὶ τιμῆς, φρονήσεως δὲ καὶ ἀληθείας καὶ τῆς E
ψυχῆς, ὅπως ὡς βελτίστη ἔσται, οὐκ ἐπιμελεῖ οὐδὲ φρον-
τίζεις; καὶ ἐάν τις ἡμῶν ἀμφισβητῇ καὶ φῇ ἐπιμελεῖσθαι,
οὐκ εὐθὺς ἀφήσω αὐτὸν οὐδ' ἄπειμι, ἀλλ' ἐρήσομαι αὐτὸν
καὶ ἐξετάσω καὶ ἐλέγξω, καὶ ἐάν μοι μὴ δοκῇ κεκτῆσθαι
ἀρετήν, φάναι δέ, ὀνειδιῶ, ὅτι τὰ πλείστου ἄξια περὶ ἐλα- 30
χίστου ποιεῖται, τὰ δὲ φαυλότερα περὶ πλείονος. ταῦτα
καὶ νεωτέρῳ καὶ πρεσβυτέρῳ, ὅτῳ ἂν ἐντυγχάνω, ποιήσω,
καὶ ξένῳ καὶ ἀστῷ, μᾶλλον δὲ τοῖς ἀστοῖς, ὅσῳ μου ἐγγυ-
τέρω ἐστὲ γένει. ταῦτα γὰρ κελεύει ὁ θεός, εὖ ἴστε, καὶ

καὶ τὸ τοῦ ἀποστόλου Πέτρου· «Πειθαρχεῖν χρὴ Θεῷ μᾶλλον ἢ ἀνθρώποις».

1 *ἕωςπερ ἂν ἐμπνέω* = ἐν ὅσῳ ἀναπνέω, ζῶ. Πολιτ. 368 c. Μὴ οὐδ' ὅσιον ᾖ, παραγενόμενον δικαιοσύνῃ κακηγορουμένῃ, ἀπαγορεύειν καὶ μὴ βοηθεῖν ἔτι ἐμπνέοντα καὶ δυνάμενον φθέγγεσθαι».

*οὐ μὴ παύσωμαι*. Ἐλλειπτ. οὐκ ἔστι φόβος μὴ παύσωμαι. Ἡ ἄρνησις διὰ τοῦ *οὐ μὴ* γίνεται ἰσχυροτέρα (Εὐαγγ. Ἰω. «οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα».

4 *πόλεως τῆς μεγίστης*. Πόλιν λέγει πάντας τοὺς Ἀθηναίους πολίτας, τοὺς καθ' ἅπασαν τὴν Ἀττικὴν οἰκοῦντας.

5 *εὐδοκιμωτάτης εἰς σοφίαν καὶ ἰσχύν*. Θουκ. Β'· «ξυνελών τε λέγω τήν τε πᾶσαν πόλιν τῆς Ἑλλάδος παίδευσιν εἶναι». Πρωταγ. 37 d· «κατ' αὐτὸ τοῦτο νῦν συνεληλυθότας τῆς τε Ἑλλάδος εἰς αὐτὸ τὸ πρυτανεῖον τῆς σοφίας» κ.τ.λ. Τὸ *ἰσχὺν* ἐκλάμβανε ἐπί τε τῆς ὑλικῆς καὶ ἐπὶ τῆς ἠθικῆς δυνάμεως τῆς πόλεως.

10 *οὐδ' ἄπειμι*. Μέλλ. χρ. οὐ ἐνεστὼς λαμβάνεται τὸ *ἀπέρχομαι*.

12 *φάναι δέ*. Τὸ ἐξήρτησεν ἐκ τοῦ *δοκῇ*, ἵνα σημάνῃ οὐχὶ ἁπλῶς τὸ *φάναι*, ἀλλὰ τὸ *ψευδῶς φάναι*, ὅπερ ἐξαρτᾶται ἐκ τῆς δόξης, ἐκ τῆς κρίσεως τοῦ Σωκράτους = Ἐὰν (ἐλέγχων) τὸν εὕρω ὅτι δὲν ἔχει πράγματι ἀρετήν, ἀλλ' ὅτι λέγει *μόνον* ὅτι ἔχει, κ.τ.λ. Τὸ *φημὶ* δὲν εἶναι ἁπλῶς = *λέγω*, ἀλλὰ *λέγω ναί, καταφάσκω, βεβαιῶ τι*. Γοργ. 475 e· «ἢ φάθι, ἢ μή, ἃ ἐρωτῶ» = ἢ εἰπὲ *ναί*, ἢ εἰπὲ ὄχι, περὶ ὧν σε ἐρωτῶ.

15 *ὅσῳ μου ἐγγυτέρω ἐστὲ γένει*. Ἐγγύς, ἐγγυτέρω, ἐγγυτάτω καὶ ἐγγύτατα. Κατὰ τὴν ἔννοιαν ἀπαιτοῦσι γεν. *ἐγγύς τινος*. Ἐνταῦθα ἡ μὲν γεν. εἶνε τὸ *μου*· ἡ δὲ δοτ. *γένει* = κατὰ τὸ γένος, ὡς πρὸς τὸ γένος· ἡ δὲ δοτ. *ὅσῳ* χάριν τοῦ συγκρ. δηλοῦσα τὸ ποσὸν ἢ μέτρον τῆς διαφορᾶς. Λείπει ἔτι μία

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐγὼ οἴομαι οὐδέν πω ὑμῖν μεῖζον ἀγαθὸν γενέσθαι ἐν τῇ πόλει ἢ τὴν ἐμὴν τῷ θεῷ ὑπηρεσίαν. οὐδὲν γὰρ ἄλλο πράττων ἐγὼ περιέρχομαι ἢ πείθων ὑμῶν καὶ νεωτέρους καὶ πρεσβυτέρους μήτε σωμάτων ἐπιμελεῖσθαι μήτε χρημάτων πρότερον μηδὲ οὕτω σφόδρα ὡς τῆς ψυχῆς, ὅπως B
ὡς ἀρίστη ἔσται, λέγων, ὅτι οὐκ ἐκ χρημάτων ἀρετὴ γίγνεται, ἀλλ' ἐξ ἀρετῆς χρήματα καὶ τὰ ἄλλα ἀγαθὰ τοῖς ἀνθρώποις ἅπαντα καὶ ἰδίᾳ καὶ δημοσίᾳ. εἰ μὲν οὖν ταῦτα λέγων διαφθείρω τοὺς νέους, ταῦτ' ἂν εἴη βλαβερά· εἰ δέ τίς μέ φησιν ἄλλα λέγειν ἢ ταῦτα, οὐδὲν λέγει. πρὸς ταῦτα, φαίην ἄν, ὦ Ἀθηναῖοι, ἢ πείθεσθε Ἀνύτῳ ἢ μή, καὶ ἢ ἀφίετε ἢ μὴ ἀφίετε, ὡς ἐμοῦ οὐκ ἂν ποιήσοντος ἄλλα, οὐδ' εἰ μέλλω πολλάκις τεθνάναι C

γεν., ἥτις θὰ ἐδήλου τὸν β' ὅρον τῆς συγκρίσεως=ἐγγυτέρω τῶν ξένων. Ἀλλ' ὁ λόγος εἶνε προφανής, δι' ὃν τὴν παρέλειψε.

2 *τὴν ἐμὴν τῷ θεῷ ὑπηρεσίαν*. Συνετάχθη δοτ. ὅπως καὶ τὸ ῥῆμα *ὑπηρετεῖν*. Ὡσαύτως κατωτέρω (30 c) «περὶ τὴν τοῦ θεοῦ δόσιν ὑμῖν».

3 *ἢ πείθων* = διδάσκων καὶ προθυμούμενος πείθειν· ἂν δὲ πράγματι *ἔπειθεν* ἢ μή, τοῦτο δὲν δηλοῖ τὸ *πείθων*.

5 *πρότερον, μηδ' οὕτω σφόδρα, ὡς τῆς ψυχῆς*. Μετὰ τὸ πρότερον θὰ ἐπέφερε *τῆς ψυχῆς*· παρεμβληθέντος δὲ τοῦ *μηδ' οὕτω σφόδρα*, ἐπέφερεν *ὡς τῆς ψυχῆς*, προσαρμόσας πρὸς τὸ προσεχέστερον.

*ὅπως ἔσται ὡς ἀρίστη*· οὐχὶ τελ. πρότ. ὅπου ἡ ὁριστ. δὲν θὰ εἶχε τόπον· ἀλλ' ἐξηρτ. ἐρώτ. = νὰ φροντίζωσι περὶ τῆς ψυχῆς, πῶς θὰ εἶνε ὅσον τὸ δυνατὸν ἀρίστη·

8 *εἰ μὲν οὖν — ταῦτ' ἂν εἴη βλαβερά*. Ὁ Σωκ. ἐξέθηκε σαφῶς καὶ καθαρῶς περὶ τί περιστρέφεται ἡ διδασκαλία του. Ἀλλὰ ταῦτα οὐδὲν ἔχουσι κοινὸν πρὸς τὰ μετέωρα καὶ τὰ ὑπὸ γῆς καὶ τὰ καινὰ δαιμόνια, ἅτινα κατηγοροῦσιν αὐτοῦ. Λέγει λοιπὸν πρὸς τοὺς δικαστάς του· Αὕτη εἶνε ἡ ἀλήθεια καὶ ἐπὶ τοιούτῳ ἐγκλήματι ὀφείλετε νὰ μὲ κρίνητε· ἂν ταῦτα λέγων διαφθείρω τοὺς νέους, ἔστωσαν ταῦτα βλαβερά· στέργω νὰ καταδικασθῶ ἐπὶ τούτοις ὡς διαφθορεὺς τῶν νέων· οὐχὶ δὲ ἐφ' οἷς οἱ κατήγοροί μου λέγουσι· διότι δὲν εἶνε ἀληθῆ.

10 *πρὸς ταῦτα, φαίην ἄν*. Διὰ τοῦ *φαίην ἂν* ἀναλαμβάνει τὸ ἀνωτέρω (29 d) *εἴποιμ' ἂν ὑμῖν*, καὶ μᾶς ἀναμιμνήσκει ὅτι ὅλος ὁ προηγηθεὶς λόγος ἦτο πλαστὸς καὶ ὑποθετικός, ὅτι τοιαῦτα θὰ ἔλεγεν, ἂν οἱ δικασταὶ τῷ προέτεινον νὰ τὸν ἀπολύσωσιν ἐπὶ τοιούτοις ὅροις. Τὸ *φαίην ἂν* παρενθετικῶς· τὸ *πρὸς ταῦτα* οὐχὶ εἰς τὸ *φαίην ἄν*, ἀλλ' εἰς τὸ *ἢ πείθεσθε* κ.τ.λ. Ἑρμηνευτέον· «Τούτων οὕτως ἐχόντων, ἤ, ταῦτα ἔχοντες πρὸ ὀφθαλμῶν (τὴν ἀλήθειαν δηλ. τοῦ πράγματος, ὁποίαν ἐγὼ σᾶς παρέστησα, καὶ τὴν γνώμην ἣν ἔχω περὶ τούτων) πείθεσθε ἢ μὴ κ.τ.λ.».

11 *ἢ πείθεσθε Ἀνύτῳ ἢ μὴ* κ.τ.λ. Προστακτικαί.

12 *ὡς ἐμοῦ οὐκ ἂν ποιήσοντος ἄλλα.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΙΗ΄. Μὴ θορυβεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλ' ἐμμείνατέ μοι οἷς ἐδεήθην ὑμῶν, μὴ θορυβεῖν ἐφ' οἷς ἂν λέγω, ἀλλ' ἀκούειν· καὶ γάρ, ὡς ἐγὼ οἶμαι, ὀνήσεσθε ἀκούοντες. μέλλω γὰρ οὖν ἄττα ὑμῖν ἐρεῖν καὶ ἄλλα, ἐφ' οἷς ἴσως βοήσεσθε· ἀλλὰ μηδαμῶς ποιεῖτε τοῦτο. εὖ γὰρ ἴστε, ἐὰν ἐμὲ ἀποκτείνητε τοιοῦτον ὄντα, οἷον ἐγὼ λέγω, οὐκ ἐμὲ μείζω βλάψετε ἢ ὑμᾶς αὐτούς· ἐμὲ μὲν γὰρ οὐδὲν ἂν βλάψειεν οὔτε Μέλητος οὔτε Ἄνυτος· οὐδὲ γὰρ ἂν δύναιτο· οὐ γὰρ οἴομαι θεμιτὸν εἶναι ἀμείνονι ἀνδρὶ ὑπὸ χείρονος D βλάπτεσθαι. ἀποκτείνειε μέντ' ἂν ἴσως ἢ ἐξελάσειεν ἢ ἀτιμώσειεν· ἀλλὰ ταῦτα οὗτος μὲν ἴσως οἴεται καὶ ἄλλος τίς που μεγάλα κακά, ἐγὼ δ' οὐκ οἴομαι, ἀλλὰ πολὺ μᾶλλον ποιεῖν ἃ οὗτος νυνὶ ποιεῖ, ἄνδρα ἀδίκως ἐπιχειρεῖν ἀποκτιννύναι. Νῦν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, πολλοῦ δέω ἐγὼ ὑπὲρ ἐμαυτοῦ ἀπολογεῖσθαι, ὥς τις ἂν οἴοιτο, ἀλλὰ ὑπὲρ ὑμῶν, μή τι ἐξαμάρτητε περὶ τὴν τοῦ θεοῦ δόσιν

Διὰ τούτου δὲν λέγει τι νέον, ἀλλὰ σαφέστερον ἢ ὅτι εἶπε διὰ τοῦ *πρὸς ταῦτα*. Ἡ μετ. *ποιήσοντος* δύναται νὰ ἑρμηνευθῇ ὧδε· «Ποιεῖτε ἢ τόδε, ἢ τόδε, ὡς ἂν ποιήσαιτε περὶ ἀνθρώπου οὐ δυναμένου ποιεῖν ἄλλα παρὰ ταῦτα». Ὁμοίως Ξνφ. Κ. Ἀναβ. Α΄, γ΄, 6· «ὡς οὖν ἐμοῦ ἰόντος ὅποι καὶ ὑμεῖς οὕτω τὴν γνώμην ἔχετε» = ἔχετε τοιάνδε γνώμην περὶ ἐμοῦ, οἵαν ἔχοιτ' ἂν περὶ ἀνθρώπου ἰόντος ὅποι καὶ ὑμεῖς.

1 *Μὴ θορυβεῖτε.* Ἡ ὑπερήφανος αὕτη γλῶσσα τοῦ Σωκ. ἐξήγειρε θύελλαν ἐν τῷ δικαστηρίῳ· διὸ διακόπτων τὸν λόγον τοὺς παρακαλεῖ νὰ μὴ θορυβῶσιν, ἀλλὰ νὰ ἀκούσωσιν ἐπ' ὠφελείᾳ ἑαυτῶν. Ἀντὶ δὲ διὰ προσηνεστέρων λόγων νὰ κατευνάσῃ τὴν θύελλαν, προαγγέλλει αὐτοῖς ὅτι θὰ ἀκούσωσιν ἔτι ἀηθέστερα ῥήματα, ἐφ' οἷς θὰ ἀναβοήσωσι. Ἡ ἀρετὴ εἶνε ἡ κρηπὶς τοῦ ἡρωϊσμοῦ!

9 *οὐ γὰρ οἴομαι θεμιτὸν εἶναι* κ.τ.λ. = κατὰ τοὺς θείους θεσμοὺς δὲν δύναται ὁ χειρότερος νὰ βλάψῃ τὸν καλλίτερον. Ἐπίστησον ἐπὶ τὸ ῥητορικὸν τέχνασμα τοῦ Σωκ. Προεῖπεν ὅτι, ἂν τὸν ἀποκτείνωσιν οἱ δικασταί, μᾶλλον θὰ βλάψωσιν ἑαυτοὺς ἢ αὐτόν. Πᾶσαι αἱ ἑπόμεναι κρίσεις του, ἃς ἐκφέρει κατὰ Ἀνύτου καὶ Μελήτου, ἥρμοζον κατὰ πάντων τῶν δικαστῶν ὅσοι θὰ κατεψήφιζον αὐτοῦ, καὶ ἡ σειρὰ τοῦ λόγου ἀπῄτει νὰ τὰς ἐκφέρῃ καὶ κατ' αὐτῶν ὧδε· «οὐκ ἐμὲ μείζω βλάψετε, ἢ ὑμᾶς αὐτούς· ἐμὲ μὲν γὰρ οὐδὲν ἂν βλάψαιτε· οὐδὲ γὰρ ἂν δύναισθε· οὐ γὰρ οἴομαι θεμιτὸν εἶναι ἀμείνονι ἀνδρὶ ὑπὸ χείρονος (ἢ ὑπὸ χειρόνων) βλάπτεσθαι· ἀποκτείναιτε μέντ' ἂν ἴσως ἢ ἐξελάσαιτε ἢ ἀτιμώσαιτε». Ἀλλὰ διὰ νὰ μὴ προσβάλῃ τοὺς δικαστάς, τὰς ἔστρεψε κατὰ τῶν δύο κατηγόρων του.

15 *ἀλλὰ ὑπὲρ ὑμῶν.* Παραλαμβάνεται ἐκ τῶν προηγουμένων τὸ *ἀπολογεῖσθαι*, ὅπερ ὅμως δὲν εὐαρμοστεῖ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὑμῖν ἐμοῦ καταψηφισάμενοι. ἐὰν γὰρ ἐμὲ ἀποκτείνητε, οὐ E ῥᾳδίως ἄλλον τοιοῦτον εὑρήσετε, ἀτεχνῶς, εἰ καὶ γελοιότερον εἰπεῖν, προσκείμενον τῇ πόλει ὑπὸ τοῦ θεοῦ, ὥςπερ ἵππῳ μεγάλῳ μὲν καὶ γενναίῳ, ὑπὸ μεγέθους δὲ νωθεστέρῳ καὶ δεομένῳ ἐγείρεσθαι ὑπὸ μύωπός τινος· οἷον δή μοι δοκεῖ ὁ θεὸς ἐμὲ τῇ πόλει προστεθεικέναι, τοιοῦτόν τινα, ὃς ὑμᾶς ἐγείρων καὶ πείθων καὶ ὀνειδίζων ἕνα ἕκαστον οὐδὲν παύομαι τὴν ἡμέραν ὅλην πανταχοῦ προσκαθίζων. 31 τοιοῦτος οὖν ἄλλος οὐ ῥᾳδίως ὑμῖν γενήσεται, ὦ ἄνδρες, ἀλλ' ἐὰν ἐμοὶ πείθησθε, φείσεσθέ μου· ὑμεῖς δ' ἴσως τάχ' ἂν ἀχθόμενοι, ὥςπερ οἱ νυστάζοντες ἐγειρόμενοι, κρούσαντες ἄν με, πειθόμενοι Ἀνύτῳ, ῥᾳδίως ἂν ἀποκτείναιτε, εἶτα τὸν λοιπὸν βίον καθεύδοντες διατελοῖτε ἄν, εἰ μή τινα ἄλλον ὁ θεὸς ὑμῖν ἐπιπέμψειε κηδόμενος ὑμῶν. ὅτι δ' ἐγὼ τυγχάνω ὢν τοιοῦτος, οἷος ὑπὸ τοῦ θεοῦ τῇ πόλει δεδόσθαι, ἐνθένδε ἂν κατανοήσαιτε· οὐ γὰρ ἀνθρωπίνῳ B

πλέον· ὡσαύτως δὲν εὐαρμοστεῖ πλέον ἡ ἐκ τοῦ *δέω* ἐξάρτησις. Συμπληρωτέον λοιπὸν ὧδε· «ἀλλ' ὑπὲρ ὑμῶν τὸν λόγον ποιοῦμαι». Ὁ λόγος ἀπὸ ἀπολογητικοῦ μεταπίπτει εἰς παραινετικόν.

1 *οὐ ῥᾳδίως ἄλλον τοιοῦτον εὑρήσετε*, κ.τ.λ. Παρομοιάζει ἑαυτὸν πρὸς τὴν μυῖαν τὴν καταδιώκουσαν καὶ νύττουσαν τοὺς ἵππους· «Ὅπως ὁ μύωψ δὲν ἀπολείπει τὸν ἵππον τρέχοντα νὰ ἀπαλλαγῇ αὐτοῦ, ἀλλ' ἀεὶ *πρόσκειται* (εἶνε κοντά του), οὕτω καὶ ἐγὼ πρόσκειμαι ὑμῖν». Τοῦτο χαρακτηρίζει, ὡς γελοιότερον τοῦ πρέποντος, διὰ τὴν εὐτέλειαν τῆς παρομοιώσεως. Τὸ *πρόσκειμαι* παθητ. τοῦ *προστέθεικα*.

4 *ἵππῳ — νωθεστέρῳ*. Προέταξε τὰ φιλόφρονα ὀνόματα *μεγάλῳ καὶ γενναίῳ*, ἵνα μετριάσῃ τὸ ἐπαχθὲς τοῦ *νωθεστέρῳ*, ὅπερ καὶ αὐτὸ ἀποδίδει εἰς τὸ μεγεθος, οὐχὶ εἰς ἄλλην τινὰ κακίαν. Γενναῖος, ὁ εὐγενής, καὶ ὡς τοιοῦτος, ὑπερήφανος, ἀνδρεῖος κ.τ.τ. νωθὴς δέ, ὁ δυσκίνητος.

6 *προστεθεικέναι, τοιοῦτόν τινα*. Τὸ *τοιοῦτόν τινα* ἐπανάληψις τῆς ἐννοίας τοῦ οἷον, ἵνα διὰ τῶν ἑπομένων καταστήσῃ αὐτὸ σαφέστερον. Γοργ. 483 a· «ὃ δὴ καὶ σύ, τοῦτο τὸ σοφόν, κατανενοηκώς».

10 *ὑμεῖς δ' ἴσως — ῥᾳδίως ἂν ἀποκτείναιτε*. Τῶν ἐν τῇ περιόδῳ ταύτῃ τριῶν *ἂν* ὁ α' καὶ ὁ τελευταῖός εἰσι τοῦ *ἀποκτείναιτε*· ὁ δὲ μέσος τοῦ *κρούσαντες* διότι τοῦτο εἶνε ἅμα μὲν ἀπόδοσις τοῦ *ἐγειρόμενοι*, ἅμα δὲ ὑπόθ. τοῦ *ἀποκτείναιτε ἄν*. Πολλάκις, ὅπου θὰ ἐξήρκει ἅπαξ τιθέμενος ὁ *ἄν*, τίθεται δὶς καὶ τρὶς κατὰ διαφόρους θέσεις τῆς προτάσεως. Γοργ. 475 e «οὔτ' ἂν ἐγώ, οὔτ' ἂν σύ, οὔτ' ἄλλος οὐδεὶς δέξαιτ' ἂν μᾶλλον ἀδικεῖν ἢ ἀδικεῖσθαι».

13 *τὸν λοιπὸν βίον καθεύδοντες*. Τὸ καθεύδειν = κοιμᾶσθαι, ὑπνώσσειν· τὸ καταδαρθάνειν = κατακλίνεσθαι εἰς ὕπνον. Φαίδ. 71 c «λέγω δὲ τὸ μὲν καθεύδειν, τὸ δὲ ἐγρηγορέναι — καὶ τὰς γενέσεις αὐτοῖν, τὴν μὲν καταδαρ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔοικε τὸ ἐμὲ τῶν μὲν ἐμαυτοῦ ἁπάντων ἠμεληκέναι καὶ ἀνέχεσθαι τῶν οἰκείων ἀμελουμένων τοσαῦτα ἤδη ἔτη, τὸ δὲ ὑμέτερον πράττειν ἀεί, ἰδίᾳ ἑκάστῳ προσιόντα ὥςπερ πατέρα ἢ ἀδελφὸν πρεσβύτερον, πείθοντα ἐπιμελεῖσθαι ἀρετῆς. καὶ εἰ μέν τι ἀπὸ τούτων ἀπέλαυον, καὶ μισθὸν λαμβάνων ταῦτα παρεκελευόμην, εἶχον ἄν τινα λόγον· νῦν δὲ ὁρᾶτε δὴ καὶ αὐτοί, ὅτι οἱ κατήγοροι, τἆλλα πάντα ἀναισχύντως οὕτω κατηγοροῦντες, τοῦτό γε οὐχ οἷοί τε ἐγένοντο ἀπαναισχυντῆσαι παρασχόμενοι μάρτυρα, ὡς ἐγώ C ποτέ τινα ἢ ἐπραξάμην μισθὸν ἢ ᾔτησα. ἱκανὸν γάρ, οἶμαι, ἐγὼ παρέχομαι τὸν μάρτυρα, ὡς ἀληθῆ λέγω, τὴν πενίαν.

ΙΘ΄. Ἴσως ἂν οὖν δόξειεν ἄτοπον εἶναι, ὅτι δὴ ἐγὼ ἰδίᾳ μὲν ταῦτα ξυμβουλεύω περιιὼν καὶ πολυπραγμονῶ, δημοσίᾳ δὲ οὐ τολμῶ ἀναβαίνων εἰς τὸ πλῆθος τὸ ὑμέτερον ξυμβουλεύειν τῇ πόλει. τούτου δὲ αἴτιόν ἐστιν ὃ ὑμεῖς ἐμοῦ πολλάκις ἀκηκόατε πολλαχοῦ λέγοντος, ὅτι μοι D θεῖόν τι καὶ δαιμόνιον γίγνεται [φωνή], ὃ δὴ καὶ ἐν τῇ γραφῇ ἐπικωμῳδῶν Μέλητος ἐγράψατο· ἐμοὶ δὲ τοῦτ' ἔστιν ἐκ παιδὸς ἀρξάμενον φωνή τις γιγνομένη, ἣ ὅταν γένηται, ἀεὶ ἀποτρέπει με τοῦτο ὃ ἂν μέλλω πράττειν, προτρέπει δὲ οὔποτε· τοῦτ' ἔστιν ὅ μοι ἐναντιοῦται τὰ πολιτικὰ πράττειν. καὶ παγκάλως γέ μοι δοκεῖ ἐναντιοῦσθαι·

θάνειν εἶναι, τὴν δὲ ἀνεγείρεσθαι». Πολλάκις δ' ὅμως λαμβάνεται τὸ καταδαρθάνειν ἀντὶ τοῦ καθεύδειν.

2 *τὸ δὲ ὑμέτερον πράττειν*· ἐπιδιώκω τὸ ὑμέτερον συμφέρον. Ὅμοιον τὸ Γοργ. 455 c «καὶ ἐμὲ νῦν νόμισον καὶ τὸ σὸν σπεύδειν».

10 *ἱκανὸν παρέχομαι τὸν μάρτυρα τὴν πενίαν*. Σύμπτυξις δύο προτάσεων· «παρέχομαι μάρτυρα τὴν πενίαν, ἱκανὸν ὄντα (μάρτυρα)»· ὥστε τὸ *μάρτυρα* εἶνε ἅμα κατηγ. τοῦ *πενίαν* καὶ ὑποκ. τοῦ *ἱκανὸν ὄντα*.

15 ***τούτου δὲ αἴτιον*** κ.τ.λ. Ἐρχόμενος νὰ δηλώσῃ τὸ αἴτιον δι' ὃ δὲν ἐπολιτεύετο, ἐπιλαμβάνεται τῆς εὐκαιρίας νὰ εἴπῃ τὰ δέοντα περὶ τοῦ δαιμονίου του, ἐφ' οὗ καὶ μόνου κυρίως εἰπεῖν ἐστηρίχθη ἅπασα ἡ σκευωρηθεῖσα κατηγορία. Πρβλ. Εὐθύφρ. 3 b.

17 ***θεῖόν τι καὶ δαιμόνιον***. Ἐν παντὶ τῷ περὶ τοῦ δαιμονίου λόγῳ ὁ Σωκ. ἐπιμελεῖται νὰ μεταχειρίζηται τὴν λέξιν ὡς ἐπίθετον (Ἐπιθ εἰσαγ. σελ. 27),

18 *ἐπικωμῳδῶν* = διαστρέφων ὅπως οἱ κωμῳδιοποιοί· διότι ὁ Μ. ἔγραψε περὶ πολλῶν δαιμονίων (οὐσιαστ. πληθυντ. ἀριθ).

22 ***καὶ παγκάλως***. Τὰ θεόπνευστα τοῦ δαιμονίου κελεύσματα, καὶ ὡς τοιαῦτα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εὖ γὰρ ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ἐγὼ πάλαι ἐπεχείρησα
πράττειν τὰ πολιτικὰ πράγματα, πάλαι ἂν ἀπολώλη καὶ
οὔτ' ἂν ὑμᾶς ὠφελήκη οὐδὲν οὔτ' ἂν ἐμαυτόν· καί μοι μὴ E
ἄχθεσθε λέγοντι τἀληθῆ· οὐ γάρ ἐστιν ὅςτις ἀνθρώπων
σωθήσεται, οὔτε ὑμῖν οὔτε ἄλλῳ πλήθει οὐδενὶ γνησίως
ἐναντιούμενος καὶ διακωλύων πολλὰ ἄδικα καὶ παράνομα
ἐν τῇ πόλει γίγνεσθαι, ἀλλ' ἀναγκαῖόν ἐστι τὸν τῷ ὄντι 32
μαχούμενον ὑπὲρ τοῦ δικαίου, καὶ εἰ μέλλει ὀλίγον χρόνον
σωθήσεσθαι, ἰδιωτεύειν ἀλλὰ μὴ δημοσιεύειν.

Κ'. Μεγάλα δ' ἔγωγε ὑμῖν τεκμήρια παρέξομαι τούτων, οὐ λόγους, ἀλλ' ὃ ὑμεῖς τιμᾶτε, ἔργα. ἀκούσατε δή μου τὰ ἐμοὶ ξυμβεβηκότα, ἵνα εἰδῆτε, ὅτι οὐδ' ἂν ἑνὶ ὑπεικάθοιμι παρὰ τὸ δίκαιον δείσας θάνατον, μὴ ὑπείκων δὲ ἅμ' ἂν ἀπολοίμην. ἐρῶ δὲ ὑμῖν φορτικὰ μὲν καὶ δικανικά,
ἀληθῆ δέ. ἐγὼ γάρ, ὦ Ἀθηναῖοι, ἄλλην μὲν ἀρχὴν οὐδε- B
μίαν πώποτε ἦρξα ἐν τῇ πόλει, ἐβούλευσα δέ· καὶ ἔτυχεν

ὑπὲρ τὸν ἀνθρώπινον λόγον ὄντα, ἀποφαίνει καὶ πρὸς τοῦτον συνᾴδοντα.

4 *οὐ γάρ ἐστιν ὅςτις* κ.τ.λ. Ἐκφέρει τὴν καταδίκην τοῦ δημοκρατικοῦ πολιτεύματος ἐν γένει, οὐχὶ μόνον τοῦ Ἀθηναϊκοῦ.

8 *καὶ εἰ μέλλει ὀλίγον χρόνον*. Ὁ καὶ εἰς τὸ *ὀλίγον χρόνον*.

11 *ὃ ὑμεῖς τιμᾶτε, ἔργα*. Τοῦτο ἐλέχθη περιποιητικώτερον ἢ ἀληθέστερον. Ὅτι οἱ Ἀθ. ἐτίμων τὰ ἔργα ἔχει ὀρθῶς· ἀλλ' ὅτι δὲν ἐτίμων τοὺς λόγους μᾶλλον τῶν ἔργων, ἧττον ὀρθῶς. Γοργ. 416 e· «δεινὰ μέντ' ἂν πάθοις, ὦ βέλτιστε, εἰ Ἀθήναζε ἀφικόμενος, οὗ τῆς Ἑλλάδος πλείστη ἐστὶν ἐξουσία τοῦ λέγειν, ἔπειτα σὺ ἐνταῦθα τούτου μόνος ἀτυχήσαις».

12 *οὐδ' ἂν ἑνὶ ὑπεικάθοιμι*. Τὸ διαλελυμένον *οὐδ' ἂν ἑνὶ* ἐντονώτερον τοῦ συνθέτου *οὐδενί*. Ἡ κατάλ. *-άθειν* τὸ μετὰ προσπαθείας καὶ ἐπιμονῆς ποιεῖν τι. Εὐθύφρ. 15 d «ἄνδρα πρεσβύτην πατέρα διωκάθειν φόνου».

24 *φορτικὰ καὶ δικανικά*. Φορτικὰ μὲν τὰ ὀνομάζει ὡς περιαυτολογήματα, ἅτινα πᾶς τις ἐπαχθῶς ἀκούει. Δικανικὰ δέ, κατὰ τὸ ἔθος τῶν δικανικῶν ῥητόρων, ὅπερ ἀκριβῶς μᾶς παρέστησεν ὁ Λυσίας (12,38)· «Ἐν τῇδε τῇ πόλει εἰθισμένον ἐστί, πρὸς μὲν τὰ κατηγορημένα μηδὲν ἀπολογεῖσθαι, περὶ δὲ σφῶν αὐτῶν ἕτερα λέγοντες ἐνίοτε ἐξαπατῶσιν, ὑμῖν ἀποδεικνύντες ὡς στρατιῶται ἀγαθοί εἰσιν, ἢ ὡς πολλὰς τῶν πολεμίων ναῦς ἔλαβον τριηραρχήσαντες, ἢ πόλεις πολεμίας οὔσας φίλας ἐποίησαν».

16 *ἐβούλευσα δὲ* = ἐγενόμην δὲ βουλευτής. Ἡ βουλὴ τῶν Ἀθηναίων συνέκειτο ἐκ 500 κληρουμένων κατ' ἐνιαυτόν, 50 ἐξ ἑκάστης τῶν 10 φυλῶν. Διαιρουμένου τοῦ ἐνιαυτοῦ εἰς 10 ἴσα μέρη (35-38 ἡμέρας), καθ' ἕκαστον τούτων *ἐπρυτάνευεν* ἑκάστη φυλή, δηλ. οἱ 50 ἑκάστης φυλῆς, ἐκ τῶν πρυτάνεων δ' ἐκληροῦτο καθ' ἡμέραν εἷς πρόεδρος ἢ ἐπιστάτης, ὅςτις προήδρευε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡμῶν ἡ φυλὴ Ἀντιοχὶς πρυτανεύουσα, ὅτε ὑμεῖς τοὺς δέκα στρατηγοὺς τοὺς οὐκ ἀνελομένους τοὺς ἐκ τῆς ναυμαχίας ἐβούλεσθε ἀθρόους κρίνειν, παρανόμως, ὡς ἐν τῷ ὑστέρῳ χρόνῳ πᾶσιν ὑμῖν ἔδοξε. τότ' ἐγὼ μόνος τῶν πρυτάνεων ἠναντιώθην ὑμῖν μηδὲν ποιεῖν παρὰ τοὺς νόμους καὶ ἐναντία ἐψηφισάμην· καὶ ἑτοίμων ὄντων ἐνδεικνύναι με καὶ ἀπάγειν τῶν ῥητόρων, καὶ ὑμῶν κελευόντων καὶ βοώντων, μετὰ τοῦ νόμου καὶ τοῦ δικαίου ᾤμην μᾶλλόν με C
δεῖν διακινδυνεύειν ἢ μεθ' ὑμῶν γενέσθαι μὴ δίκαια βουλομένων, φοβηθέντα δεσμὸν ἢ θάνατον. καὶ ταῦτα μὲν ἦν ἔτι δημοκρατουμένης τῆς πόλεως· ἐπειδὴ δὲ ὀλιγαρχία ἐγένετο, οἱ τριάκοντα αὖ μεταπεμψάμενοί με πέμπτον αὐτὸν

τῆς τε βουλῆς συνεδριαζούσης καὶ τῆς ἐκκλησίας τοῦ λαοῦ, καὶ παρελάμβανε τὰς κλεῖς τοῦ ἐν τῇ ἀκροπόλει θησαυροῦ, τὰς τῶν ἀρχείων, καὶ τὴν σφραγῖδα τῆς πόλεως.

2 *τοὺς ἐκ τῆς ναυμαχίας*. Βραχυλογία ἐπὶ βραχυλογίας = οὐκ ἀνείλοντο τοὺς ἐν τῇ ναυμαχίᾳ (ἀπολομένους) ἐκ τῆς ναυμαχίας δηλ. ἐκ τῆς θαλάσσης εἰς ἣν ναυμαχοῦντες ἔπεσον.

4 *ἐγὼ μόνος τῶν πρυτάνεων ἠναντιώθην*. Λεπτομερέστερον διηγεῖται τα πράγματα Ξενφ. Ἑλλ. Α', 7. Πρῶτον μὲν ἡ βουλή, προτείναντος Καλλιξένου, εἰσήνεγκε γνώμην εἰς τὴν ἐκκλησίαν νὰ ψηφίσωσι πάντες οἱ Ἀθηναῖοι κατὰ πάντων τῶν κατηγορουμένων ἀθρόων, τουτέστιν ἑκάστη ψῆφος νὰ εἶνε ἢ ἀθῳωτικὴ ἢ καταδικαστικὴ πάντων. Τοῦτο δὲ ἦτο καὶ ἄδικον καὶ παράνομον· ἄδικον μὲν διότι ἦτο ἐνδεχόμενον τινὲς μὲν τῶν στρατηγῶν νὰ ἦσαν πράγματι ἔνοχοι, ἄλλοι δὲ ἀθῷοι, ὅπως καὶ τῷ ὄντι εἷς τῶν κατηγορουμένων στρατηγῶν, καταποντισθέντος τοῦ πλοίου του, ἐσώθη ἀπὸ τοῦ αὐτομάτου, ὥστε αὐτὸς ἐδεῖτο ἀναιρέσεως, καὶ δικαιότερον θὰ ἦτο μετὰ τῶν κατηγορούντων ἢ τῶν κατηγορουμένων· παράνομον δὲ διότι τὸ Καννωνοῦ ψήφισμα ῥητῶς ἐκέλευε νὰ κρίνηται ἕκαστος τῶν κατηγορουμένων δι' ἰδίας ψήφου. Διὰ τοῦτο τῶν πρυτάνεων τινές, οἱ μᾶλλον φιλοδίκαιοι, δὲν ἤθελον νὰ ἐπιψηφίσωσιν εἰς τὴν ἐκκλησίαν παρὰ τὸν νόμον. Ἀλλ' ὁ μιαρὸς Καλλίξενος καὶ ὁ ὄπισθεν αὐτοῦ μαινόμενος ὄχλος ἐβόων νὰ εἰσαχθῶσιν εἰς δίκην οἱ ἀρνούμενοι· φοβηθέντες δ' οἱ πρυτάνεις ἐνέδωκαν, πλὴν τοῦ προεδρεύοντος Σωκράτους, ὅστις μέχρι τέλους ἔλεγεν ὅτι θὰ ἐνεργήσῃ πάντα κατὰ τὸν νόμον.

6 *ἑτοίμων ὄντων ἐνδεικνύναι με καὶ ἀπάγειν τῶν ῥητόρων*. Ῥήτορας νοεῖ τοὺς περὶ τὸν Καλλίξενον καὶ Λυκίσκον. Περὶ ἐνδείξεως καὶ ἀπαγωγῆς ὅρα εἰσαγ. 244.

11 *ἐπειδὴ δὲ ὀλιγαρχία ἐγένετο*. Ἡ ἐν τῇ προηγουμένῃ περιστάσει διαγωγὴ τοῦ Σωκ. ἠδύνατο νὰ ἑρμηνευθῇ ὡς ἀντιδημοκρατική· ἡ ἑπομένη ὡς ἀντιαριστοκρατική. Συνδυαζόμεναι ἀμφότεραι ἀποδεικνύουσιν ἕνα σταθερὸν χαρακτῆρα ἀνδρὸς μὴ βλέποντος εἰς πρόσωπον ἀνθρώπου, ἀλλὰ πειθαρχοῦντος Θεῷ μᾶλλον ἢ ἀνθρώποις.

12 *με πέμπτον αὐτόν*. Συνήθης τοῖς ἀρχαίοις τρόπος τοῦ δηλοῦν βραχυλογικῶς τὸν ὅλον ἀριθμὸν τῶν αἱρεθέν-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰς τὴν θόλον προσέταξαν ἀγαγεῖν ἐκ Σαλαμῖνος Λέοντα τὸν Σαλαμίνιον, ἵνα ἀποθάνοι· οἷα δὴ καὶ ἄλλοις ἐκεῖνοι πολλοῖς πολλὰ προσέταττον, βουλόμενοι ὡς πλείστους ἀναπλῆσαι αἰτιῶν· τότε μέντοι ἐγὼ οὐ λόγῳ ἀλλ' ἔργῳ D
αὖ ἐνεδειξάμην, ὅτι ἐμοὶ θανάτου μὲν μέλει, εἰ μὴ ἀγροικότερον ἦν εἰπεῖν, οὐδ' ὁτιοῦν, τοῦ δὲ μηδὲν ἄδικον μηδ' ἀνόσιον ἐργάζεσθαι, τούτου δὲ τὸ πᾶν μέλει. ἐμὲ γὰρ ἐκείνη ἡ ἀρχὴ οὐκ ἐξέπληξεν οὕτως ἰσχυρὰ οὖσα, ὥςτε ἄδικόν τι ἐργάσασθαι, ἀλλ' ἐπειδὴ ἐκ τῆς θόλου ἐξήλθομεν, οἱ μὲν τέτταρες ᾤχοντο εἰς Σαλαμῖνα καὶ ἤγαγον Λέοντα, ἐγὼ δὲ ᾠχόμην ἀπιὼν οἴκαδε. καὶ ἴσως ἂν διὰ ταῦτα ἀπέθανον, εἰ μὴ ἡ ἀρχὴ διὰ ταχέων κατελύθη· καὶ τούτων ὑμῖν ἔσονται πολλοὶ μάρτυρες. E

ΚΑ'. Ἆρ' οὖν ἄν με οἴεσθε τοσάδε ἔτη διαγενέσθαι, εἰ

των στρατηγῶν, πρέσβεων καὶ ἐν γένει ἐπιτρόπων τινὸς πράξεως. Ὀνομάζουσιν ἕνα μόνον τὸν ἀξιολογώτατον, εἰς τοῦτον δὲ ἐπιθέτουσι τὸ ταχτικὸν ἐπίθετον τὸ δηλοῦν τὸν τελευταῖον ἐν τῇ ἀριθμητικῇ τάξει.

Τῶν πέντε τούτων ἦτο καί τις Μέλητος. Ἀνδοκ. Α', 94· «Μέλητος οὑτοσὶ ἀπήγαγεν ἐπὶ τῶν Τριάκοντα Λέοντα .. καὶ ἀπέθανεν ἄκριτος». Φανερὸν ὅτι εἶνε ἄλλος τις παρὰ τὸν τοῦ Σωκ. κατήγορον.

1 *εἰς τὴν θόλον*. Οἰκοδόμημα θολοειδὲς παρὰ τὸ βουλευτήριον κείμενον, ἐν ᾧ συνήρχοντο καὶ συνεδείπνουν οἱ πρυτάνεις (ἄλλο παρὰ τὸ πρυτανεῖον). Οἱ Τριάκοντα ἐγκατέστησαν ἐν τῇ θόλῳ τὸ ἀρχεῖον καὶ συνηδρίαζον.

*Λέοντα τὸν Σαλαμίνιον*. Ξενοφ. Ἑλλ. Β', γ', 39.

2 *ἵνα ἀποθάνοι*. Ἐλέγετο ἐνεργ. ἀποκτείνω τινά, καὶ παθ. ἀποθνήσκω ὑπό τινος.

3 *βουλόμενοι ὡς πλείστους ἀναπλῆσαι αἰτιῶν*. Θέλοντες νὰ ἔχωσιν ὡς πλείστους μετόχους καὶ συνενόχους τῶν κακουργιῶν των, ἵνα οὕτως ἑδραιώσωσι τὴν ἀρχήν των. Ἔπιθι παρὰ Ξνφ. Ἑλλ. Β', γ', 39 τὸν λόγον Θηραμένους. Ἀναπίμπλημί τινά τινος, ὡς ἐπὶ τὸ πλεῖστον ῥυπαροῦ ὑλικῶς καὶ ἠθικῶς = ῥυπαίνω, μολύνω τινά.

5 *εἰ μὴ ἀγροικότερον ἦν εἰπεῖν*. Εὐθυδ. 283 e· «Ξένε Θούριε, εἰ μὴ ἀγροικότερον ἦν εἰπεῖν, εἶπον ἄν, *σοὶ εἰς κεφαλὴν*» (= νὰ πέσουν κατὰ τῆς κεφαλῆς σου τὰ δύσφημα λόγια ποῦ λέγεις). Ὅπως μεταχειριζόμεθα σήμερον τὸ *μὲ συμπάθιο*, ὅταν προτιθέμεθα νὰ εἴπωμέν τι ἀπρεπές. Ἐνταῦθα τὸ ἀπρεπὲς καὶ τῶν ἀγροίκων ἴδιον κεῖται ἐν τῷ *ἐμοὶ θανάτου μέλει οὐδ' ὁτιοῦν*· διότι εἶνε ὑπερβολή, πρὸς ἃς οἱ ἄγροικοι ῥέπουσι (μ' ἐσκότωσε, μὲ ἀφάνισε, μὲ κατέστρεψε, τρελλαίνομαι κ.τ.τ. δι' ὅλως παραμικρὰ πράγματα!)

6 *οὐδ' ὁτιοῦν — τὸ πᾶν μέλει*. Περὶ τῶν αἰτιατ. τούτων ὅρα ἔμπροσθεν 24c.

11 *καὶ ἴσως ἂν διὰ ταῦτα ἀπέθανον*. Περὶ τῶν σχέσεων τοῦ Σωκ. πρὸς τοὺς Τριάκοντα ἔπιθι Ξνφ. Ἀπομν. Α', 6', 29-38.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔπραττον τὰ δημόσια, καὶ πράττων ἀξίως ἀνδρὸς ἀγαθοῦ
ἐβοήθουν τοῖς δικαίοις καί, ὥςπερ χρή, τοῦτο περὶ πλεί-
στου ἐποιούμην; πολλοῦ γε δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι· οὐδὲ
γὰρ ἂν ἄλλος ἀνθρώπων οὐδείς. ἀλλ' ἐγὼ διὰ παντὸς τοῦ 33
βίου δημοσίᾳ τε, εἴ πού τι ἔπραξα, τοιοῦτος φανοῦμαι,
καὶ ἰδίᾳ ὁ αὐτὸς οὗτος, οὐδενὶ πώποτε ξυγχωρήσας οὐδὲν
παρὰ τὸ δίκαιον οὔτε ἄλλῳ οὔτε τούτων οὐδενί, οὓς οἱ
διαβάλλοντες ἐμέ φασιν ἐμοὺς μαθητὰς εἶναι. ἐγὼ δὲ διδά-
σκαλος μὲν οὐδενὸς πώποτ' ἐγενόμην· εἰ δέ τίς μου λέγον-
τος καὶ τὰ ἐμαυτοῦ πράττοντος ἐπιθυμεῖ ἀκούειν, εἴτε
νεώτερος εἴτε πρεσβύτερος, οὐδενὶ πώποτε ἐφθόνησα, οὐδὲ
χρήματα μὲν λαμβάνων διαλέγομαι, μὴ λαμβάνων δὲ οὔ, B
ἀλλ' ὁμοίως καὶ πλουσίῳ καὶ πένητι παρέχω ἐμαυτὸν
ἐρωτᾶν, ἐάν τις βούληται, καὶ ἀποκρινόμενος ἀκούειν ὧν
ἂν λέγω. καὶ τούτων ἐγὼ εἴτε τις χρηστὸς γίγνεται εἴτε
μή, οὐκ ἂν δικαίως τὴν αἰτίαν ὑπέχοιμι, ὧν μήτε ὑπε-
σχόμην μηδενὶ μηδὲν πώποτε μάθημα μήτε ἐδίδαξα. εἰ δέ
τίς φησι παρ' ἐμοῦ πώποτέ τι μαθεῖν ἢ ἀκοῦσαι ἰδίᾳ ὅ τι
μὴ καὶ οἱ ἄλλοι πάντες, εὖ ἴστε, ὅτι οὐκ ἀληθῆ λέγει.

ΚΒ'. Ἀλλὰ διὰ τί δή ποτε μετ' ἐμοῦ χαίρουσί τινες

3 *οὐδὲ γὰρ ἂν ἄλλος ἀνθρώπων.* Συμπλήρου *διεγένετο.*

7 *οὔτε τούτων οὐδενὶ* κ.τ.λ. Κριτίᾳ τε καὶ Ἀλκιβιάδῃ, καὶ τοῖς τοιούτοις, ὧν τῆς κακουργίας ᾐτιῶντο τὸν Σωκ. ὡς δῆθεν διδάσκαλον αὐτῶν.

8 *ἐγὼ δὲ διδάσκαλος* κ.τ.λ. Οὐδενὸς ἐγενόμην ἐξ ἐπαγγέλματος διδάσκαλος, ἀλλ' *ἔπραττον τὰ ἐμαυτοῦ*, δηλ. ἐξετέλουν τὴν ἐντολήν, ἣν ἔλαβον παρὰ τοῦ θεοῦ.

13 *ἀλλ' ὁμοίως — ὧν ἂν λέγω.* Σύμπλεκε καὶ συμπλήρου ὧδε· «Ἀλλὰ παρέχω ἐμαυτὸν ὁμοίως καὶ πλουσίῳ καὶ πένητι, ἐάν τις βούληται ἐρωτᾶν, καὶ ἀποκρινόμενος, ἀκούειν ὧν ἂν λέγω». Ὁ Σωκ. δὲν ἀπήγγελλε λόγους μακροὺς ἀκροαματικούς, ἀλλὰ διελέγετο· κατὰ δύο λοιπὸν τρόπους ἠδύνατο ὁ βουλόμενος νὰ μανθάνῃ παρ' αὐτοῦ· ἢ ἐρωτῶν, ὅτε ὁ Σωκ. ἀπεκρίνετο πρὸς πάντα ἀδιακρίτως, ἢ ἐρωτώμενος ὑπὸ Σωκρ. καὶ ἀποκρινόμενος.

15 *καὶ τούτων ἐγὼ* = τούτων τῶν ἀνδρῶν· γενικὴ τοῦ *τὴν αἰτίαν ὑπέχοιμι.* Ὡσαύτως τὸ κατωτέρω *ὧν μηδενὶ* = ὧν ἀνδρῶν.

18 *μαθεῖν ἢ ἀκοῦσαι ἰδίᾳ.* Ἰδιαιτέρως, ἐν μυστικῇ διδασκαλίᾳ· διότι, ἂν ὑποθέσωμεν ὅτι πράγματι διέφθειρεν ὁ Σωκ. τοὺς ἐπιφανεῖς νέους, ὥςτε νὰ ἀποβῶσιν ἀντιδημοτικοί, πρέπει νὰ ὑποθέσωμεν καὶ ὅτι ἡ τούτων διδασκαλία δὲν ἐγίνετο δημοσίᾳ ἐν τῇ ἀγορᾷ καὶ ἐπὶ τῶν τραπεζῶν, ἀλλ' ἰδιαιτέρως.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πολὺν χρόνον διατρίβοντες; ἀκηκόατε, ὦ ἄνδρες Ἀθηναῖοι, C πᾶσαν ὑμῖν τὴν ἀλήθειαν ἐγὼ εἶπον, ὅτι ἀκούοντες χαίρουσιν ἐξεταζομένοις τοῖς οἰομένοις μὲν εἶναι σοφοῖς, οὖσι δ' οὔ· ἔστι γὰρ οὐκ ἀηδές. ἐμοὶ δὲ τοῦτο, ὡς ἐγώ φημι, προστέτακται ὑπὸ τοῦ θεοῦ πράττειν καὶ ἐκ μαντείων καὶ ἐξ ἐνυπνίων καὶ παντὶ τρόπῳ, ᾧπέρ τῷ ποτε καὶ ἄλλῳ θεία μοῖρα ἀνθρώπῳ καὶ ὁτιοῦν προσέταξε πράττειν. Ταῦτα, ὦ Ἀθηναῖοι, καὶ ἀληθῆ ἐστι καὶ εὐέλεγκτα. εἰ γὰρ δὴ ἔγωγε τῶν νέων τοὺς μὲν διαφθείρω, τοὺς δὲ διέ- D φθαρκα, χρῆν δήπου, εἴτε τινὲς αὐτῶν πρεσβύτεροι γενόμενοι ἔγνωσαν, ὅτι νέοις οὖσιν αὐτοῖς ἐγὼ κακὸν πώποτέ τι ξυνεβούλευσα, νυνὶ αὐτοὺς ἀναβαίνοντας ἐμοῦ κατηγορεῖν καὶ τιμωρεῖσθαι· εἰ δὲ μὴ αὐτοὶ ἤθελον, τῶν οἰκείων τινὰς τῶν ἐκείνων, πατέρας καὶ ἀδελφοὺς καὶ ἄλλους τοὺς προσήκοντας, εἴπερ ὑπ' ἐμοῦ τι κακὸν ἐπεπόνθεσαν αὐτῶν οἱ οἰκεῖοι, νῦν μεμνῆσθαι [καὶ τιμωρεῖσθαι]. πάντως δὲ

8 *εὐέλεγκτα*· εὐκόλως ἐξελέγχεται ἡ ἀλήθεια αὐτῶν.

*εἰ γὰρ δὴ* κ. τ. λ. Ἐκφέρει τοὺς λόγους τοὺς ἀποδεικνύοντας τὴν ἀλήθειαν τῶν ἰσχυρισμῶν του.

9 *τοὺς μὲν διαφθείρω, τοὺς δὲ διέφθαρκα*· τοὺς *μὲν* = τοὺς νεωτέρους καὶ νῦν ἔτι συνόντας αὐτῷ· τοὺς *δὲ* = τοὺς παλαιοτέρους καὶ ἤδη πρεσβυτέρους γενομένους.

10 *εἴτε τινὲς αὐτῶν — εἰ δὲ μὴ αὐτοὶ ἤθελον* κ.τ.λ. Κατὰ τὴν α' ὁρμὴν τοῦ λόγου (*εἴτε τινὲς*) διενοεῖτο νὰ κατατάξῃ τοὺς ὑφ' ἑαυτοῦ διεφθαρμένους νέους εἰς δύο κατηγορίας· τὴν τῶν παλαιοτέρων, οἵτινες πρεσβύτεροι γενόμενοι ἐγνώρισαν τὴν διαφθοράν, καὶ τὴν τῶν νεωτέρων, οἵτινες αὐτοὶ μὲν ὡς τοιοῦτοι ἦσαν ἀνίκανοι νὰ γνωρίσωσι τὴν βλάβην των, ἀλλ' ἠδύναντο νὰ γνωρίσωσιν αὐτὴν οἱ οἰκεῖοι αὐτῶν, πατέρες ἢ ἀδελφοὶ πρεσβύτεροι. Προϊὼν δέ, ἐνενόησεν ὅτι καὶ αὐτῶν τῶν παλαιοτέρων τινὲς ἠδύναντο, ἐμμένοντες τῇ διαφθορᾷ, νὰ μὴ θέλωσι νὰ κατηγορήσωσι τοῦ ἀρεστοῦ αὐτοῖς διαφθορέως· ὤφειλε λοιπὸν νὰ ἐξαιρέσῃ τινὰς τούτων ἐκ τῆς α' κατηγορίας καὶ νὰ ὑπαγάγῃ ὑπὸ τὴν β' κατηγορίαν, ἐκείνων ὧν οἱ οἰκεῖοι θὰ ἐγνώριζον τὴν διαφθοράν. Οὕτω κατεσκεύασε τὸν λόγον ἀνακόλουθον· ἀντὶ μετὰ τὸ α' *εἴτε* νὰ ἐπιφέρῃ β' *εἴτε*, ἐπήνεγκεν *εἰ δὲ μή*· ὥστε ἡ β' αὕτη κατηγορία ἡ διὰ τοῦ *εἰ δὲ μὴ* περιλαμβάνει παλαιοτέρους διεφθαρμένους μὴ θέλοντας, καὶ νεωτέρους ἀνικάνους ὄντας, νὰ προσέλθωσι κατήγοροι τοῦ Σωκ. Κατ' ἀμφοτέρων τούτων ἀποφαίνεται τοῦτο κοινόν, ὅτι ἠδύναντο οἱ οἰκεῖοι αὐτῶν νὰ προσέλθωσι κατήγοροι.

15 *εἴπερ ὑπ' ἐμοῦ* κ.τ.λ. Δι' ἀναδρομῆς, ἐπανέρχεται εἰς τὴν α' ὑπόθεσιν ἐξ ἧς ὡρμήθη *εἰ γὰρ δὴ ἔγωγε*. Τοιαῦται ἀναδρομαί εἰσι συνήθεις παρὰ Πλάτ.

16 *νῦν μεμνῆσθαι*· τοῦ κακοῦ· μνησικακεῖν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πάρεισιν αὐτῶν πολλοὶ ἐνταυθοῖ, οὓς ἐγὼ ὁρῶ, πρῶτον
μὲν Κρίτων οὑτοσί, ἐμὸς ἡλικιώτης καὶ δημότης, Κριτο- E
βούλου τοῦδε πατήρ, ἔπειτα Λυσανίας ὁ Σφήττιος, Αἰσχίνου τοῦδε πατήρ, ἔτι Ἀντιφῶν ὁ Κηφισιεὺς οὑτοσί, Ἐπιγένους πατήρ· ἄλλοι τοίνυν οὗτοι, ὧν οἱ ἀδελφοὶ ἐν ταύτῃ τῇ διατριβῇ γεγόνασι, Νικόστρατος ὁ Θεοζοτίδου, ἀδελφὸς Θεοδότου — καὶ ὁ μὲν Θεόδοτος τετελεύτηκεν, ὥςτε οὐκ ἂν ἐκεῖνός γε αὐτοῦ καταδεηθείη —, καὶ Πάραλος ὅδε ὁ Δημοδόκου, οὗ ἦν Θεάγης ἀδελφός· ὅδε δὲ
Ἀδείμαντος ὁ Ἀρίστωνος, οὗ ἀδελφὸς οὑτοσὶ Πλάτων, 34
καὶ Αἰαντόδωρος, οὗ Ἀπολλόδωρος ὅδε ἀδελφός. καὶ ἄλλους πολλοὺς ἐγὼ ἔχω ὑμῖν εἰπεῖν, ὧν τινα ἐχρῆν μάλιστα μὲν ἐν τῷ ἑαυτοῦ λόγῳ παρασχέσθαι Μέλητον μάρ-

2 *Κρίτων*. Ὁ οἰκειότατα τῷ Σωκ. διακείμενος καί, ὡς εὔπορος, λίαν πιθανῶς καὶ διὰ χρημάτων βοηθῶν αὐτῷ ἐν ἀνάγκῃ. Κατωτέρω παρέχει ἑαυτὸν συνεγγυητὴν διὰ 30 μνᾶς. Ἐν τῷ φερωνύμῳ διαλόγῳ προτείνει τῷ Σωκ. νὰ φύγῃ ἀναδεχόμενος αὐτὸς τὴν φροντίδα καὶ τὰς δαπάνας. Ἐν τῷ Φαίδωνι παρίσταται περιέπων τὸν Σωκ. καὶ δεχόμενος τὰς τελευταίας του παραγγελίας, καὶ μετὰ τὴν ἐκπνοὴν συγκλείει αὐτοῦ τὸ στόμα καὶ τοὺς ὀφθαλμούς.

Ὁ υἱός του Κριτόβουλος ἦτο ὁ οἰκειότατος τῶν μαθητῶν τοῦ Σωκ Πολλοὺς διαλόγους πρὸς αὐτὸν ἀναγράφει ὁ Ξεν. ἔν τε τοῖς Ἀπ. καὶ ἐν τῷ Οἰκ.

Αἰσχίνης· ὀνομαστὸς μαθητὴς τοῦ Σωκ. γνωστὸς ὑπὸ τὸ ὄνομα ὁ Σωκρατικός, πρὸς διαστολὴν ἀπὸ τοῦ ὁμωνύμου ῥήτορος.

Τῶν λοιπῶν ὀνομαστὸς ἦν ὁ Θεάγης, οὗ μνημονεύει Πλ. ἐν τῇ Πολιτείᾳ (496 b.). Τούτου τὸ ὄνομα φέρει ὁ νόθος Πλατωνικὸς διάλογος. Ἔπειτα ὁ Ἀπολλόδωρος, ὁ ἐνθουσιωδέστατος τῶν μαθητῶν τοῦ Σωκ. καὶ διὰ τοῦτο μανικὸς ἐπικαλούμενος· ὁ τὸ Συμπόσιον διηγούμενος ἑταίροις τισίν, ὁ κατὰ τὸν θάνατον κλαίων καὶ ἀγανακτῶν ἐλεεινότατα. Τέλος δὲ ὁ Πλάτων καὶ ὁ ἀδελφὸς αὐτοῦ Ἀδείμαντος, περὶ ὧν ἔπιθι Γεν. Εἰσαγωγήν.

2 *ἐμὸς ἡλικιώτης καὶ δημότης*· οὐχὶ συνηλ. καὶ συνδημ. Ὁμοίως ἐμὸς πολίτης, ἐμὸς πατριώτης, ἐμὸς κωμήτης, ἐμὸς φυλέτης.

5 *ἄλλοι τοίνυν*. Ἀφ' οὗ κατέλεξε μαθητάς, ὧν οἱ πατέρες ἦσαν παρόντες, μεταβαίνει εἰς ἄλλους, ὧν παρῆσαν οἱ ἀδελφοὶ οἱ πρεσβύτεροι. Ὁ *τοίνυν* μεταβατικός.

8 *ὥστε οὐκ ἂν ἐκεῖνος* κ.τ.λ. Ἐνεδέχετο δηλ. κατὰ τοῦ ἐπιχειρήματος τοῦ Σωκ. νὰ ἐπιφέρῃ τις τὴν ἔνστασιν, ὅτι δὲν προσέρχονται κατήγοροι οἱ πρεσβύτεροι ἀδελφοί, ἱκετευόμενοι ὑπὸ τῶν νεωτέρων τῶν διεφθαρμένων ὑπὸ Σωκ. Ἀλλ' ὁ Θεόδοτος, λέγει, ἀπέθανεν, ὥςτε δὲν ἱκέτευσε τὸν ἀδελφόν του νὰ μὴ τὸν κατηγορήσῃ.

13 *ἐν τῷ ἑαυτοῦ λόγῳ*. Τὸ αὐτὸ ὅπερ ἄλλοι ῥήτορες ἔλεγον *ἐν τῷ ἑαυτοῦ ὕδατι*· διότι ὁ χρόνος τῆς διαρκείας ἑκάστου λόγου ἐμετρεῖτο διὰ κλεψύδρας. Ὅρ. εἰσαγ. σελ. 242.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τυρα· εἰ δὲ τότε ἐπελάθετο, νῦν παρασχέσθω, ἐγὼ παραχωρῶ, καὶ λεγέτω, εἴ τι ἔχει τοιοῦτον. ἀλλὰ τούτου πᾶν τοὐναντίον εὑρήσετε, ὦ ἄνδρες, πάντας ἐμοὶ βοηθεῖν ἑτοίμους τῷ διαφθείροντι, τῷ κακὰ ἐργαζομένῳ τοὺς οἰκείους αὐτῶν, ὥς φασι Μέλητος καὶ Ἄνυτος. αὐτοὶ μὲν γὰρ οἱ διεφθαρμένοι B τάχ' ἂν λόγον ἔχοιεν βοηθοῦντες· οἱ δὲ ἀδιάφθαρτοι, πρεσβύτεροι ἤδη ἄνδρες, οἱ τούτων προσήκοντες, τίνα ἄλλον ἔχουσι λόγον βοηθοῦντες ἐμοὶ ἀλλ' ἢ τὸν ὀρθόν τε καὶ δίκαιον, ὅτι ξυνίσασι Μελήτῳ μὲν ψευδομένῳ, ἐμοὶ δὲ ἀληθεύοντι;

ΚΓ'. Εἶεν δή, ὦ ἄνδρες· ἃ μὲν ἐγὼ ἔχοιμ' ἂν ἀπολογεῖσθαι, σχεδόν ἐστι ταῦτα καὶ ἄλλα ἴσως τοιαῦτα. τάχα δ' ἄν τις ὑμῶν ἀγανακτήσειεν ἀναμνησθεὶς ἑαυτοῦ, εἰ ὁ C μὲν καὶ ἐλάττω τουτουὶ [τοῦ ἀγῶνος] ἀγῶνα ἀγωνιζόμενος ἐδεήθη τε καὶ ἱκέτευσε τοὺς δικαστὰς μετὰ πολλῶν δακρύων, παιδία τε αὑτοῦ ἀναβιβασάμενος, ἵνα ὅτι μάλιστα ἐλεηθείη, καὶ ἄλλους τῶν οἰκείων καὶ φίλων πολλούς, ἐγὼ δὲ οὐδὲν ἄρα τούτων ποιήσω; καὶ ταῦτα κινδυνεύων, ὡς ἂν δόξαιμι, τὸν ἔσχατον κίνδυνον; τάχ' οὖν τις ταῦτα ἐννοήσας αὐθαδέστερον ἂν πρός με σχοίη, καὶ ὀργισθεὶς

1 *ἐγὼ παραχωρῶ*· δηλ. νὰ καλέσῃ μάρτυρας ἐν τῷ ἐμῷ ὕδατι.

3 *ἐμοὶ βοηθεῖν ἑτοίμους* = ὑπεραμύνεσθαι ἐμοῦ, μαρτυρεῖν ὑπὲρ ἐμοῦ.

12 *καὶ ἄλλα ἴσως τοιαῦτα* = καὶ ἄλλα τοῦ αὐτοῦ εἴδους· λόγους ἀποδεικνύοντας τὴν ἀλήθειαν, οὐχὶ δεήσεις καὶ ἱκεσίας καὶ ἐλεεινὰ δράματα.

15 *ἐδεήθη τε καὶ ἱκέτευσε*. Ἐδεήθη μὲν διὰ λόγων· ἱκέτευσε δὲ ὡς ἱκέτης δι' ὁρατῶν σχημάτων κινούντων τὸν ἔλεον. Συμπ. 183 a· «ἱκετείας τε καὶ ἀντιβολήσεις ἐν ταῖς δεήσεσι ποιούμενοι». Νόμ. 994 b· «μήτε ἱκετείαις χρώμενον ἀσχήμοσι».

16 *παιδία τε αὑτοῦ ἀναβιβασάμενος*. Περὶ τοῦ ἔθους ὅρα εἰσαγ. σ. 241. Περὶ τοῦ μέσου ἀναβιβάζεσθαι ὅρ. 18 d. Παιδία· δηλ. ἀνήλικα, ἅτινα ἦσαν ἐλεεινότερα, ἂν ἔχανον τὸν πατέρα των.

20 *ἐννοήσας* = ἐν νῷ θέμενος ὅπως καὶ τὸ ἐνθυμηθείς. Γοργ. 458 b· «ἴσως μέντοι χρῆν ἐννοεῖν καὶ τὸ τῶν παρόντων». 481 d· «λέγω δ' ἐννοήσας ὅτι» κ. τ. λ..

*αὐθαδέστερον*· ἢ δικαιότερον. Αὐθαδῶς ἔχω πρός τινα = διάκειμαι πρός τινα δυσμενῶς μεθ' ὑπερηφανίας, ὡς προσβεβλημένος ὑπ' αὐτοῦ εἰς τὸ φιλότιμον.

*ὀργισθεὶς αὐτοῖς τούτοις*· = ἐπὶ τῇ ἐννοήσει τούτων.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτοῖς τούτοις θεῖτο ἂν μετ᾽ ὀργῆς τὴν ψῆφον. εἰ δή τις ὑμῶν οὕτως ἔχει, — οὐκ ἀξιῶ μὲν γὰρ ἔγωγε — εἰ δ' οὖν, D ἐπιεικῆ ἄν μοι δοκῶ πρὸς τοῦτον λέγειν, λέγων ὅτι ἐμοί, ὦ ἄριστε, εἰσὶν μέν πού τινες καὶ οἰκεῖοι· καὶ γὰρ τοῦτο αὐτὸ τὸ τοῦ Ὁμήρου, οὐδ' ἐγὼ ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης πέφυκα, ἀλλ' ἐξ ἀνθρώπων, ὥςτε καὶ οἰκεῖοί μοί εἰσι καὶ υἱεῖς γε, ὦ ἄνδρες Ἀθηναῖοι, τρεῖς, εἷς μὲν μειράκιον ἤδη, δύο δὲ παιδία· ἀλλ' ὅμως οὐδένα αὐτῶν δεῦρο ἀναβιβασάμενος δεήσομαι ὑμῶν ἀποψηφίσασθαι. τί δὴ οὖν οὐδὲν τούτων ποιήσω; οὐκ αὐθαδιζόμενος, ὦ Ἀθηναῖοι, οὐδ' ὑμᾶς ἀτιμάζων, ἀλλ' εἰ μὲν θαρραλέως ἐγὼ ἔχω πρὸς θά- E νατον ἢ μή, ἄλλος λόγος, πρὸς δ' οὖν δόξαν καὶ ἐμοὶ καὶ ὑμῖν καὶ ὅλῃ τῇ πόλει οὔ μοι δοκεῖ καλὸν εἶναι ἐμὲ τούτων οὐδὲν ποιεῖν καὶ τηλικόνδε ὄντα καὶ τοῦτο τοὔνομα ἔχοντα, εἴτ' οὖν ἀληθὲς εἴτ' οὖν ψεῦδος· ἀλλ' οὖν δεδογμένον γέ ἐστί τῳ Σωκράτη διαφέρειν τῶν πολλῶν ἀνθρώπων. εἰ οὖν 35 ὑμῶν οἱ δοκοῦντες διαφέρειν εἴτε σοφίᾳ εἴτε ἀνδρείᾳ εἴτε ἄλλῃ ἡτινιοῦν ἀρετῇ τοιοῦτοι ἔσονται, αἰσχρὸν ἂν εἴη·

1 *μετ' ὀργῆς* = παραφόρως καὶ ἀλογίστως τοῦ δικαίου.

2 *οὐκ ἀξιῶ μὲν γὰρ ἔγωγε*· οὐκ ἀξιῶ εἶναι τινὰ τοιοῦτον· οὐδένα ὑμῶν κρίνω ἄξιον τοιαύτης διαθέσεως, δὲν πιστεύω ὅτι εἶνέ τις τοιοῦτος.

*εἰ δ᾽ οὖν*. Περὶ τοῦ *οὖν* τούτου ὅρα ἔμπροσθεν σελ. 17 a.

4 *τινὲς καὶ οἰκεῖοι*. Ὑπερβατόν· ἡ προσήκουσα θέσις τοῦ *καὶ* εἶνε πρὸ τοῦ ἐμοί· *καὶ ἐμοί*.

5 *τὸ τοῦ Ὁμήρου*. Προσνοητέον «συμβαίνει μοι» Ὀδυσ. Τ. 163 «οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου οὐδ' ἀπὸ πέτρης».

6 *καὶ υἱεῖς γε — τρεῖς*. Ὁ *γε* ἐξαίρει τὸ υἱεῖς. Οἱ τρεῖς υἱοὶ τοῦ Σωκ. ἦσαν Λαμπροκλῆς (περὶ οὗ ἔπιθι Ξνφ. Ἀπομν. Β', β' 1), Σωφρονίσκος καὶ Μενέξενος. (Ἔπιθι καὶ Φαίδ. 65).

10 *οὐκ αὐθαδιζόμενος* κ.τ.λ. Αἴτιον τοῦ αὐθαδίζεσθαι καὶ ἀτιμάζειν τοὺς δικαστὰς δὲν ἠδύνατο νὰ εἶνε ἄλλο κατὰ τὴν κοινὴν κρίσιν, ἢ ἡ ἀφοβία τοῦ θανάτου· ὅςτις ἐπῆρε τὴν ἀπόφασίν του, δὲν τὸν μέλει πλέον ἂν θὰ εὐαρεστήσῃ ἢ θὰ δυσαρεστήσῃ τοὺς δικαστὰς δι' ὧν λέγει. Καὶ ἐπειδὴ ἀνωτέρω (32 d) εἶπεν ὅτι δὲν λογαριάζει τὸν θάνατον, εὐλόγως οἱ δικασταὶ θὰ ὑπενόουν ὅτι διὰ τοῦτο αὐθαδίζεται καὶ ἀτιμάζει αὐτούς. Ταύτην λοιπὸν τὴν ὑπόνοιαν ζητεῖ νὰ ἐκβάλῃ, καὶ διὰ τοῦτο ἐπιφέρει τὸ «ἂν φοβοῦμαι ἢ ὄχι τὸν θάνατον, τοῦτο δὲν ἔχει τίποτε νὰ κάμῃ ἐδῶ, τοῦτο δὲν κανονίζει τὴν διαγωγήν μου, ἀλλὰ φέρομαι οὕτω χάριν τῆς ἐμῆς καὶ τῆς τῆς πόλεως δόξης.

14 *τοῦτο τοὔνομα ἔχοντα*· σοφὸς δηλ.

15 *εἴτ' οὖν ἀληθές, εἴτ' οὖν ψεῦδος*.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οἵουςπερ ἐγὼ πολλάκις ἑώρακά τινας, ὅταν κρίνωνται, δοκοῦντας μέν τι εἶναι, θαυμάσια δὲ ἐργαζομένους, ὡς δεινόν τι οἰομένους πείσεσθαι, εἰ ἀποθανοῦνται, ὥςπερ ἀθανάτων ἐσομένων, ἂν ὑμεῖς αὐτοὺς μὴ ἀποκτείνητε· οἳ ἐμοὶ δοκοῦσιν αἰσχύνην τῇ πόλει περιάπτειν, ὥςτ' ἄν τινα καὶ τῶν ξένων ὑπολαβεῖν, ὅτι οἱ διαφέροντες Ἀθηναίων εἰς ἀρετήν, οὓς αὐτοὶ ἑαυτῶν ἔν τε ταῖς ἀρχαῖς καὶ ταῖς ἄλλαις B τιμαῖς προκρίνουσιν, οὗτοι γυναικῶν οὐδὲν διαφέρουσι. ταῦτα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, οὔτε ἡμᾶς χρὴ ποιεῖν τοὺς δοκοῦντας καὶ ὁπῃτιοῦν εἶναι, οὔτ', ἂν ἡμεῖς ποιῶμεν, ὑμᾶς ἐπιτρέπειν, ἀλλὰ τοῦτο αὐτὸ ἐνδείκνυσθαι, ὅτι πολὺ

*ἀλλ' οὖν* κ.τ.λ. Περὶ τοῦ *οὖν* ὅρα ἔμπροσθεν σ. 17 a.

1 *οἵουςπερ*. Ἀναφέρεται εἰς τὸ τοιοῦτοι, ἂν καὶ παρενεβλήθη ἡ κυρία πρότασις *αἰσχρὸν ἂν εἴη*. Κατ' ἀρχὰς διενοεῖτο νὰ καταπαύσῃ τὸν λόγον μετὰ τὸ *αἰσχρὸν ἂν εἴη*, νομίζων τὸ *τοιοῦτον* ἱκανῶς σαφές· ἔπειτα δὲ ἐνεθυμήθη νὰ τὸ καταστήσῃ σαφέστερον διὰ παραδειγμάτων, καὶ ἐπήνεγκε τὸ *οἵουςπερ*.

*ὅταν κρίνωνται*. Προσδιορίζει χρονικῶς μόνον τὸ *θαυμάσια ἐργαζομένους*, οὐχὶ καὶ τὸ *δοκοῦντάς τι εἶναι*.

4 *οἳ ἐμοὶ δοκοῦσιν*. Πολλάκις ἐν ἀρχῇ νέας κυρίας προτάσεως τίθεται ἡ ἀναφ. ἀντων. ἀντὶ δεικτ. ὡς καταλ. συνδέσμου· (οὗτοι δέ). Θουκ Α' 42· «Ὧν ἐνθυμηθέντες» (= Τούτων ουν ἐνθυμηθέντες). Ἐπιθ. πρκβλ. εἰς σελ. 17 c.

5 *ὥςτ' ἄν τινα καὶ τῶν ξένων ὑπολαβεῖν*. Τὸ ἀπαρέμφ. ἵνα δηλώσῃ τὸν βαθμὸν τῆς αἰσχύνης.

6 *οἱ διαφέροντες Ἀθηναίων εἰς ἀρετὴν — οὗτοι γυναικῶν οὐδὲν διαφέρουσι*. Πῶς εἶνε ὀρθὴ ἡ ἀπόφανσις αὕτη «ὁ διαφέρων εἰς ἀρετήν, οὗτος οὐδὲν διαφέρει γυναικός;» Καθ' ἑαυτὴν μὲν βεβαίως δὲν εἶνε ὀρθή, λαμβάνει δὲ ὀρθότητα προστιθεμένου τοῦ «οὓς αὐτοὶ ἑαυτῶν — προκρίνουσι». Τὸ προκρίνειν αὐτοὺς εἶνε τεκμήριον τοῦ ὑπολαμβάνειν αὐτοὺς ἀγαθούς. Οἱ ξένοι λοιπὸν θὰ ἀποφανθῶσιν ὅτι, οἱ κατὰ τὴν κρίσιν καὶ τὴν ὑπόληψιν τῶν Ἀθηναίων διαφέροντες εἰς ἀρετὴν Ἀθηναῖοι, οὗτοι *κατ' ἀλήθειαν* καὶ ἀμερόληπτον κρίσιν δὲν διαφέρουσι γυναικῶν. Πρβλ. Μέν. 90 b· «ἔπειτα τοῦτον (τὸν Ἄνυτον) εὖ ἔθρεψε καὶ ἐπαίδευσεν, ὡς δοκεῖ Ἀθηναίων τῷ πλήθει· αἱροῦνται γοῦν αὐτὸν ἐπὶ τὰς μεγίστας ἀρχάς». Οὐδεμία ἀμφιβολία ὅτι ταῦτα λέγων εἶχεν ἐν νῷ μετ' ἄλλων καὶ τὸν μέγαν Περικλέα, ὅςτις «Ἀσπασίαν (φεύγουσαν δίκην ἀσεβείας) ἐξῃτήσατο, πολλὰ πάνυ παρὰ τὴν δίκην ἀφεὶς ὑπὲρ αὐτῆς δάκρυα καὶ δεηθεὶς τῶν δικαστῶν» Πλούτρχ. Β. Περικ. ΛΒ'.

11 *ἐπιτρέπειν*. Ἐνταῦθα μὲν ὡς καὶ ἡμεῖς = συγχωρεῖν, ἀνέχεσθαι. Συχνότερον δὲ ἐπιτρέπειν τινί τι = ἀνατιθέναι, παραδιδόναι, ἐμπιστεύεσθαί τινί τι. Λάχ. 200 d· «κἂν ἐγὼ τὸν Νικήρατον τούτῳ (Σωκράτει) ἥδιστ' ἐπιτρέποιμι». Ὡς σύνδεσμος τῶν δύο ἐννοιῶν ἔστω τὸ χωρίον τόδε Λύσ. 208 a· «μισθωτῷ μᾶλλον ἐπιτρέπουσιν ἢ σοὶ ποιεῖν ὅ τι ἂν βούληται περὶ τοὺς ἵππους»· ἐνταῦθα καὶ *συγχωροῦσι* καὶ *ἐμπιστεύονται* ἔχει ὀρθῶς λαβανόμενον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μᾶλλον καταψηφιεῖσθε τοῦ τὰ ἐλεεινὰ ταῦτα δράματα εἰσάγοντος καὶ καταγέλαστον τὴν πόλιν ποιοῦντος. [ἢ τοῦ ἡσυχίαν ἄγοντος.]

ΚΔ΄. Χωρὶς δὲ τῆς δόξης, ὦ ἄνδρες, οὐδὲ δίκαιόν μοι δοκεῖ εἶναι δεῖσθαι τοῦ δικαστοῦ οὐδὲ δεόμενον ἀποφεύγειν, C
ἀλλὰ διδάσκειν καὶ πείθειν. οὐ γὰρ ἐπὶ τούτῳ κάθηται ὁ δικαστής, ἐπὶ τῷ καταχαρίζεσθαι τὰ δίκαια, ἀλλ' ἐπὶ τῷ κρίνειν ταῦτα· καὶ ὀμώμοκεν οὐ χαριεῖσθαι οἷς ἂν δοκῇ αὐτῷ, ἀλλὰ δικάσειν κατὰ τοὺς νόμους. οὔκουν χρὴ οὔτε ἡμᾶς ἐθίζειν ὑμᾶς ἐπιορκεῖν οὔθ' ὑμᾶς ἐθίζεσθαι· οὐδέτεροι γὰρ ἂν ἡμῶν εὐσεβοῖεν. Μὴ οὖν ἀξιοῦτέ με, ὦ ἄνδρες Ἀθηναῖοι, τοιαῦτα δεῖν πρὸς ὑμᾶς πράττειν, ἃ μήτε ἡγοῦμαι καλὰ εἶναι μήτε δίκαια μήτε ὅσια, ἄλλως τε D
πάντως νὴ Δία, καὶ ἀσεβείας φεύγοντα ὑπὸ Μελήτου τουτουί. σαφῶς γὰρ ἄν, εἰ πείθοιμι ὑμᾶς καὶ τῷ δεῖσθαι βιαζοίμην ὀμωμοκότας, θεοὺς ἂν διδάσκοιμι μὴ ἡγεῖσθαι ὑμᾶς εἶναι, καὶ ἀτεχνῶς ἀπολογούμενος κατηγοροίην ἂν ἐμαυτοῦ, ὡς θεοὺς οὐ νομίζω. ἀλλὰ πολλοῦ δεῖ οὕτως ἔχειν· νομίζω τε γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς οὐδεὶς τῶν

6 *οὐ γὰρ ἐπὶ τούτῳ κάθηται ὁ δικαστής*. Τὸ κάθηται περὶ τοῦ ἐν τῇ ἕδρᾳ του καθημένου καὶ δικάζοντος = χρηματίζει, ἐπιτελεῖ τὰ καθήκοντά του.

7 *ἐπὶ τῷ καταχαρίζεσθαι τὰ δίκαια* = πρὸς χάριν ἀπονέμειν τὰ δίκαια· καταπατεῖν τὰ δίκαια.

12 *ἃ μήτε ἡγοῦμαι καλὰ εἶναι, μήτε δίκαια μήτε ὅσια*. Τὸ ἱκετεύειν καὶ εἰσάγειν ἐλεεινὰ δράματα ἀπέδειξε, πρῶτον μὲν ὅτι δὲν εἶνε καλὸν (πρὸς δ' οὖν δόξαν... ἢ τοῦ ἡσυχίαν ἄγοντος)· δεύτερον δέ, ὅτι δὲν εἶνε δίκαιον (χωρὶς δὲ τῆς δόξης.. ἐπὶ τῷ κρίνειν ταῦτα)· τρίτον δέ, ὅτι οὐδ' ὅσιον εἶνε (καὶ ὀμώμοκεν... εὐσεβοῖεν). Ἐνταῦθα συνάγει εἰς σύνοψιν τὰ τρία αἴτια δι' ἃ δὲν θὰ καταφύγῃ εἰς τοιαῦτα μέσα.

13 *ἄλλως τε καὶ ἀσεβείας φεύγοντα*. Τῶν τριῶν αἰτίων ἐξαίρει τὸ ὅσιον, ἀφοῦ καὶ ἡ δίκη περὶ θρησκευτικῶν γίνεται.

15 *σαφῶς γὰρ ἂν — ὡς θεοὺς οὐ νομίζω*. Εἶνε τὸ ἰσχυρότατον τῶν ἐπιχειρημάτων του. Πῶς εἶνε δυνατὸν νὰ κριθῇ ἀσεβὴς ἐκεῖνος ὅστις οὔτε αὐτὸς στέργει νὰ εἴπῃ ἢ νὰ πράξῃ τι ἀνόητον, οὔτε τοὺς δικαστάς του νὰ ἐμβάλῃ εἰς πειρασμὸν ἀνοσιουργίας, καὶ ταῦτα κινδυνεύων περὶ τῆς ζωῆς; Καὶ εἰκότως ἐπεφύλαξεν αὐτῷ ὁ Σωκ. εἰς τὸ τέλος τῆς ἀπολογίας του.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐμῶν κατηγόρων, καὶ ὑμῖν ἐπιτρέπω καὶ τῷ θεῷ κρῖναι περὶ ἐμοῦ ὅπῃ μέλλει ἐμοί τε ἄριστα εἶναι καὶ ὑμῖν.

---

ΚΕ΄. Τὸ μὲν μὴ ἀγανακτεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ E
τούτῳ τῷ γεγονότι, ὅτι μου κατεψηφίσασθε, ἄλλα τέ μοι 36
πολλὰ ξυμβάλλεται, καὶ οὐκ ἀνέλπιστόν μοι γέγονε τὸ γεγονὸς τοῦτο, ἀλλὰ πολὺ μᾶλλον θαυμάζω ἑκατέρων τῶν ψήφων τὸν γεγονότα ἀριθμόν. οὐ γὰρ ᾤόμην ἔγωγε οὕτω παρ᾽ ὀλίγον ἔσεσθαι, ἀλλὰ παρὰ πολύ· νῦν δέ, ὡς ἔοικεν, εἰ τριάκοντα μόναι μετέπεσον τῶν ψήφων, ἀποπεφεύγη ἄν. Μέλητον μὲν οὖν, ὡς ἐμοὶ δοκῶ, καὶ νῦν ἀποπέφευγα, καὶ οὐ μόνον ἀποπέφευγα, ἀλλὰ παντὶ δῆλον τοῦτό γε, ὅτι, εἰ μὴ ἀνέβη Ἄνυτος καὶ Λύκων κατηγορήσοντες ἐμοῦ, κἂν ὦφλε χιλίας δραχμάς, οὐ μεταλαβὼν τὸ πέμπτον μέ- B
ρος τῶν ψήφων.

1 *καὶ ὑμῖν ἐπιτρέπω καὶ τῷ θεῷ κρῖναι περὶ ἐμοῦ κ.τ.λ.* Τὸ ἐπιτρέπω ἐνταῦθα = ἀναθέτω. Διὰ τοῦ *ὑμῖν* ὁμολογεῖ τὴν ὑποταγήν του ὑπὸ τοὺς νόμους τῆς πόλεως καὶ ὑπὸ τὴν ἀπόφασιν τῶν νομίμων αὐτῆς δικαστῶν· διὰ τοῦ *τῷ θεῷ*, οὐ μόνον τὴν ὑποταγήν του ἀλλὰ καὶ τὴν πεποίθησίν του ὅτι ὁ θεὸς θὰ κρίνῃ περὶ αὐτοῦ ὅ τι μέλλει ἔσεσθαι ἄριστον καὶ αὐτῷ καὶ τῇ πόλει. Ἐπιρρίπτει ἐπὶ Κύριον τὴν μέριμνάν του, πεποιθὼς ὅτι οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ, κατὰ τὴν Ἁγ. Γραφήν.

*Μετὰ τὴν καταψήφισιν.*

3 *Τὸ μὲν μὴ ἀγανακτεῖν.* Τὸ μὴ ἀγ. εἶνε ἀσύντακτον (Πρβλ. τὰ ἔμπροσθεν σ. 27 e σεσημειωμένα).

5 *οὐκ ἀνέλπιστον.* Τὸ ἐλπίζειν οὐ μόνον ἐπὶ προσδοκίας ἀγαθοῦ, ὡς παρ᾽ ἡμῖν, ἀλλὰ καὶ κακοῦ καὶ ἐν γένει παντὸς ἀξίου φροντίδος. Θουκ. Α΄, 1· «ἐλπίσας μέγαν τε ἔσεσθαι καὶ ἀξιολογώτατον» (τὸν πόλεμον).

7 *τὸν γεγονότα ἀριθμὸν* = τὸ ἄθροισμα,

*οὐ γὰρ ᾤόμην — ἔσεσθαι.* Νόει ὑποκ. *τὴν καταψήφισιν· οὐ παρ᾽ ὀλίγον ἀλλὰ παρὰ πολύ·* ἡ *παρὰ* παραβολὴν καὶ διαφοράν· «αἱ καταδικάζουσαι ψῆφοι, παραβαλλόμεναι παρὰ τὰς ἀπολυούσας, δὲν θὰ ἦσαν ὀλίγαι, ἀλλὰ πολλαί». Θουκ. Α΄, 29· «καὶ ἐνίκησαν οἱ Κερκυραῖοι παρὰ πολύ» = οὕτως ὥστε ἡ ἐπικράτησις, ἡ ὑπεροχὴ τῶν νικητῶν νὰ εἶνε μεγάλη καὶ ἀναμφίλεκτος. Ἡμεῖς διεσώσαμεν τὸ *παρ᾽ ὀλίγον* σχεδὸν μὲ τὴν αὐτὴν σημασίαν, οὐχὶ δὲ καὶ τὸ *παρὰ πολύ·* διότι τὸ ἡμέτερον *πάρα πολὺ* δὲν εἶνε τὸ αὐτὸ καὶ τὸ τῶν ἀρχαίων.

9 *μετέπεσον·* ἀπὸ καταδικαστικῶν ἐδίδοντο ἀθῳωτικαί. Τὸ ῥῆμα ἥρμοζε μᾶλλον εἰς τοὺς χρόνους, καθ᾽ οὓς ἦσαν ἐν χρήσει δύο κάδοι, ὁ μὲν ἀθῳωτικὸς ὁ δὲ καταδικαστικός, αἱ δὲ ψῆφοι πᾶσαι ἦσαν ἀπαράλλακτοι. Παρέμεινε δὲ καὶ ὅτε ὁ μὲν δεχόμενος τὰς ψήφους κύριος κάδος ἦτο εἷς, διέφερον δὲ αἱ ψῆφοι. (Ὅρ. εἰσαγ. σ. 244).

13 *κἂν ὦφλε χιλίας δραχμάς.* Περὶ τῆς ποινῆς ταύτης ὅρ. εἰσαγ. σελ. 244.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΚϚʹ. Τιμᾶται δ' οὖν μοι ὁ ἀνὴρ θανάτου. εἶεν· ἐγὼ δὲ δὴ τίνος ὑμῖν ἀντιτιμήσομαι, ὦ ἄνδρες Ἀθηναῖοι; ἢ δῆλον ὅτι τῆς ἀξίας; τί οὖν; τί ἄξιός εἰμι παθεῖν ἢ ἀποτῖσαι, ὅ τι μαθὼν ἐν τῷ βίῳ οὐχ ἡσυχίαν ἦγον, ἀλλ' ἀμελήσας ὧνπερ οἱ πολλοί, χρηματισμοῦ τε καὶ οἰκονομίας καὶ στρατηγιῶν καὶ δημηγοριῶν καὶ τῶν ἄλλων ἀρχῶν καὶ ξυνωμοσιῶν καὶ στάσεων τῶν ἐν τῇ πόλει γιγνομένων, ἡγησάμενος ἐμαυτὸν τῷ ὄντι ἐπιεικέστερον εἶναι ἢ ὥςτε εἰς ταῦτ' ἰόντα σώζεσθαι, ἐνταῦθα μὲν οὐκ ᾖα, οἷ ἐλθὼν C μήτε ὑμῖν μήτε ἐμαυτῷ ἔμελλον μηδὲν ὄφελος εἶναι, ἐπὶ δὲ τὸ ἰδίᾳ ἕκαστον [ἰὼν] εὐεργετεῖν τὴν μεγίστην εὐεργεσίαν, ὡς ἐγώ φημι, ἐνταῦθα ᾖα, ἐπιχειρῶν ἕκαστον ὑμῶν

Ὁ Σωκ. ἀποφαίνεται ταῦτα λογιζόμενος ὧδε· Πᾶσαι αἱ καταδικ. ψῆφοι ἦσαν 280· ἕκαστος τῶν τριῶν κατηγόρων του ἔλαβεν ὑπὲρ ἑαυτοῦ, (ἤ, πρὸς χάριν ἑκάστου ἐδόθη), τὸ τριτημόριον τῶν ψήφων τούτων, δηλ. 93 ψῆφοι περίπου· αὗται δέ εἰσιν ἔλαττον τοῦ πεμπτημορίου τῶν (500) δικαστῶν. Ἄρα ὁ Μέλητος, ἂν ἦτο μόνος κατήγορος, μὴ λαμβάνων τὸ πεμπτημόριον τῶν ψήφων θὰ κατεδικάζετο κατὰ τὸν νόμον εἰς πρόστιμον 1000 δραχ. Δῆλον ὅτι δὲν σπουδαιολογεῖ, ἀλλὰ κατειρωνεύεται τοῦ Μελήτου.

1 *ὁ ἀνήρ*· μετ' εἰρωνείας· τὸ παλληκάρι. Πρβλ. σ. 24 b· «Μέλητον τὸν ἀγαθόν τε καὶ φιλόπολιν».

4 *ὅ τι μαθών*. Τὸ πλῆρες θὰ ἦτο «ὅτι τί μαθὼν» ὥςτε τὸ *ὅτι* νὰ εἶνε ὁ αἰτιολ. σύνδεσμος τῶν δύο προτ. τὸ δὲ *τί* τὸ ἀντικ. τοῦ *μαθών*. Ἀλλ' ὁ Πλ. ἐν τοιαύταις συμπλοκαῖς συνήθως παραλείπει τὸ *τί*. Εὐθύδ. 283 e· «εἶπον ἄν, σοὶ εἰς κεφαλήν, ὅ τι μαθὼν ἐμοῦ καταψεύδει». Αὐτ. 299 a· «πολὺ δικαιότερον τὸν ὑμέτερον πατέρα τύπτοιμι, ὅ τι μαθὼν σοφοὺς οὕτως υἱεῖς ἔφυσε».

7 *καὶ ξυνωμοσιῶν*. Λέγει τὰς πολιτ. ἑταιρείας, τὰ κόμματα.

8 *ἐπιεικέστερον* = χρηστότερον, βελτίονα ἢ ὥςτε νὰ ζητῶ σωτηρίαν ἐν τοιούτοις ἐπιτηδεύμασιν (ἐν οἰκονομίαις, στρατηγίαις, δημηγορίαις κ.τ.λ.). Ἐνταῦθα φαίνεται ὡς νὰ ἀντιφάσκῃ ἑαυτῷ ὁ Σωκ. πρὸς ὅσα ἔμπροσθεν εἶπεν (σ. 31 b), ὅτι τὸ ἀναβαίνειν εἰς τὸ πλῆθος καὶ συμβουλεύειν τῇ πόλει, ἐν γένει, τὸ πράττειν τὰ πολιτικά, πρὸ πολλοῦ ἤδη θὰ τὸν εἶχεν ἀγάγει εἰς τὴν ἀπώλειαν· ἐνταῦθα δὲ λέγει ὅτι ἐν τοῖς τοιούτοις ἐπιτηδεύμασιν ἠδύνατο νὰ ζητήσῃ σωτηρίαν, ὅπως οἱ πολλοί. Ἡ ἀντίφασις κεῖται μόνον ἐν τῇ ἐπιφανείᾳ· οὐχὶ ἐν τῷ βάθει· ἐκεῖ μὲν λέγει, ὅτι τοιοῦτος ὤν, ὁποῖος εἶμαι, οὐδενὶ ὑπείκων παρὰ τὸ δίκαιον, ἐναντιούμενος τῷ πλήθει ὑμῶν, ἐν γένει πράττων ἀξίως ἀνδρὸς ἀγαθοῦ, θὰ ἦτο ἀδύνατον νὰ σωθῶ καὶ νὰ διαζήσω τοσαῦτα ἔτη»· ἐνταῦθα δέ, ὅτι ἐπιτηδεύων ταῦτα ἅπερ οἱ πολλοί, καὶ γινόμενος ἄρα τὸ ἦθος καὶ τὴν διάνοιαν τοιοῦτος, ὁποῖοι οἱ πολλοί, θὰ ἠδυνάμην μὲν νὰ εὕρω σωτηρίαν καὶ ἀποφυγὴν τοῦ ἐπικρεμαμένου κινδύνου, ἀλλὰ θὰ ἤμην ἀνωφελὴς καὶ εἰς ὑμᾶς καὶ εἰς ἐμαυτόν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πείθειν μὴ πρότερον μήτε τῶν ἑαυτοῦ μηδενὸς ἐπιμελεῖσθαι, πρὶν ἑαυτοῦ ἐπιμεληθείη, ὅπως ὡς βέλτιστος καὶ φρονιμώτατος ἔσοιτο, μήτε τῶν τῆς πόλεως, πρὶν αὐτῆς τῆς πόλεως, τῶν τε ἄλλων οὕτω κατὰ τὸν αὐτὸν τρόπον ἐπιμελεῖσθαι; τί οὖν εἰμι ἄξιος παθεῖν τοιοῦτος ὤν; ἀγαθόν [D] τι, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ δεῖ γε κατὰ τὴν ἀξίαν τῇ ἀληθείᾳ τιμᾶσθαι· καὶ ταῦτά γε ἀγαθὸν τοιοῦτον, ὅ τι ἂν πρέπῃ ἐμοί· τί οὖν πρέπει ἀνδρὶ πένητι εὐεργέτῃ, δεομένῳ ἄγειν σχολὴν ἐπὶ τῇ ὑμετέρᾳ παρακελεύσει; οὐκ ἔσθ᾽ ὅ τι μᾶλλον, ὦ ἄνδρες Ἀθηναῖοι, πρέπει οὕτως, ὡς τὸν τοιοῦτον ἄνδρα ἐν πρυτανείῳ σιτεῖσθαι, πολύ γε μᾶλλον ἢ εἴ τις ὑμῶν ἵππῳ ἢ ξυνωρίδι ἢ ζεύγει νενίκηκεν Ὀλυμπίασιν. ὁ μὲν γὰρ ὑμᾶς ποιεῖ εὐδαίμονας δοκεῖν εἶναι, ἐγὼ δὲ εἶναι· καὶ ὁ μὲν τροφῆς οὐδὲν δεῖται, ἐγὼ δὲ δέομαι. εἰ οὖν δεῖ [E] με κατὰ τὸ δίκαιον τῆς ἀξίας τιμᾶσθαι, τούτου τιμῶμαι, [37] ἐν πρυτανείῳ σιτήσεως.

1 *μὴ πρότερον — ἐπιμελεῖσθαι.* Ὁ κτήτωρ εἶνε τιμιώτερος τοῦ κτήματος, καὶ αὐτὸς ἕκαστος τιμιώτερος τῶν ἑαυτοῦ (κτημάτων). Πρέπει ἄρα νὰ ἐπιμελῆταί τις πρότερον ἑαυτοῦ ἢ τῶν ἑαυτοῦ.

9 *ἐπὶ τῇ ὑμετέρᾳ παρακελεύσει* = ἵνα οἷός τ᾽ ὦ παρακελεύεσθαι ὑμῖν, προτρέπειν ὑμᾶς ἐπ᾽ ἀρετήν.

*οὐκ ἔσθ᾽ ὅ τι μᾶλλον πρέπει οὕτως, ὡς.* Ἢ ἔπρεπε νὰ εἴπῃ «*οὐκ ἔσθ᾽ ὅ τι μᾶλλον πρέπει, ἤ*», ἢ νὰ εἴπῃ «οὐκ ἔσθ᾽ ὅ τι πρέπει οὕτως, ὡς.» Ἀλλ᾽ ἡ προφορικὴ γλῶσσα ἐπιδέχεται τοιαύτας ἀνωμαλίας καὶ ἀνακολουθίας (Πρβλ. σ 30 b).

11 *ἐν πρυτανείῳ σιτεῖσθαι.* Τὸ πρυτανεῖον ἦν ἡ κοινὴ ἑστία τῆς πόλεως, ὅπως καὶ ἑκάστη οἰκία εἶχε τὴν ἑστίαν της, ὡς τὸ κέντρον τὸ συνδέον καὶ συνάγον τὴν οἰκογένειαν. Ἐν αὐτῷ ἐσιτοῦντο δημοσίᾳ δαπάνῃ οἱ πρέσβεις ξένων πόλεων καὶ ἄλλοι ἐπίσημοι ξένοι ὑπὸ τῆς πόλεως ξενιζόμενοι, ἔτι δὲ οἱ τιμήσαντες καὶ εὐεργετήσαντες τὴν πόλιν. Ἀρχαιότερον συνεσίτουν ἐν τῷ πρυτανείῳ καὶ οἱ πρυτάνεις, ἀλλ᾽ ὕστερον μετηνέχθη τὸ συσσίτιον αὐτῶν ἐν τῇ θόλῳ, ἔνθα καὶ συνεδρίαζον.

12 *ἵππῳ, ἢ ξυνωρίδι, ἢ ζεύγει·* ἵππῳ μὲν = ἑνὶ ἵππῳ, ξυνωρίδι δὲ = ἅρματι συρομένῳ ὑπὸ δύο ἵππων. Αἰσχύλ. ἀποσπ. «ζεῦγος τεθρίππων». Ἄξιον σημειώσεως ὅτι καὶ τὰ τρία παραδείγματά εἰσι νικητῶν, ὧν ἡ νίκη ὀφείλεται εἰς τὴν ἀρετὴν τῶν ἵππων μᾶλλον ἢ ἑαυτῶν, καὶ οἵτινες εὔποροι ὄντες οὐδὲν δέονται σιτήσεως· ἀποφεύγει δὲ νὰ ὑποτιμήσῃ τοὺς ἐν τοῖς γυμνικοῖς ἀγῶσι νικῶντας, ὧν καὶ ἡ ἀρετὴ ἦτο γνησία καὶ ἡ σίτησις, ὡς ἐπὶ τὸ πλεῖστον ἀπόρων ὄντων, δικαία.

13 *ὁ μὲν γὰρ ὑμᾶς κ.τ.λ.* Ἰσοκρ. Περὶ τοῦ ζεύγους 32· «τούς τε ἀθλητὰς ζηλουμένους καὶ τὰς πόλεις ὀνομαστὰς γιγνομένας τὰς τῶν νικώντων».

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΚΕ'. Ἴσως οὖν ὑμῖν καὶ ταυτὶ λέγων παραπλησίως δοκῶ λέγειν ὥςπερ περὶ τοῦ οἴκτου καὶ τῆς ἀντιβολήσεως, ἀπαυθαδιζόμενος· τὸ δὲ οὐκ ἔστιν, ὦ Ἀθηναῖοι, τοιοῦτον, ἀλλὰ τοιόνδε μᾶλλον. πέπεισμαι ἐγὼ ἑκὼν εἶναι μηδένα ἀδικεῖν ἀνθρώπων, ἀλλὰ ὑμᾶς τοῦτο οὐ πείθω· ὀλίγον γὰρ χρόνον ἀλλήλοις διειλέγμεθα· ἐπεί, ὡς ἐγῷμαι, εἰ ἦν ὑμῖν νόμος, ὥςπερ καὶ ἄλλοις ἀνθρώποις, περὶ θανάτου μὴ μίαν ἡμέραν μόνον κρίνειν, ἀλλὰ πολλάς, ἐπείσθητε ἄν· νῦν δ' B
οὐ ῥᾴδιον ἐν χρόνῳ ὀλίγῳ μεγάλας διαβολὰς ἀπολύεσθαι. πεπεισμένος δὴ ἐγὼ μηδένα ἀδικεῖν πολλοῦ δέω ἐμαυτόν γε ἀδικήσειν καὶ κατ' ἐμαυτοῦ ἐρεῖν αὐτός, ὡς ἄξιός εἰμί του κακοῦ καὶ τιμήσεσθαι τοιούτου τινὸς ἐμαυτῷ. τί δείσας; ἢ μὴ πάθω τοῦτο, οὗ Μέλητός μοι τιμᾶται, ὅ φημι οὐκ εἰδέναι οὔτ' εἰ ἀγαθὸν οὔτ' εἰ κακόν ἐστιν; ἀντὶ τούτου δὴ ἕλωμαι ὧν εὖ οἶδ' ὅτι κακῶν ὄντων, τούτου τιμη-

4 *πέπεισμαι ἐγὼ* κ.τ.λ. Φιλοσοφ. δόγμα τοῦ Σωκ. ὅτι οὐδεὶς ἑκὼν ἄδικος καὶ κακός, ἀλλὰ δι' ἄγνοιαν τοῦ ἀγαθοῦ καί, ὅτι ἄρα ἡ ἀρετὴ εἶνε ἐπιστήμη.

*μηδένα ἀδικεῖν*· ὑποκ. ἐγὼ ἀδικεῖν μηδένα.

3 *ὑμᾶς τοῦτο οὐ πείθω*. Τὸ πείθω ἀπαιτεῖ αἰτ. καὶ ἀπαρέμφ. Ἀλλὰ πολλάκις ἀντὶ τοῦ ἀπαρεμφ. τίθεται αἰτ. δεικτ. ἢ ἐπαναληπτ. ἢ ἐρωτημ. ἀντων. οὐδετ. γένους, ἀναπληροῦσα τὸ ἀπαρέμφ. οὐχὶ δὲ αἰτιατ. ὀνόματος.

7 *ὥςπερ καὶ ἄλλοις ἀνθρώποις*· οἷον ἐν Σπάρτῃ. Πλουτάρχ. Ἀποφθ. Λακ. «Ἐρωτῶντός τινος Ἀναξανδρίδαν, διατί τὰς περὶ θανάτου δίκας πλείοσιν ἡμέραις οἱ γέροντες κρίνουσιν, ὅτι, ἔφη, περὶ θανάτου τοῖς διαμαρτάνουσιν οὐκ ἔστι μεταβουλεύσασθαι».

10 *πολλοῦ δέω ἐμαυτὸν ἀδικήσειν καὶ κατ' ἐμαυτοῦ ἐρεῖν*. Ἂν καὶ εἶνε τῶν λεγομένων τελ. ἀπαρεμφ. (τῶν διὰ τοῦ *νὰ* ἀναλυομένων) ὅμως ἐτέθησαν εἰς μέλλοντα χρόνον ἀντὶ ἀορίστου, κατὰ τὸ μέλλω πρὸς ὃ (οὐ μέλλω) συγγενεύει τὸ *πολλοῦ δέω* κατὰ τὴν ἔννοιαν.

12 *τί δείσας; — τούτου τιμησάμενος;* Σύμπλεκε καὶ συμπλήρου ὧδε· «Τί δείσας (ποιήσω ταῦτα;) ἢ δείσας μὴ πάθω τοῦτο, οὗ Μέλητός μοι τιμᾶται, ὅ φημι οὐκ εἰδέναι οὔτ' εἰ ἀγαθὸν οὔτ' εἰ κακόν ἐστιν; ἀντὶ τούτου δὴ ἕλωμαί (τι) ὧν εὖ οἶδα ὅτι κακῶν ὄντων, τούτου τιμησάμενος;» Μόνον τὸ *ὅτι* (εὖ οἶδ' ὅτι) καθιστᾷ ἀνώμαλον τὸν λόγον· διότι παρέλκει· τὸ παρέλαβε δὲ ὁ Σωκ. τρόπον τινὰ ἄκων διὰ τὴν τῆς γλώσσης ἕξιν, διότι συχνότατα καὶ οἷον στερεοτύπως ἐλέγετο τὸ *εὖ οἶδ' ὅτι* παρενθετικῶς. Παραβλεπομένου τοῦ *ὅτι* ὁ λόγος ἔχει ὁμαλῶς. Τὸ ὧν γεν. διαιρετ. τοῦ παραλειπομένου ἀντικ. τοῦ *ἕλωμαι* καθ' ἕλξιν· κανονικῶς θὰ εἶχεν· ἕλωμαί τι τούτων, ἃ εὖ οἶδα κακὰ ὄντα; Τεθέντος τοῦ ὑποκ. *ὧν* κατὰ γεν. συνεφώνησε πρὸς τοῦτο καὶ ἡ μετοχ. καὶ τὸ κατηγορ. *κακῶν ὄντων*· *τούτου τιμησάμενος;* τροπ. μετοχ. τοῦ *ἕλωμαι*· τὸ δὲ *τούτου* εἰς τὸ παραλειπόμενον ἀντικ. τοῦ *ἕλωμαι*.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σάμενος; πότερον δεσμοῦ; καὶ τί με δεῖ ζῆν ἐν δεσμωτη- C ρίῳ, δουλεύοντα τῇ ἀεὶ καθισταμένῃ ἀρχῇ; [τοῖς ἕνδεκα]. ἀλλὰ χρημάτων; καὶ δεδέσθαι, ἕως ἂν ἐκτίσω; ἀλλὰ ταὐτόν μοί ἐστιν, ὅπερ νῦν δὴ ἔλεγον· οὐ γάρ ἔστι μοι χρήματα, ὁπόθεν ἐκτίσω. ἀλλὰ δὴ φυγῆς τιμήσωμαι; ἴσως γὰρ ἄν μοι τούτου τιμήσαιτε. πολλὴ μέντ' ἄν με φιλοψυχία ἔχοι, εἰ οὕτως ἀλόγιστός εἰμι, ὥςτε μὴ δύνασθαι λογίζεσθαι, ὅτι ὑμεῖς μὲν ὄντες πολῖταί μου οὐχ οἷοί τε ἐγένεσθε ἐνεγκεῖν τὰς ἐμὰς διατριβὰς καὶ τοὺς λόγους, ἀλλ' D ὑμῖν βαρύτεραι γεγόνασι καὶ ἐπιφθονώτεραι, ὥςτε ζητεῖτε αὐτῶν νυνὶ ἀπαλλαγῆναι· ἄλλοι δὲ ἄρα αὐτὰς οἴσουσι ῥᾳδίως; πολλοῦ γε δεῖ, ὦ Ἀθηναῖοι. καλὸς οὖν ἄν μοι ὁ βίος εἴη ἐξελθόντι τηλικῷδε ἀνθρώπῳ ἄλλην ἐξ ἄλλης πόλεως ἀμειβομένῳ καὶ ἐξελαυνομένῳ ζῆν. εὖ γὰρ οἶδ' ὅτι, ὅποι ἂν ἔλθω, λέγοντος ἐμοῦ ἀκροάσονται οἱ νέοι ὥςπερ ἐνθάδε. [κἂν μὲν τούτους ἀπελαύνω, οὗτοι ἐμὲ αὐτοὶ ἐξελῶσι, πείθοντες τοὺς πρεσβυτέρους· ἐὰν δὲ μὴ ἀπελαύνω, οἱ E τούτων πατέρες τε καὶ οἰκεῖοι δι' αὐτοὺς τούτους].

ΚΗ'. Ἴσως οὖν ἄν τις εἴποι· «σιγῶν δὲ καὶ ἡσυχίαν ἄγων, ὦ Σώκρατες, οὐχ οἷός τ' ἔσει ἡμῖν ἐξελθὼν ζῆν;»

1 *πότερον δεσμοῦ;* Ὅτε ἔλεγε τὸ *πότερον*, ἐνενόει δύο μόνον ἄλλα παρὰ τὸν θάνατον αἱρετά, ἅτινα ἀμφότερα τῷ ἐφαντάζοντο δεινότερα τοῦ θανάτου. Προβαίνων ἐν τῇ ἀπαριθμήσει, εὗρε τρία τοιαῦτα, δεσμόν, χρηματικὴν ποινήν, φυγήν. Ἐν τούτοις τὸ β', τὸ τῶν χρημάτων, ἀνήγαγεν εἰς τὸ α' τὸ τοῦ δεσμοῦ· διότι μὴ ἔχων νὰ ἐκτίσῃ τὴν χρηματ. ποινὴν θὰ ἐδεσμεύετο κατὰ τὸν νόμον ἰσοβίως, ὥςτε ἦτο τὸ αὐτὸ ὡς νὰ κατεδικάζετο εἰς δεσμόν.

5 *ἴσως γὰρ ἂν μοι τούτου τιμήσαιτε*· εἰ τιμησαίμην (ἐμαυτῷ φυγῆς). Τὸ ἐνεργ. *τιμῶ τινί τινος* ἐλέγετο ὑπὸ τῶν δικαστῶν τῶν ὁριζόντων τὴν ποινήν. Τὸ μέσον *τιμῶμαί τινί τινος*, ὑπὸ τοῦ ἑτέρου τῶν ἀντιδίκων τοῦ ὁρίζοντος τῷ ἑτέρῳ τὴν ποινήν. Ὁσάκις προέτεινέ τις ἑαυτοῦ ποινὴν ἔλεγε· *τιμῶμαί τινος*, συνήθως ἄνευ δοτ., ἐνίοτε ὅμως ἐτίθετο καὶ ἡ δοτ. ἐμαυτῷ. Οὕτως ἀνωτέρω (37 b) *καὶ τιμήσεσθαι τοιούτου τινὸς ἐμαυτῷ.*

10 *ἐπιφθονώτεραι.* Τὸ *ἐπίφθονος* παθητ. = ὁ φθονούμενος, ὁ ἐφελκύων τὸν φθόνον τῶν ἀνθρώπων. Θουκ. Α', 75· «Ἄξιοί ἐσμεν — τοῖς Ἕλλησι μὴ οὕτως ἄγαν ἐπιφθόνως διακεῖσθαι» = νὰ μὴ φθονώμεθα εἰς τοιοῦτον βαθμὸν ὑπὸ τῶν Ἑλλ. Τὸ *φθονερὸς* ἐνεργ.

12 *καλὸς οὖν ἄν μοι ὁ βίος εἴη*· μετ' εἰρωνείας συνηθεστάτης καὶ παρ' ἡμῖν· «καλὴν ἀνατροφὴν ἔδωκες στὰ τέκνα σου!»

20 *ἡμῖν ἐξελθὼν ζῆν;* Τὸ *ἡμῖν*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τουτὶ δή ἐστι πάντων χαλεπώτατον πεῖσαί τινας ὑμῶν.
ἐάν τε γὰρ λέγω, ὅτι τῷ θεῷ ἀπειθεῖν τοῦτ' ἔστι καὶ διὰ
τοῦτο ἀδύνατον ἡσυχίαν ἄγειν, οὐ πείσεσθέ μοι ὡς εἰρω-
νευομένῳ· ἐάν τ' αὖ λέγω, ὅτι καὶ τυγχάνει μέγιστον ἀγα- 38
θὸν ὂν ἀνθρώπῳ τοῦτο, ἑκάστης ἡμέρας περὶ ἀρετῆς τοὺς
λόγους ποιεῖσθαι καὶ τῶν ἄλλων, περὶ ὧν ὑμεῖς ἐμοῦ
ἀκούετε διαλεγομένου καὶ ἐμαυτὸν καὶ ἄλλους ἐξετάζοντος,
ὁ δὲ ἀνεξέταστος βίος οὐ βιωτὸς ἀνθρώπῳ, ταῦτα δ' ἔτι
ἧττον πείσεσθέ μοι λέγοντι. τὰ δὲ ἔχει μὲν οὕτως, ὡς ἐγώ
φημι, ὦ ἄνδρες, πείθειν δὲ οὐ ῥᾴδια. καὶ ἐγὼ ἅμα οὐκ εἴ-
θισμαι ἐμαυτὸν ἀξιοῦν κακοῦ οὐδενός. εἰ μὲν γὰρ ἦν μοι
χρήματα, ἐτιμησάμην ἂν χρημάτων, ὅσα ἔμελλον ἐκτίσειν· B
οὐδὲν γὰρ ἂν ἐβλάβην· νῦν δέ, οὐ γὰρ ἔστιν, εἰ μὴ ἄρα
ὅσον ἂν ἐγὼ δυναίμην ἐκτῖσαι τοσούτου βούλεσθέ μοι τι-
μῆσαι. ἴσως δ' ἂν δυναίμην ἐκτῖσαι ὑμῖν μνᾶν ἀργυρίου·
τοσούτου οὖν τιμῶμαι. Πλάτων δὲ ὅδε, ὦ ἄνδρες Ἀθη-

δοτ. περιποιητ. = δὲν ἠμπορεῖς νὰ μᾶς ἀπαλλάξῃς τῆς παρουσίας σου κατὰ τοῦτον τὸν τρόπον; Προϋποθέτει τοὺς δικαστὰς διατεθειμένους νὰ τὸν καταδικάσωσιν εἰς φυγήν, ἂν ἐδέχετο.

1 *τουτὶ δή ἐστι* κ. τ. λ. Διὰ δύο λόγους δὲν στέργει νὰ ἡσυχάζῃ καὶ ἀπραγμονῇ οὐδ' ἐν τῇ ξένῃ· πρῶτον μέν, διότι τοῦτο θὰ ἦτο ἀπείθεια εἰς τὸν θεόν· δεύτερον δέ, διότι τὸ διαλέγεσθαι περὶ ἀρετῆς καὶ ἐξετάζειν καὶ ἑαυτὸν καὶ τοὺς ἄλλους εἶνε τὸ μέγιστον ἀγαθὸν ἀνθρώπῳ (νόει, οὐ μόνον τῷ ἐξετάζοντι, ἀλλὰ καὶ τῷ ἐξεταζομένῳ)· ὁ δὲ ἀνεξέταστος βίος τὸ μέγιστον κακόν, καὶ ἀβίωτος. Ἀνεξέταστος βίος εἶνε νὰ ζῇ τις καθ' ἕξιν μόνον καὶ τριβήν, ἄνευ λόγου, ἀνίκανος νὰ στρέψῃ τὸ ὄμμα τῆς διανοίας του πρὸς ἑαυτὸν καὶ νὰ κρίνῃ τὰ πάθη του, τὰς ὀρέξεις του, τοὺς διαλογισμούς του, ἂν εἶνε ἀγαθὰ ἢ πονηρά, ὑγιηρὰ ἢ νοσηρά.

10 *καὶ ἐγὼ ἅμα οὐκ εἴθισμαι*. Διὰ τοῦ *καὶ ἅμα* συνδέουσι συνήθως νέον τι νόημα, ὅπερ δὲν ἔχει μεγάλην λογικὴν συγγένειαν πρὸς τὸ προηγούμενον, ὥστε τρόπον τινὰ μόνον διὰ τὸ σύγχρονον αὐτῶν συνδέονται μετ' ἀλλήλων. Πρβλ. τὰ τοῦ Θουκ. Α', 70 «καὶ ἅμα — νομίζομεν ἄξιοι εἶναι τοῖς πέλας ψόγον ἐπενεγκεῖν». Α' 76 «ἄξιοί τε ἅμα νομίζοντες εἶναι». Α', 82» καὶ τὰ ἑαυτῶν ἅμα ἐκποριζώμεθα». Α', 84 «καὶ ἅμα ἐλευθέραν καὶ ἐνδοξοτάτην πόλιν διὰ παντὸς νεμόμεθα». Ἡμεῖς λέγομεν *καὶ κοντὰ σαυτά*. Ἐνταῦθα προφανῶς ἡ διὰ τοῦ *καὶ ἅμα* πρότασις ἐλαχίστην ἔχει πρὸς τὰ προηγούμενα λογ. συγγένειαν· εἶνε μετάβασις εἴς τι νέον, ὅπερ ἀνέφερε μὲν ἔμπροσθεν, ἀλλ' ἐνταῦθα τὸ ἐπαναφέρει ἵνα καταλήξῃ εἰς ὅλως νέα καὶ ἀντίθετα ἐκείνων συμπεράσματα. (Ἰδὲ παρεκβ.)

13 *νῦν δέ, οὐ γὰρ ἔστιν* = νῦν δὲ οὐ τιμῶμαι χρημάτων, οὐ γὰρ ἔστι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ναῖοι, καὶ Κρίτων καὶ Κριτόβουλος καὶ Ἀπολλόδωρος κελεύουσί με τριάκοντα μνῶν τιμήσασθαι, αὐτοὶ δ' ἐγγυᾶσθαι· τιμῶμαι οὖν τοσούτου, ἐγγυηταὶ δὲ ὑμῖν ἔσονται τοῦ ἀργυρίου οὗτοι ἀξιόχρεῳ. C

---

ΚΘ'. Οὐ πολλοῦ γ' ἕνεκα χρόνου, ὦ ἄνδρες Ἀθηναῖοι, ὄνομα ἕξετε καὶ αἰτίαν ὑπὸ τῶν βουλομένων τὴν πόλιν λοιδορεῖν, ὡς Σωκράτη ἀπεκτόνατε, ἄνδρα σοφόν· φήσουσι γὰρ δή με σοφὸν εἶναι, εἰ καὶ μή εἰμι, οἱ βουλόμενοι ὑμῖν ὀνειδίζειν. εἰ οὖν περιεμείνατε ὀλίγον χρόνον, ἀπὸ τοῦ αὐτομάτου ἂν ὑμῖν τοῦτο ἐγένετο· ὁρᾶτε γὰρ εἰς τὴν ἡλικίαν, ὅτι πόρρω ἤδη εἰμὶ τοῦ βίου, θανάτου δὲ ἐγγύς. λέγω δὲ τοῦτο οὐ πρὸς πάντας ὑμᾶς, ἀλλὰ πρὸς τοὺς ἐμοῦ κατα- D
ψηφισαμένους θάνατον. λέγω δὲ καὶ τόδε πρὸς τοὺς αὐτοὺς τούτους· ἴσως με οἴεσθε, ὦ ἄνδρες, ἀπορίᾳ λόγων ἑαλωκέναι τοιούτων, οἷς ἂν ὑμᾶς ἔπεισα, [εἰ ᾤμην δεῖν ἅπαντα ποιεῖν καὶ λέγειν], ὥστε ἀποφυγεῖν τὴν δίκην· πολλοῦ γε δεῖ· ἀλλ' ἀπορίᾳ μὲν ἑάλωκα, οὐ μέντοι λόγων, ἀλλὰ

*Μετὰ τὴν θανατικὴν ἀπόφασιν.*

5 *Οὐ πολλοῦ γε ἕνεκα χρόνου.* Ὁ Σωκ. ἦτο ἑβδομηκοντούτης ὅτε ἐδικάζετο· ἦτο πιθανὸν νὰ ἔζῃ καὶ 20 καὶ 30 ἔτη ἀκόμη, ἀφοῦ ἦτο ὑγιέστατος καὶ διῆγε θέρος καὶ χειμῶνα ἀνυπόδητος καὶ ἀχίτων. Ἀλλ' ἐν τῷ παρόντι συμφέρει αὐτῷ νὰ ὑποθέτῃ τὸ σύνηθες μέτρον τοῦ ἀνθρωπίνου βίου, 70-75 ἔτη. Ἕνεκα λοιπόν, λέγει, τούτου τοῦ ὀλίγου χρόνου ἐφ' ὃν θὰ ἐπέζων, δηλ. ἵνα ἀπαλλαγῆτε ὀλιγοχρονίου ἐλέγχου καὶ ἐνοχλήσεως παρ' ἐμοῦ, ἕξετε (μακροχρόνιον) ὄνομα καὶ αἰτίαν. Κριτ. 53 d· «ὅτι δὲ γέρων ἀνήρ, σμικροῦ χρόνου τῷ βίῳ λοιποῦ ὄντος, ὡς τὸ εἰκός».

6 *ὄνομα ἕξετε καὶ αἰτίαν* κ. τ. λ. Ὄνομα μὲν λέγει τὴν προσηγορίαν, ἣν ἔκ τινος ἕξεως ἢ πράξεως οἱ ἄνθρωποι συνηθίζουσι νὰ ἀπονέμωσιν εἰς τὸν ἔχοντα ἢ τὸν δρῶντα, ὡς μόνιμον, τρόπον τινὰ σύμφυτον ἰδιότητα αὐτοῦ· αἰτίαν δὲ τὴν παράστασιν τῆς ἕξεως ἢ πράξεως διὰ λόγου. Ἡ Μήδεια αἰτίαν μὲν ἔσχεν ὅτι ἀπέκτεινε τὰ τέκνα της, ὄνομα δὲ ἡ *παιδολέτειρα*. Τὴν μὲν αἰτίαν, ποία ἔσται, λέγε: κατωτέρω, τὸ δὲ ὄνομα δὲν λέγει, διότι τὰ ὀνόματα εἶνε συνήθως θυμοδακέστερα τῆς διὰ λόγου παραστάσεως τοῦ πράγματος.

*ὑπὸ τῶν βουλομένων*· ποιητ. αἴτιον· διότι το *ὄνομα καὶ αἰτίαν ἕξετε* εἶνε παθ. ῥήματα. Ἐνεργ. αἰτιῶμαί τινά τινος· παθ. ἐν αἰτίᾳ εἰμὶ ἢ αἰτίαν ἔχω τινὸς ὑπό τινος.

10 *ὁρᾶτε γὰρ εἰς τὴν ἡλικίαν* κ.τ.λ. Τὸ *ὁρᾶν εἴς τι* = τῷ βλέπειν ἢ ἀποβλέπειν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τόλμης καὶ ἀναισχυντίας καὶ τοῦ ἐθέλειν λέγειν πρὸς ὑμᾶς
τοιαῦτα, οἷ' ἂν ὑμῖν ἥδιστα ἦν ἀκούειν θρηνοῦντός τέ μου
καὶ ὀδυρομένου καὶ ἄλλα ποιοῦντος καὶ λέγοντος πολλὰ E
καὶ ἀνάξια ἐμοῦ, ὡς ἐγώ φημι· οἷα δὴ καὶ εἴθισθε ὑμεῖς
τῶν ἄλλων ἀκούειν. ἀλλ' οὔτε τότε ᾠήθην δεῖν ἕνεκα τοῦ
κινδύνου πρᾶξαι οὐδὲν ἀνελεύθερον, οὔτε νῦν μοι μεταμέλει οὕτως ἀπολογησαμένῳ, ἀλλὰ πολὺ μᾶλλον αἱροῦμαι
ὧδε ἀπολογησάμενος τεθνάναι ἢ ἐκείνως ζῆν. οὔτε γὰρ ἐν
δίκῃ οὔτ' ἐν πολέμῳ οὔτ' ἐμὲ οὔτ' ἄλλον οὐδένα δεῖ τοῦτο
μηχανᾶσθαι, ὅπως ἀποφεύξεται πᾶν ποιῶν θάνατον. καὶ 39
γὰρ ἐν ταῖς μάχαις πολλάκις δῆλον γίγνεται, ὅτι τό γε
ἀποθανεῖν ἄν τις ἐκφύγοι καὶ ὅπλα ἀφεὶς καὶ ἐφ' ἱκετείαν
τραπόμενος τῶν διωκόντων· καὶ ἄλλαι μηχαναὶ πολλαί εἰσιν ἐν ἑκάστοις τοῖς κινδύνοις, ὥςτε διαφεύγειν θάνατον,
ἐάν τις τολμᾷ πᾶν ποιεῖν καὶ λέγειν. ἀλλὰ μὴ οὐ τοῦτ'
ᾖ χαλεπόν, ὦ ἄνδρες, θάνατον ἐκφυγεῖν, ἀλλὰ πολὺ χαλεπώτερον πονηρίαν· θᾶττον γὰρ θανάτου θεῖ. καὶ νῦν ἐγὼ B
μὲν ἅτε βραδὺς ὢν καὶ πρεσβύτης ὑπὸ τοῦ βραδυτέρου
ἑάλων, οἱ δ' ἐμοὶ κατήγοροι ἅτε δεινοὶ καὶ ὀξεῖς ὄντες ὑπὸ
τοῦ θάττονος, τῆς κακίας. καὶ νῦν ἐγὼ μὲν ἄπειμι ὑφ'
ὑμῶν θανάτου δίκην ὀφλών, οὗτοι δ' ὑπὸ τῆς ἀληθείας
ὠφληκότες μοχθηρίαν καὶ ἀδικίαν. καὶ ἔγωγε τῷ τιμήματι

2 *θρηνοῦντός τέ μου καὶ ὀδυρομένου.* Αἱ γεν. συνεφώνησαν πρός τὸ ὑποκείμενόν των *μου*, ὅπερ εἶνε γεν. τοῦ ***ἀκούειν οὔτε τότε***· δηλ. ὅτε ἀπελογούμην· διότι οἱ νῦν λόγοι δὲν εἶνε πλέον ἀπολογία.

15 *ἀλλὰ μὴ οὐ.* Κυρία πρότ. ὑπὸ τύπον ἐξηρτημένης, παραλειπομένου τοῦ *ὁρᾶτε, σκοπεῖσθε.*

17 *θᾶττον γὰρ θανάτου θεῖ* (*ἡ πονηρία*). Ἡ πονηρία τρέχει ταχύτερον τοῦ θανάτου, καὶ εὐκολώτερον ἄρα καταλαμβάνει καὶ καταχυριεύει τὸν ἄνθρωπον ἢ ὁ θάνατος· ὥςτε πρέπει νὰ φοβῆταί τις καὶ νὰ φυλάττηται μᾶλλον τὴν πονηρίαν ἢ τὸν θάνατον.

21 *θανάτου δίκην ὀφλών.* 1) ὀφλισκάνω δίκην φόνου, τραύματος = καταδικάζομαι ἐπὶ φόνῳ, τραύματι κ.τ.τ. 2) ὀφλισκάνω δίκην θανάτου = καταδικάζομαι εἰς θάνατον. 3) ὀφλισκάνω χιλίας δραχμὰς (σ. 36 a.) = καταδικάζομαι εἰς πρόστιμον χιλίων δρ. 4) ὀφλισκάνω μοχθηρίαν, ἀδικίαν, ὁμοίως μωρίαν, γέλωτα = κρίνομαι ἔνοχος μοχθηρίας, ἀδικίας, μωρίας, καταγέλωτος.

22 *καὶ ἔγωγε τῷ τιμήματι ἐμμένω*



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐμμένω καὶ οὗτοι. ταῦτα μέν που ἴσως οὕτω καὶ ἔδει σχεῖν, καὶ οἶμαι αὐτὰ μετρίως ἔχειν.

Λ΄. Τὸ δὲ δὴ μετὰ τοῦτο ἐπιθυμῶ ὑμῖν χρησμῳδῆσαι, C ὦ καταψηφισάμενοί μου· καὶ γάρ εἰμι ἤδη ἐνταῦθα, ἐν ᾧ μάλιστα ἄνθρωποι χρησμῳδοῦσιν, ὅταν μέλλωσιν ἀποθανεῖσθαι. φημὶ γάρ, ὦ ἄνδρες, οἳ ἐμὲ ἀπεκτόνατε, τιμωρίαν ὑμῖν ἥξειν εὐθὺς μετὰ τὸν ἐμὸν θάνατον πολὺ χαλεπωτέραν νὴ Δία ἢ οἵαν ἐμὲ ἀπεκτόνατε· νῦν γὰρ τοῦτο εἴργασθε οἰόμενοι ἀπαλλάξεσθαι τοῦ διδόναι ἔλεγχον τοῦ βίου. τὸ δὲ ὑμῖν πολὺ ἐναντίον ἀποβήσεται, ὡς ἐγώ φημι· πλείους ἔσονται ὑμᾶς οἱ ἐλέγχοντες, οὓς νῦν ἐγὼ κατεῖχον, ὑμεῖς δὲ οὐκ ᾐσθάνεσθε· καὶ χαλεπώτεροι ἔσονται D ὅσῳ νεώτεροί εἰσιν, καὶ ὑμεῖς μᾶλλον ἀγανακτήσετε. εἰ γὰρ οἴεσθε ἀποκτείνοντες ἀνθρώπους ἐπισχήσειν τοῦ ὀνειδίζειν τινὰ ὑμῖν ὅτι οὐκ ὀρθῶς ζῆτε, οὐκ ὀρθῶς διανοεῖσθε· οὐ γὰρ ἔσθ' αὕτη ἡ ἀπαλλαγὴ οὔτε πάνυ δυνατὴ οὔτε

*καὶ οὗτοι.* Τίμημα ἐνταῦθα εἶνε ἡ ποινὴ εἰς ἣν ὁ Σωκ. κατεδικάσθη ὑπὸ τῶν δικαστῶν, καὶ ἐκείνη εἰς ἣν οἱ κατήγοροι κατεδίκασαν ἑαυτούς. Ἀμφότεροι λοιπὸν, λέγει, στέργομεν τὴν ποινήν μας, εἴμεθα εὐχαριστημένοι ἐξ αὐτῆς.

1 *ταῦτα μέν που — μετρίως ἔχειν.* Ἀποφαίνεται αἰνιγματωδῶς, ἀποφεύγων νὰ ἐκφράσῃ σαφῶς τὰ διανοήματά του, ὡς λίαν πικρὰ καὶ ὀνειδιστικά. Μοὶ φαίνεται ὅτι πλῆρες τὸ διανόημά του θὰ ἦτο τοιόνδε· «Ἄνθρωπος, οἷος ἐγώ, ζῶν καὶ ὁμιλῶν ἐν ἀνθρώποις οἷοι ὑμεῖς, τοῦτο ἔμελλε νὰ πάθῃ, καὶ ἀναγκαῖον δὲ ἴσως ἦτο, ἵνα ἐκ τῆς κορυφώσεως τοῦ δεινοῦ προέλθῃ ἡ μετάστασις ἐπὶ τὰ βελτίω καὶ ἡ σωτηρία· καὶ νομίζω ὅτι τὰ γενόμενα ὀρθῶς (μετρίως) ἐγένοντο».

3 *Τὸ δὲ δὴ μετὰ τοῦτο.* Δύναται νὰ ἐκληφθῇ ὡς ἀντικ. τοῦ *χρησμῳδῆσαι*· = «ἐπιθυμῶ ὑμῖν χρησμῳδῆσαι τὸ μετὰ τοῦτο». Δύναται δέ, καὶ ἴσως ὀρθότερον, νὰ ἐκληφθῇ ὡς ἐπιρρ. φράσις, ὅπως καὶ τὸ *λοιπόν*. Γοργ. 458 d «αἰσχρὸν δὴ τὸ λοιπὸν γίγνεται, ἐμέ γε μὴ ἐθέλειν»· ὁμοίως δὲ καὶ σήμερον. «Τὸ λοιπόν, τί ἀποφασίζεις;»

4 *καὶ γάρ εἰμι ἤδη ἐνταῦθα κ.τ.λ.* Ἡ πίστις ὅτι ὁ ἄνθρωπος ἐγγὺς ὢν τοῦ θανάτου λαμβάνει προφητικὸν χάρισμα ἐπεκράτει καὶ τότε καὶ σήμερον παρὰ τῷ Ἑλλ. λαῷ. Πρβλ. Ἰλ. Π. 852 καὶ Χ. 359.

6 *οἳ ἐμὲ ἀπεκτόνατε* = οἵτινές με ἔχετε καταδικάσει εἰς θάνατον. Μὴ ὑπαρχούσης ἐν Ἀθήναις μήτε ἀναιρέσεως μήτε βασιλικῆς χάριτος, τὸ καταγιγνώσκειν τινὸς θάνατον καὶ τὸ ἀποκτείνειν ἦσαν ἰσοδύναμα.

8 *ἢ οἵαν ἐμὲ ἀπεκτόνατε.* Ἀξιοσημείωτος βραχυλογία = ἢ οἵα ἐστὶν ἡ τιμωρία, ἣν ἐμὲ ἐτιμωρήσασθε, καταγνόντες μου θάνατον.

13 *εἰ γὰρ οἴεσθε — ὅπως ἔσται ὡς βέλτιστος.* Παραπλησίαν γνώμην ἐκφέρει ὁ Θουκ. ἐν τῷ λόγῳ Διοδότου κατὰ Κλέωνος Α΄, 45.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καλή, ἀλλ' ἐκείνη καὶ καλλίστη καὶ ῥᾴστη, μὴ τοὺς ἄλλους κολούειν, ἀλλ' ἑαυτὸν παρασκευάζειν, ὅπως ἔσται ὡς βέλτιστος. ταῦτα μὲν οὖν ὑμῖν τοῖς καταψηφισαμένοις μαντευσάμενος ἀπαλλάττομαι. Ε

ΛΑ'. Τοῖς δὲ ἀποψηφισαμένοις ἡδέως ἂν διαλεχθείην
ὑπὲρ τοῦ γεγονότος τουτουὶ πράγματος, ἐν ᾧ οἱ ἄρχοντες
ἀσχολίαν ἄγουσι καὶ οὔπω ἔρχομαι οἷ ἐλθόντα με δεῖ τε-
θνάναι. ἀλλά μοι, ὦ ἄνδρες, παραμείνατε τοσοῦτον χρό-
νον· οὐδὲν γὰρ κωλύει διαμυθολογῆσαι πρὸς ἀλλήλους,
ἕως ἔξεστιν. ὑμῖν γὰρ ὡς φίλοις ἐπιδεῖξαι ἐθέλω τὸ νυνί 40
μοι ξυμβεβηκὸς τί ποτε νοεῖ. ἐμοὶ γάρ, ὦ ἄνδρες δικασταὶ
— ὑμᾶς γὰρ δικαστὰς καλῶν ὀρθῶς ἂν καλοίην — θαυ-
μάσιόν τι γέγονεν. ἡ γὰρ εἰωθυῖά μοι μαντικὴ [ἡ τοῦ δαι-
μονίου] ἐν μὲν τῷ πρόσθεν χρόνῳ παντὶ πάνυ πυκνὴ ἀεὶ
ἦν καὶ πάνυ ἐπὶ σμικροῖς ἐναντιουμένη, εἴ τι μέλλοιμι μὴ
ὀρθῶς πράξειν, νυνὶ δὲ ξυμβέβηκέ μοι, ἅπερ ὁρᾶτε καὶ αὐ-
τοί, ταυτὶ ἅ γε δὴ οἰηθείη ἄν τις καὶ νομίζεται ἔσχατα
κακῶν εἶναι. ἐμοὶ δὲ οὔτε ἐξιόντι ἕωθεν οἴκοθεν ἠναντιώθη Β
τὸ τοῦ θεοῦ σημεῖον, οὔτε ἡνίκα ἀνέβαινον ἐνταυθοῖ ἐπὶ
τὸ δικαστήριον, οὔτε ἐν τῷ λόγῳ οὐδαμοῦ μέλλοντί τι

6 *ἐν ᾧ οἱ ἄρχοντες ἀσχολίαν ἄγουσι κτλ.* Νοεῖ τὸν χρόνον καθ' ὃν οἱ προεδρεύοντες τοῦ δικαστηρίου θὰ συνέταττον ἐγγράφως τὴν καταδίκην καὶ θὰ παρεδίδετο ὁ Σωκ. τοῖς Ἔνδ:κα.

9 *διαμυθολογῆσαι.* Διὰ τοῦ ῥήματος τούτου χαρακτηρίζει αὐτὸς τοὺς ἑαυτοῦ λόγους, ὡς οὐχὶ μεγάλης σπουδαιότητος, ὡς διὰ νὰ περάσῃ ἡ ὥρα. Ὁμοίως ἐν Φαίδ. 61 e «πρέπει, μέλλοντα ἐκεῖσε ἀποδημεῖν, διασκοπεῖν τε καὶ μυθολογεῖν περὶ τῆς ἀποδημίας τῆς ἐκεῖ — τί γὰρ ἄν τις καὶ ποιοῖ ἄλλο ἐν τῷ μέχρι ἡλίου δυσμῶν χρόνῳ;»

*διαμυθολογῆσαι πρὸς ἀλλήλους.* Τὸ πρὸς ἀλλήλους δὲν πρέπει νὰ ἐκληφθῇ ἀκριβῶς = ἐμὲ πρὸς ὑμᾶς καὶ ὑμᾶς πρὸς ἐμὲ διαμυθολογῆσαι· ἀλλὰ μᾶλλον = ἐμὲ λέγοντα καὶ ὑμᾶς ἀκούοντας. Ὁμοία ἀνακρίβεια Ἰσοκρ. Ἀρχιδ. 47 «ἀπείποιμεν δ' ἂν ἀκούοντές τε καὶ λέγοντες» ἀντὶ «ἐγὼ μὲν λέγων, ὑμεῖς δ' ἀκούοντες». Κριτ. 48 d «καὶ αὐτοὶ (Κ:ιτ. καὶ Σωκ.) ἐξάγοντές τε καὶ ἐξαγόμενοι» ἀντὶ «σὺ μὲν ἐξάγων, ἐγὼ δ' ἐξαγόμενος».

10 *τὸ νυνί μοι ξυμβεβηκὸς τί ποτε νοεῖ* = τί σημασίαν ἔχει. Εὐθύδ. 287 c «τί σοι ἄλλο νοεῖ τ. ῥῆμα τοῦτο;»

11 *ὦ ἄνδρες δικασταί.* Πρώτην φορὰν ἐνταῦθα μεταχειρίζεται τὴν προσφώνησιν ταύτην, καὶ μόνον τοὺς ἀποψηφίσαντας αὐτοῦ κρίνει ἀξίους τῆς προσηγορίας ταύτης, ἐν συνειδήσει τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐρεῖν· καίτοι ἐν ἄλλοις λόγοις πολλαχοῦ δή με ἐπέσχε λέγοντα μεταξύ· νῦν δὲ οὐδαμοῦ περὶ αὐτὴν τὴν πρᾶξιν οὔτ' ἐν ἔργῳ οὐδενὶ οὔτ' ἐν λόγῳ ἠναντίωταί μοι. τί οὖν αἴτιον εἶναι ὑπολαμβάνω; ἐγὼ ὑμῖν ἐρῶ· κινδυνεύει γάρ μοι τὸ ξυμβεβηκὸς τοῦτο ἀγαθὸν γεγονέναι, καὶ οὐκ ἔσθ' ὅπως ἡμεῖς ὀρθῶς ὑπολαμβάνομεν, ὅσοι οἰόμεθα κακὸν εἶ- C ναι τὸ τεθνάναι. μέγα μοι τεκμήριον τούτου γέγονεν· οὐ γὰρ ἔσθ' ὅπως οὐκ ἠναντιώθη ἄν μοι τὸ εἰωθὸς σημεῖον, εἰ μή τι ἔμελλον ἐγὼ ἀγαθὸν πράξειν.

ΛΒ'. Ἐννοήσωμεν δὲ καὶ τῇδε, ὡς πολλὴ ἐλπίς ἐστιν ἀγαθὸν αὐτὸ εἶναι. δυοῖν γὰρ θάτερόν ἐστι τὸ τεθνάναι· ἢ γὰρ οἷον μηδὲν εἶναι μηδὲ αἴσθησιν μηδεμίαν μηδενὸς ἔχειν τὸν τεθνεῶτα, ἢ κατὰ τὰ λεγόμενα μεταβολή τις τυγχάνει οὖσα καὶ μετοίκησις τῇ ψυχῇ τοῦ τόπου τοῦ ἐνθένδε εἰς ἄλλον τόπον. καὶ εἴτε μηδεμία αἴσθησίς ἐστιν, ἀλλ' οἷον ὕπνος, ἐπειδάν τις καθεύδων μηδ' ὄναρ μηδὲν D

ἀθῳότητός του καὶ τῆς δικαιοσύνης ἄρα, ἧς ἔτυχε παρ' αὐτῶν.

1 *λέγοντα μεταξύ*· ὁμοίως καὶ *μεταξὺ λόγων*· εν τῷ μεσῳ τοῦ λέγειν ἢ τοῦ λογου. Φαῖδρ. 230 a· «Ἀτάρ, ὦ ἑταῖρε, μεταξὺ τῶν λόγων, ἆρ' οὐ τόδε ἦν τὸ δένδρον...;» 234 d «μεταξὺ ἀναγιγνώσκων». Νόμ. 859 b «μεταξὺ νομοθετοῦντες».

2 *περὶ αὐτὴν τὴν πρᾶξιν*. Πρᾶξιν λέγει τα κατα τὴν δίκην. Ἡμεῖς σήμερον, *ὑπόθεσιν*.

5 *καὶ οὐκ ἔσθ' ὅπως — ὑπολαμβάνομεν* = δὲν εἶνε τρόπος, δὲν εἶνε δυνατὸν νὰ ὑπολαμβάνωμεν ὀρθῶς. Ὁμοίως τὸ κατωτέρω· «οὐκ ἔσθ ὅπως οὐκ ἠναντιώθη ἄν» κ.τ.λ.

10 *ἐννοήσωμεν δὲ καὶ τῇδε* = ἂς θεωρήσωμεν τὸ πρᾶγμα καὶ ἐκ ταύτης τῆς ὄψεως. Διὰ τούτων προβαίνει καταδεικνύων τὴν καὶ κατὰ τὸν ἀνθρώπινον λογισμὸν ὀρθότητα τοῦ ὑπὲρ λόγον σημείου.

12 *ἢ γὰρ οἷον μηδὲν εἶναι*. Συμπλήρου· «ἢ γάρ ἐστι τὸ τεθνάναι τοιοῦτον, οἷον μηδὲν εἶναι» = ἢ εἶνε τοιοῦτόν τι ὁ θάνατος, ὥστε μετ' αὐτὸν νὰ μὴ εἶνε τίποτε. Ἐλάμβανε τὸ *εἶναι* ὑπαρκτ. καὶ το *μηδὲν* ὑποκ. Τὰ ἑπόμενα «μηδὲ αἴσθησιν κ.τ.λ.» ἀναπτύσσουσι καὶ διασαφοῦσι τὸ *μηδὲν εἶναι*.

15 *καὶ εἴ τε μηδεμία αἴσθησίς ἐστιν*· Ὁ *εἰ* ἐνταῦθα κυρίως ὑποθ. σύνδ. Διὰ τοῦ *τε* προεξαγγέλλει β' ὑποθετ. λόγον συνδεθησόμενον μετὰ τοῦ α' ὡσαύτως διὰ τοῦ *τε*· ἀλλὰ τὸν β' τοῦτον ἐξήνεγκε διὰ τοῦ *εἰ δ' αὖ*, ἕνεκα τοῦ πλήθους τῶν παρεμπεσόντων, λησμονήσας τὴν ἀρχικὴν ὑφὴν τοῦ λόγου καὶ συνδέσας τὸ *εἰ δ' αὖ* μετὰ τοῦ προηγηθέντος *εἰ οὖν*, ὅπερ πάλιν εἶνε ἀνακεφαλαίωσις τοῦ α' ὑποθ. λόγου εἴτε *μηδεμία* κ.τ.λ.

16 *ἀλλ' οἷον ὕπνος, ἐπειδὰν* κ.τ.λ. Ἡ ἀπὸ τοῦ *ἐπειδὰν* χρον. πρότασις, πρὸς σαφέστερον ὁρισμὸν τῆς ἐννοίας τοῦ ὕπνου. Ὁμαλώτερος θὰ ἦτο ἐκφερόμενος ὡς ἀναφορ. πρότασις· «οἷον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁρᾷ, θαυμάσιον κέρδος ἂν εἴη ὁ θάνατος. ἐγὼ γὰρ ἂν οἶμαι, εἴ τινα ἐκλεξάμενον δέοι ταύτην τὴν νύκτα, ἐν ᾗ οὕτω κατέδαρθεν, ὥςτε μηδὲ ὄναρ ἰδεῖν, καὶ τὰς ἄλλας νύκτας τε καὶ ἡμέρας τὰς τοῦ βίου τοῦ ἑαυτοῦ ἀντιπαραθέντα ταύτῃ τῇ νυκτὶ δέοι σκεψάμενον εἰπεῖν, πόσας ἄμεινον καὶ ἥδιον ἡμέρας καὶ νύκτας ταύτης τῆς νυκτὸς βεβίωκεν ἐν τῷ ἑαυτοῦ βίῳ, οἶμαι ἂν μὴ ὅτι ἰδιώτην τινά, ἀλλὰ τὸν μέγαν βασιλέα εὐαριθμήτους ἂν εὑρεῖν αὐτὸν E ταύτας πρὸς τὰς ἄλλας ἡμέρας καὶ νύκτας. εἰ οὖν τοιοῦτον ὁ θάνατός ἐστι, κέρδος ἔγωγε λέγω· καὶ γὰρ οὐδὲν πλείων ὁ πᾶς χρόνος φαίνεται οὕτω δὴ εἶναι ἢ μία νύξ. ε δ' αὖ οἷον ἀποδημῆσαί ἐστιν ὁ θάνατος ἐνθένδε εἰς ἄλλον τόπον, καὶ ἀληθῆ ἐστι τὰ λεγόμενα, ὡς ἄρα ἐκεῖ εἰσιν ἅπαντες οἱ τεθνεῶτες, τί μεῖζον ἀγαθὸν τούτου εἴη ἄν, ὦ

ὕπνος, ἐν ᾧ τις μηδ' ὄναρ ὁρᾷ». Καὶ ἡμεῖς ὁμοίως μεταχειριζόμεθα τὴν χρονικὴν πρότασιν. «Ὡσὰν ὕπνος, ὅταν τις κοιμᾶται καὶ δὲν βλέπῃ οὐδ' ὄνειρον». «Ὡσὰν βροχή, ὅταν πίπτῃ ψιλὴ ψιλὴ βροχὴ κ.τ.τ.».

1 *ἐγὼ γὰρ ἂν οἶμαι — ἡμέρας καὶ νύκτας*. Πολύπλοκος ἡ πρότ. καὶ δυσσύνοπτος· ἐν τούτοις δὲν ἔχει μεγάλας ἀνωμαλίας. Ἀρχόμενος δὲ τοῦ *οἶμαι ἄν*, προτίθεται νὰ ἐπιφέρῃ ἀπαρέμφ. ὡς ἀπόδοσιν ὑποθ. λόγου· τὸ ἀπαρέμφ. τοῦτο εἶνε τὸ *εὐαριθμήτους ἂν εὑρεῖν*· ἀλλὰ διὰ τὸ πλῆθος τῶν παρεμπεσόντων ἐπανέλαβε τὸ *οἶμαι ἄν*. Διὰ τὸν αὐτὸν λόγον ἔθεσε δὶς τὸ *δέοι*. Σύμπλεχε λοιπὸν ὧδε· εἰ δέοι τινά, ἐκλεξάμενον ταύτην τὴν νύκτα, ἐν ᾗ οὕτω κατέδαρθεν, ὥςτε μηδ' ὄναρ ἰδεῖν, καὶ ἀντιπαραθέντα τὰς ἄλλας νύκτας τε καὶ ἡμέρας τὰς τοῦ βίου τοῦ ἑαυτοῦ, δέοι σκεψάμενον εἰπεῖν, πόσας ἡμέρας τε καὶ νύκτας βεβίωκεν ἐν τῷ ἑαυτοῦ βίῳ ἄμεινον καὶ ἥδιον ταύτης τῆς νυκτός, οἶμαι ἄν, μὴ ὅτι ἰδιώτην τινά, ἀλλὰ τὸν μέγαν βασιλέα αὐτὸν εὑρεῖν ἂν ταύτας εὐαριθμήτους πρὸς τὰς ἄλλας ἡμέρας καὶ νύκτας». Δηλ. ὁ Σωκ. ὑποθέτει ὅτι πᾶς ἄνθρωπος θὰ διῆλθε μίαν νύκτα ἐν τῷ βίῳ ἐντελῶς ἀτάραχον καὶ ἀνενυπνίαστον, οἷον ἐν παντελεῖ ἀναισθησίᾳ. Ταύτην θέτει ἐν τῷ μέσῳ ὡς κανόνα καὶ μέτρον καὶ ἰσχυρίζεται ὅτι πασῶν τῶν ἄλλων ἡμερῶν τε καὶ νυκτῶν τοῦ ἀνθρωπίνου βίου ὀλίγισται μὲν εὑρίσκονται πράγματι ἡδεῖαι, ὥστε νὰ προτιμᾷ τις αὐτὰς τῆς ἀναισθήτου ἐκείνης νυκτός, αἱ δὲ πλεῖσται πλήρεις θλίψεως καὶ ἀηδίας, ὥςτε προτιμοτέρα τούτων εἶνε ἐκείνη ἡ ἀναίσθητος. Ἀλλὰ τοιοῦτος εἶνε ὁ θάνατος (κατὰ τὴν μίαν ὑπόθεσιν!)· ἄρα προτιμότερος ὁ θάνατος τοῦ ἐκ τοιούτων ἡμερῶν καὶ νυκτῶν συγκειμένου βίου.

10 *καὶ γὰρ οὐδὲν πλείων* κ.τ.λ. Ὁ νοῦς τοιόςδε. Ἠδύνατό τις νὰ ἀντείπῃ πρὸς τὴν γνώμην τοῦ Σωκ. ὅτι ὁ τοιοῦτος θάνατος εἶνε κέρδος τάδε, ὅτι πᾶς μὲν θὰ ἔστεργε καὶ θὰ ὑπελάμβανε κέρδος τὸ νὰ διέλθῃ μίαν μόνην νύκτα ἐν παντελεῖ ἀναισθησίᾳ, οὐχὶ δὲ καὶ τὸν αἰῶνα ἅπαντα. Πρὸς ταύτην λοιπὸν τὴν ἀντίρρησιν ἐπιφέρει ὁ Σωκ. ὅτι ἐν τῇ παντελεῖ ἀναισθησίᾳ ὁ αἰὼν ἅπας δὲν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄνδρες δικασταί; εἰ γάρ τις ἀφικόμενος εἰς Ἅιδου, ἀπαλλαγεὶς τούτων τῶν φασκόντων δικαστῶν εἶναι, εὑρήσει 41
τοὺς ἀληθῶς δικαστάς, οἵπερ καὶ λέγονται ἐκεῖ δικάζειν, Μίνως τε καὶ Ῥαδάμανθυς καὶ Αἰακὸς καὶ Τριπτόλεμος καὶ ἄλλοι ὅσοι τῶν ἡμιθέων δίκαιοι ἐγένοντο ἐν τῷ ἑαυτῶν βίῳ, ἆρα φαύλη ἂν εἴη ἡ ἀποδημία; ἢ αὖ Ὀρφεῖ ξυγγενέσθαι καὶ Μουσαίῳ καὶ Ἡσιόδῳ καὶ Ὁμήρῳ ἐπὶ πόσῳ ἄν τις δέξαιτ' ἂν ὑμῶν; ἐγὼ μὲν γὰρ πολλάκις θέλω τεθνάναι, εἰ ταῦτ' ἔστιν ἀληθῆ· ἐπεὶ ἔμοιγε καὶ

θὰ εἶνε αἰσθητὸς ὡς χρόνος μακρότερος τῆς μιᾶς νυκτός.

1 *ἀπαλλαγεὶς τούτων τῶν φασκόντων δικαστῶν εἶναι.* Το *τούτων* μετὰ καταφρονήσεως. Κριτ. 45 a· «οὐχ ὁρᾷς τούτους τοὺς συκοφάντας, ὡς εὐτελεῖς;» Αὐτόθι 48 c «τούτων τῶν πολλῶν».

4 *Μίνως τε* κ.τ.λ. Ὀνομαστικαὶ συμφωνήσασαι πρὸς τὸ ἀναφορ. *οἵπερ* ἐν ᾧ κυρίως ἀνήκουσιν εἰς τὴν κυρίαν πρότ. «εὑρήσει τοὺς ὡς ἀληθῶς δικαστάς», καὶ ἔπρεπεν ἄρα νὰ εἶνε αἰτιατικαί. Θουκ. Α', 82 «ἀνεπίφθονον δέ, ὅσοι, ὥςπερ καὶ ἡμεῖς ὑπ' Ἀθηναίων ἐπιβουλευόμεθα»· ἀντὶ ὅσοι — ἐπιβουλεύονται.

Μίνως, υἱὸς Διὸς καὶ Εὐρώπης, βασιλεὺς τῆς Κρήτης, καὶ νομοθέτης τοῦ Κ ητ. λαοῦ· διὰ τὴν δικαιοσύνην του ἐτάχθη μετὰ θάνατον κριτὴς τῶν εἰς τὸν Ἅιδην κατερχομένων.

Ῥαδάμανθυς, ὡσαύτως υἱὸς Διὸς καὶ Εὐρώπης, ἀδελφὸς Μίνωος, ἐκδιωχθεὶς ὑπὸ τοῦ ἀδελφοῦ κατέφυγεν εἰς Βοιωτίαν, συνεζεύχθη τὴν Ἀλκμήνην, καὶ ἐπαίδευσε τὸν υἱόν της Ἡρακλέα. Μετα θάνατον ἐτάχθη καὶ αὐτὸς μετὰ τοῦ ἀδελφοῦ κριτὴς τοῦ Ἅιδου.

Αἰακός, υἱὸς τοῦ Διὸς καὶ τῆς Αἰγίνης, βασιλεὺς τοῦ ἐπὶ τῆς νήσου ταύτης λαοῦ τῶν Μυρμιδόνων, πατὴρ τοῦ Τελαμῶνος καὶ τοῦ Πηλέως. Δίκαιος καὶ θεοφ λής, καὶ ζῶν ἐτιμᾶτο ὑπὸ τῶν θεῶν καὶ μετὰ θάνατον ἐτάχθη κριτὴς τοῦ Ἅιδου.

Τριπτόλεμος, μυθικὸς ἥρως τῆς Ἀττικῆς, πεφιλημένος τῇ Δήμητρι, καταστάτης τῶν Ἐλευσινίων μυστηρίων, ἐφευρέτης τοῦ ἀρότρου καὶ διδάσκαλος τῆς γεωργίας εἰς τὸ ἀνθρώπινον γένος καὶ ἰδίως τῆς σπορᾶς δημητριακῶς καρπῶν καὶ εἰσηγητὴς σοφῶν νόμων τοῖς Ἀθηναίοις· διόπερ καὶ θεσμοθέτην ἐπεκαλεῖτο.

Οἱ κοινῶς πεπιστευμένοι δικασταὶ τοῦ Ἅιδου ἦσαν οἱ τρεῖς πρῶτοι (Πρβλ. Γοργ. 524). Ἀλλ' οἱ Ἀθηναῖοι ἐφιλοτιμοῦντο νὰ ἔχωσι καὶ ἐξ ἑαυτῶν ἀντιπρόσωπον ἐν τῷ δικαστηρίῳ τοῦ Ἅιδου· ὡς τοιοῦτον δὲ συνείθιζεν ὁ λαὸς νὰ ὀνομάζῃ τὸν Τριπτόλεμον. Ὁ Σωκ. χαριζόμενος μὲν τῇ φιλοτιμίᾳ τῶν Ἀθηναίων, μὴ δυνάμενος δ' αὐθαιρέτως νὰ αὐξήσῃ τοὺς τρεῖς εἰς τέσσαρας, ηὔρυνε τὸ δικαστήριον τοῦ Ἅιδου οὕτως ὥςτε νὰ περιλαμβάνῃ ὡς δικαστὰς πάντας τοὺς ἡμιθέους, *ὅσοι δίκαιοι ἐγένοντο ἐν τῷ ἑαυτῶν βίῳ*· οὕτω δὲ παρεσκεύασε θέσιν καὶ διὰ τὸν Τριπτόλεμον.

6 *Ὀρφεῖ καὶ Μουσαίῳ.* Ἐπιστεύοντο οἱ ἀρχαιότατοι τῶν Ἑλλήνων ποιητῶν, πρότεροι Ὁμήρου καὶ Ἡσιόδου.

*ἐπὶ πόσῳ* = ἀντὶ πόσων χρημάτων ἢ ἄλλου τιμίου ἀνταλλάγματος.

9 *ἐπεὶ ἔμοι γε καὶ αὐτῷ.* Διὰ τοῦ *ἐπὶ πόσῳ ἂν τις δέξαιτο* ἀπεφάνθη ὅτι πᾶς τις καὶ ἄλλος θὰ ἐδέχετο ἀντὶ μεγάλης θυσίας νὰ συναναστρέφηται μετὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτῷ θαυμαστὴ ἂν εἴη ἡ διατριβὴ αὐτόθι, ὁπότε ἐντύ- B
χοιμι Παλαμήδει καὶ Αἴαντι τῷ Τελαμῶνος καὶ εἴ τις
ἄλλος τῶν παλαιῶν διὰ κρίσιν ἄδικον τέθνηκεν· ἀντιπαρα-
βάλλειν τε τὰ ἐμαυτοῦ πάθη πρὸς τὰ ἐκείνων, ὡς ἐγὼ
οἶμαι, οὐκ ἂν ἀηδὲς εἴη, καὶ δὴ τὸ μέγιστον, τοὺς ἐκεῖ
ἐξετάζοντα καὶ ἐρευνῶντα ὥςπερ τοὺς ἐνταῦθα διάγειν, τίς
αὐτῶν σοφός ἐστι καὶ τίς οἴεται μέν, ἔστι δ' οὔ. ἐπὶ πόσῳ
δ' ἄν τις, ὦ ἄνδρες δικασταί, δέξαιτο ἐξετάσαι τὸν ἐπὶ
Τροίαν ἀγαγόντα τὴν πολλὴν στρατιὰν ἢ Ὀδυσσέα ἢ Σί- C
συφον, ἤ; — ἄλλους μυρίους ἄν τις εἴποι καὶ ἄνδρας καὶ

2 *ἀλλ' οὐδὲν — τὸ μὴ οὐχὶ ἀγανακτεῖν.* *Τὸ μὴ οὐχὶ* δὲν εἶνε αἰτιατ. συντακτικὴ τοῦ ῥήματος — τὸ ἐπιλύεται δὲν δύναται νὰ δεχθῇ δύο αἰτιατικὰς — ἀλλ' εἶνε συμπέρασμα τοῦ ἐπιλύεται. Πολιτ. 354 b «οὐκ ἀπεσχόμην τὸ μὴ οὐκ ἐπὶ τοῦτο ἐλθεῖν». Αἰσχ. Προμ. 243 «ἐξελυσάμην βροτοὺς τὸ μὴ διαρραισθέντας εἰς Ἅδου μολεῖν». Εὐριπ. Ἱππόλ. 48 «τὸ τῆσδ' οὐ προτιμήσω κακόν, τὸ μὴ οὐ παρασχεῖν τοὺς ἐμοὺς ἐχθροὺς ἐμοὶ δίκην τοσαύτην».

Τὸ νόημα εἶνε τοιόνδε· τοῦ μὲν Σωκράτους, ὅτι ἡ μὲν νεότης εὐλόγως δεσμεύει τοὺς ἀνθρώπους ἐν τῇ ζωῇ, τὸ δὲ γῆρας πρέπει νὰ ἐπιλύῃ αὐτούς· τὸ ἐναντίον τούτου θὰ ἦτο πλημμελές. Πρὸς ταῦτα ὁ Κρίτων ἀντιλέγει τοιάδε· «Καὶ ὅμως τοῦτο δὲν συμβαίνει· καὶ ἄλλοι γέροντες περιπίπτουσιν εἰς ὁμοίας συμφοράς, ἀλλὰ τὸ γῆρας δὲν ἐπιλύει αὐτοὺς ὥστε νὰ μὴ ἀγανακτῶσι». Πρβ. Εὐριπ. Ἀλκήστ. τὰ κατὰ τὸν Φέρητα στίχ. 593 καὶ ἑξ.

6 *ἀλλ' ἐμοί.* Ὀρθῶς θὰ εἶχεν *ἀλλ' ἐμαυτῷ*, διὰ δὲ τὰ παρεμπεσόντα ἐλησμονήθη ἡ ταυτοπροσωπία, ἔτι δὲ καὶ ἡ πρὸς τὸ *σοὶ* ἀντίθεσις γίνεται ζωηροτέρα διὰ τοῦ *ἐμοὶ* ἢ διὰ τοῦ *ἐμαυτῷ*.

7 *ὡς ἐμοὶ δοκῶ·* ἀντὶ *ὡς ἐμαυτῷ δοκῶ·* συνηθεστάτη παράβασις τοῦ κανόνος τοῦ περὶ τῆς ταυτοπροσωπίας ἐν τῇ φράσει ταύτῃ. Ἐν τούτοις ἀπαντᾷ καὶ τὸ κανονικόν. Ἀριστφ. Βάτρ. 918 «Ἠλίθιος γὰρ ἦσθα. — Κἀμαυτῷ δοκῶ».

*ἐν τοῖς.* Προῆλθεν ἐκ παραλείψεως τοῦ θετικοῦ τῆς αὐτῆς λέξεως ἧς πρόκειται, καὶ κατήντησεν ἐπίρρημα ἐπιτατικὸν καὶ ὡς τοιοῦτον, ἄκλιτον, καὶ ὅπου τὸ παραλειπόμενον εἶνε γένους θηλυκοῦ, καὶ ἔπρεπε νὰ τεθῇ *ἐν ταῖς*.

8 *βαρύτατ' ἂν ἐνέγκαιμι.* Νόει ὑποθ. πρότασιν «εἰ γένοιτο, ἢ συμβαίη τὸ ἀγγελλόμενον. Δὲν μετεχειρίσθη τὸν μέλλοντα τῆς ὁριστικῆς *οἴσω*· διότι ὁ Κρίτων ἐλπίζει ὅτι δὲν θὰ συμβῇ τὸ κακόν, πειθομένου τοῦ Σωκράτους νὰ δραπετεύσῃ.

Τὸ *ἐνέγκαιμι* ῥίζα β' ἀορ. μετὰ καταλήξεως α' ἀορ. Τὸ ῥῆμα τοῦτο καὶ τὸ *εἰπεῖν* παρὰ τοῖς Ἀττικοῖς ἐναλλάσσουσι καταλήξεις α' καὶ β' ἀορ. κατὰ τὰ διάφορα πρόσωπα καὶ ἐγκλίσεις.

9 *Τίνα ταύτην;* Συμπλήρου *φέρεις;* Τὸ *ταύτην* ἀντικ. τὸ *τίνα* κατηγορ.

12 *ἀπὸ Σουνίου.* Ἡ ἔνδοθεν τῆς ἄκρας τοῦ Σουνίου παραλία εἶνε εὐλίμενος· ἐκεῖ εἶχε κατάρει τὸ ἐκ Δήλου πλοῖον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καταλιπόντες ἐκεῖ αὐτό. δῆλον οὖν ἐκ τούτων τῶν ἀγγελιῶν ὅτι ἥξει τήμερον, καὶ ἀνάγκη δὴ εἰς αὔριον ἔσται, ὦ Σώκρατες, τὸν βίον σε τελευτᾶν.

Β'. ΣΩ. Ἀλλ' ὦ Κρίτων, τύχῃ ἀγαθῇ· εἰ ταύτῃ τοῖς
44 θεοῖς φίλον, ταύτῃ ἔστω· οὐ μέντοι οἶμαι ἥξειν αὐτὸ τήμερον.

ΚΡ. Πόθεν τοῦτο τεκμαίρει;

ΣΩ. Ἐγώ σοι ἐρῶ· τῇ γάρ που ὑστεραίᾳ δεῖ με ἀποθνήσκειν ἢ ᾗ ἂν ἔλθῃ τὸ πλοῖον.

ΚΡ. Φασί γέ τοι δὴ οἱ τούτων κύριοι.

ΣΩ. Οὐ τοίνυν τῆς ἐπιούσης ἡμέρας οἶμαι αὐτὸ ἥξειν, ἀλλὰ τῆς ἑτέρας, τεκμαίρομαι δὲ ἔκ τινος ἐνυπνίου, ὃ ἑώρακα ὀλίγον πρότερον ταύτης τῆς νυκτός· καὶ κινδυνεύεις ἐν καιρῷ τινι οὐκ ἐγεῖραί με.

ΚΡ. Ἦν δὲ δὴ τί τὸ ἐνύπνιον;

ΣΩ. Ἐδόκει τίς μοι γυνὴ προσελθοῦσα καλὴ καὶ εὐει-
Β δής, λευκὰ ἱμάτια ἔχουσα, καλέσαι με καὶ εἰπεῖν· ὦ Σώκρατες,

κωλυόμενον, ὡς φαίνεται, ὑπὸ ἐναντίων ἀνέμων.

2 *εἰς αὔριον*. Συνειθίζει ὁ Πλ. νὰ θέτῃ τὴν *εἰς* πρὸ ἐπιρρ. χρον. χωρὶς νὰ φαίνηται διαφορά τις ἐννοίας ἀπὸ τοῦ ἁπλοῦ· *εἰς νῦν· εἰς τότε· εἰς τήμερον· εἰσαῦθις*.

4 *τύχῃ ἀγαθῇ*. Ἐλλειπτικὴ πρότασις· εὐθὺς δὲ ἐπιφέρει ταυτόσημον ταύτῃ, ἀλλὰ πλήρη· «εἰ ταύτῃ τοῖς θεοῖς φίλον, ταύτῃ ἔστω».

9 *οἱ τούτων κύριοι* = οἱ περὶ ταῦτα ἁρμόδιοι· οἱ Ἕνδεκα δηλ.

10 *τῆς ἐπιούσης ἡμέρας*. Δὲν νοεῖ ἄλλην παρὰ τὴν αὐτὴν ἣν ἀνωτέρω εἶπεν ὁ Κρίτων δὶς *τήμερον*. Ἐπειδὴ ἡ ὥρα καθ' ἣν διελέγοντο ἦτο ὄρθρος βαθύς, καὶ ἡ ἡμέρα δὲν εἶχε φανῆ ἀκόμη, ὁ Σωκράτης οὐχὶ πλημμελῶς τὴν ὠνόμασεν ἐπιοῦσαν ἡμέραν. Εἶχεν ὅμως καί τινα λόγον νὰ εἴπῃ οὕτω· κατὰ τὸ ὄνειρόν του ἔμελλε νὰ ἀποθάνῃ τὴν τρίτην ἡμέραν. Ἂν ὑποθέσωμεν ὅτι ἦσαν ἐν τῷ ὄρθρῳ τῆς Παρασκευῆς, θεωρουμένης μὲν τῆς Παρασκευῆς ὡς *τήμερον*, ἡ τρίτη ἡμέρα θὰ ἦτο ἡ Δευτέρα, θεωρουμένης δὲ ὡς *ἐπιούσης*, ἡ γ' ἡμέρα θὰ ἦτο ἡ Κυριακή, καὶ ταύτην ἐνόει ὁ Σωκράτης.

12 *ταύτης τῆς νυκτός*. Οὐχὶ γεν. συντακτ. τοῦ *πρότερον*, ἀλλὰ γεν. τοῦ χρόνου προσδιορίζουσα τὸ ῥῆμα.

*καὶ κινδυνεύεις* δηλ. ἀποδεικνύεται ὅτι τὸ μὴ ἐξεγεῖραί με καὶ διακόψαι τὸ ὄνειρον ἐγένετο πρὸς καλόν. Περὶ τοῦ κινδυνεύειν ὅρα Ἀπολογ. ὑποσημ. εἰς σελ. 20 d.

16 *λευκὰ ἱμάτια ἔχουσα*. Ἡ λευχειμονία σύμβολον τῆς καθαρότητος καὶ ἁγιότητος. Ματθ. ΚΗ'· «Ἦν δὲ ἰδέα αὐτοῦ (τοῦ ἀγγέλου) ὡς ἀστραπή, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών». Νόμ. 956 a «χρώματα δὲ λευκὰ πρέποντ' ἂν θεοῖς εἴη καὶ ἄλλοθι καὶ ἐν ὑφῇ».

*καλέσαι με καὶ εἰπεῖν*. Ἡ μὲν κλῆσις ἦτο τὸ *ὦ Σώκρατες*, ὁ δὲ λόγος, ὁ παρατιθέμενος Ὁμηρ. στίχος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἤματί κεν τριτάτῳ Φθίην ἐρίβωλον ἵκοιο.

ΚΡ. Ὡς ἄτοπον τὸ ἐνύπνιον, ὦ Σώκρατες.

ΣΩ. Ἐναργὲς μὲν οὖν, ὥς γέ μοι δοκεῖ, ὦ Κρίτων.

Γ'. ΚΡ. Λίαν γε, ὡς ἔοικεν· ἀλλ' ὦ δαιμόνιε Σώκρατες, ἔτι καὶ νῦν ἐμοὶ πείθου καὶ σώθητι· ὡς ἐμοί, ἐὰν σὺ ἀποθάνῃς, οὐ μία ξυμφορά ἐστιν, ἀλλὰ χωρὶς μέν, σοῦ ἐστερῆσθαι τοιούτου ἐπιτηδείου, οἷον ἐγὼ οὐδένα μή ποτε εὑρήσω, ἔτι δὲ καὶ πολλοῖς δόξω, οἳ ἐμὲ καὶ σὲ μὴ σαφῶς ἴσασιν, ὡς οἷός τ' ὢν σε σώζειν εἰ ἤθελον ἀναλίσκειν χρή- C μata, ἀμελῆσαι· καίτοι τίς ἂν αἰσχίων εἴη ταύτης δόξα ἢ δοκεῖν χρήματα περὶ πλείονος ποιεῖσθαι ἢ φίλους; οὐ γὰρ πείσονται οἱ πολλοί, ὡς σὺ αὐτὸς οὐκ ἠθέλησας ἀπιέναι ἐνθένδε ἡμῶν προθυμουμένων.

ΣΩ. Ἀλλὰ τί ἡμῖν, ὦ μακάριε Κρίτων, οὕτω τῆς τῶν πολλῶν δόξης μέλλει; οἱ γὰρ ἐπιεικέστατοι, ὧν μᾶλλον

Κεῖται Ἰλ. Ι. 363· λέγεται δὲ ὑπ' Ἀχιλλέως ὧδε·
Ἤματί κεν τριτάτῳ Φθίην ἐρίβωλον ἱκοίμην.

3 *Ἐναργὲς μὲν οὖν* = Ἐναργῶς δηλοῦν τὸ γενησόμενον· ὅτι δηλ. ὁ Σωκ. τὴν τρίτην ἡμέραν θὰ ἔλθῃ εἰς τὴν πατρίδα του· πατρὶς δὲ εἶνε ἡ μετὰ τὸν θάνατον διαμονὴ τῆς ψυχῆς τοῦ ἀνθρώπου· ἐν τῷ βίῳ τούτῳ ὁ ἄνθρωπος εἶνε πάροικος. Δόγμα χριστιανικώτατον εἰρημένον 4 αἰῶνας π. Χ.! Παράβαλε τὸ τοῦ Παύλου «Οὐχ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν».

5 *ἔτι καὶ νῦν ἐμοὶ πείθου* = ἔτι καὶ νῦν ἔστι καιρὸς σωθῆναι· ὥστε πείθου. Ταῦτα, διότι πλεονάκις τὸν προέτρεψε· 48 e «εἰ δὲ μή, παῦσαι, ὦ μακάριε, πολλάκις μοι λέγων τὸν αὐτὸν λόγον κ.τ.λ.».

6 *χωρὶς μέν, σοῦ ἐστερῆσθαι — ἔτι δὲ καὶ πολλοῖς δόξω.* Ἐκδέχου ταῦτα ὧδε· «Ὡς ἐμοὶ οὐ μία ξυμφορά ἐστιν, ἀλλὰ χωρὶς μὲν (ἡ συμφορὰ) σοῦ ἐστερῆσθαι, ἔτι δὲ καὶ πολλοῖς δόξω».

7 *οὐδένα μή ποτε εὑρήσω.* Τὸ οὐ μὴ ὡς ἐκ τῆς γενέσεώς του (οὐ φόβος μή) ἔπρεπε νὰ συντάσσηται μεθ' ὑποτακτικῆς, καὶ τοῦτο καὶ συμβαίνει ὡς ἐπὶ τὸ πλεῖστον. (Πρβλ. τὸ κατωτέρω σελ. 37 c «οὐ μή σοι ξυγχωρήσω»). Ἀλλ' ἐκ τῆς συχνῆς χρήσεως ἐξηλείφθη ἡ ἀρχέγονος σημασία καὶ κατήντησαν τὰ δύο μόρια ἰσοδύναμα πρὸς μίαν ἰσχυρὰν ἄρνησιν, ἓν ἰσχυρὸν *οὐ*.

8 *πολλοῖς δόξω — ἀμελῆσαι.* Δόξω ἀμελῆσαι, ὡς οἷός τε ὢν σε σώζειν· ὡς ἂν δόξειεν ἄνθρωπος οἷός τε ὢν ποιῆσαί τι. Ἀνάφερε λοιπὸν τὸ ὡς εἰς τὴν μετοχήν.

13 *ἡμῶν προθυμουμένων.* Νοητέον *ἐξάγειν*, ἐκ τοῦ προηγηθέντος ἀμεταβάτου *ἀπιέναι*.

15 *οἱ ἐπιεικέστατοι* = οἱ χρηστότατοι, οἱ τὸ ἀνθρώπινον ἐν ἑαυτοῖς τελειότατον ἔχοντες.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄξιον φροντίζειν, ἡγήσονται αὐτὰ οὕτω πεπρᾶχθαι, ὥςπερ ἂν πραχθῇ.

D ΚΡ. Ἀλλ' ὁρᾷς δή, ὅτι ἀνάγκη, ὦ Σώκρατες, καὶ τῆς τῶν πολλῶν δόξης μέλειν· αὐτὰ δὲ δῆλα τὰ παρόντα νυνί, ὅτι οἷοί τ' εἰσὶν οἱ πολλοὶ οὐ τὰ σμικρότατα τῶν κακῶν ἐξεργάζεσθαι, ἀλλὰ τὰ μέγιστα σχεδόν, ἐάν τις ἐν αὐτοῖς διαβεβλημένος ᾖ.

ΣΩ. Εἰ γὰρ ὤφελον, ὦ Κρίτων, οἷοί τ' εἶναι οἱ πολλοὶ τὰ μέγιστα κακὰ ἐργάζεσθαι, ἵνα οἷοί τ' ἦσαν καὶ τὰ μέγιστα ἀγαθά, καὶ καλῶς ἂν εἶχεν· νῦν δὲ οὐδέτερα οἷοί τε· οὔτε γὰρ φρόνιμον οὔτε ἄφρονα δυνατοὶ ποιῆσαι, ποιοῦσι δὲ τοῦτο ὅ τι ἂν τύχωσι.

E Δ'. ΚΡ. Ταῦτα μὲν δὴ οὕτως ἐχέτω· τάδε δέ, ὦ Σώκρατες, εἰπέ μοι· ἆρά γε μὴ ἐμοῦ προμηθεῖ καὶ τῶν ἄλλων ἐπιτηδείων, μή, ἐὰν σὺ ἐνθένδε ἐξέλθῃς, οἱ συκοφάνται ἡμῖν πράγματα παρέχωσιν ὡς σὲ ἐνθένδε ἐκκλέψασι, καὶ

1 *οὕτω πεπρᾶχθαι, ὥςπερ ἂν πραχθῇ*: Τὰ *οὕτως, ὥςπερ*, ἐπὶ τῆς ταυτοτητος οὐχὶ τοῦ τρόπου τῆς πράξεως, ἀλλὰ τῆς ἠθικῆς ποιότητος αὐτῆς· οὐχὶ «καθ' ὃν τινα τρόπον πραχθῶσι, κατὰ τοιοῦτον θὰ νομίσωσιν οἱ ἐπιεικεῖς ὅτι ἐπράχθησαν»· τοῦτο θὰ ἦτο κενολογία· ἀλλὰ «ἂν μὲν καλῶς πραχθῶσιν ὑφ' ἡμῶν, θὰ κρίνωσι καὶ οἱ ἐπιεικεῖς ὅτι καλῶς ἐπράχθησαν, ἂν δὲ αἰσχρῶς, αἰσχρῶς· ἡ γνώμη τῶν ἐπιεικῶν ἔσται συνᾴδουσα πρὸς τὴν ἀληθῆ ποιότητα τῆς πράξεως».

9 *ἵνα οἷοί τ' ἦσαν*. Τελ. λόγος ἐκφερόμενος δι' ὁριστικῆς παρατ. ἢ καὶ ἀορ. ὅταν τὸ τέλος παρίσταται ὡς ἀνεπίτευκτον. Ἀνάλογος σύνταξις τῇ τῶν ὑποθετ. λόγων ὅταν δηλῶσι τὸ ὑποτιθέμενον ἀνεπίτευκτον, ὅπως τὸ ἀμέσως ἑπόμενον «καὶ καλῶς ἂν εἶχεν».

11 *οὔτε γὰρ φρόνιμον* κ.τ.λ. Τὸ μέγιστον τῶν ἀνθρωπίνων ἀγαθῶν, κατὰ Σωκ. ἦτο ἡ φρόνησις, τῶν δὲ κακῶν ἡ ἀφροσύνη· τούτων δὲ οὐδέτερον δύνανται οἱ πολλοί· τὸ δ' ἀποκτείνειν, ὅπερ δύνανται, κατὰ Σωκ. δὲν εἶνε μέγα κακόν.

15 *οἱ συκοφάνται ἡμῖν πράγματα παρέχωσιν*. Πᾶς πολίτης Ἀθηναῖος εἶχε τὸ δικαίωμα νὰ κατηγορήσῃ καὶ εἰσαγάγῃ εἰς δίκην πάντα ἄλλον ἐπὶ δημοσίῳ ἐγκλήματι· ἐπειδὴ δὲ τὰ πολυπληθῆ λαϊκὰ δικαστήρια δὲν ἦτο εὔκολον νὰ φωτισθῶσι περὶ τῆς ἀθῳότητος ἢ ἐνοχῆς τοῦ κατηγορουμένου καὶ τὸ πλεῖστον ἐξηρτᾶτο ἐκ τῆς ῥητορικῆς δεινότητος τοῦ κατηγόρου, οὐδεὶς ἦτο ἀσφαλής, οὐδ' ὁ ἀθῳότατος, ὅτι θὰ διέφευγε τὴν καταδίκην. Ἐντεῦθεν εἶχε προκύψει τάγμα ὁλόκληρον συκοφαντῶν, ὡς ἰοβόλα ἔντομα, οἵτινες ἐξεβίαζον τοὺς εὐπορωτέρους καὶ ἡσυχιωτέρους πολίτας, ἀπειλοῦντες ὅτι θὰ τοὺς εἰσαγάγωσιν εἰς δίκην ἐπὶ ἀνυπάρκτῳ ἐγκλήματι· καὶ οἱ πολῖται ἐξηγόραζον τὴν ἡσυχίαν των καὶ ἀσφάλειαν ἀντὶ χρημάτων παρὰ τῶν συκοφαντῶν (Πρβλ. Ξνφ. Ἀπομν. Β', θ',

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀναγκασθῶμεν ἢ καὶ πᾶσαν τὴν οὐσίαν ἀποβαλεῖν ἢ συ-
χνὰ χρήματα, ἢ καὶ ἄλλο τι πρὸς τούτοις παθεῖν; εἰ γάρ
τι τοιοῦτον φοβεῖ, ἔασον αὐτὸ χαίρειν· ἡμεῖς γάρ που δί- 45
καιοί ἐσμεν σώσαντές σε κινδυνεύειν τοῦτον τὸν κίνδυνον
καί, ἐὰν δέῃ, ἔτι τούτου μείζω· ἀλλ' ἐμοὶ πείθου καὶ μὴ
ἄλλως ποίει.

ΣΩ. Καὶ ταῦτα προμηθοῦμαι, ὦ Κρίτων, καὶ ἄλλα πολλά.

ΚΡ. Μήτε τοίνυν ταῦτα φοβοῦ· καὶ γὰρ οὐδὲ πολὺ τἀρ-
γύριόν ἐστιν, ὃ θέλουσι λαβόντες τινὲς σῶσαί σε καὶ ἐξα-
γαγεῖν ἐνθένδε. ἔπειτα οὐχ ὁρᾷς τούτους τοὺς συκοφάντας
ὡς εὐτελεῖς, καὶ οὐδὲν ἂν δέοι ἐπ' αὐτοὺς πολλοῦ ἀργυ-
ρίου; σοὶ δὲ ὑπάρχει μὲν τὰ ἐμὰ χρήματα, ὡς ἐγὼ οἶμαι, B

ἔνθα ὁ αὐτὸς Κρίτων τῇ συμβουλῇ τοῦ Σωκράτους ἐπινοεῖ μέθοδον ἀπαλλαγῆς ἀπὸ τῶν συκοφαντῶν, ὅπως οἱ ποιμένες ἀπαλλάσσονται ἀπὸ τῶν λύκων τρέφοντες κύνας). Ἐπειδὴ δὲ οἱ συκοφάνται ὀλίγον ἐφρόντιζον τοῦ δημοσίου συμφέροντος, μᾶλλον δὲ τοῦ ἰδίου, οὕτως ἠδύνατό τις καὶ πράγματι κακουργῶν εἰς τὰ δημόσια συμφέροντα, νὰ διαφεύγῃ τὸν κίνδυνον ἀποφράττων ἐπιτηδείως τὸ στόμα τῶν συκοφαντῶν. Ταῦτα ἐννοῶν ὁ Κρίτων λέγει κατωτέρω «οὐχ ὁρᾷς τούτους τοὺς συκοφάντας, ὡς εὐτελεῖς, καὶ οὐδὲν ἂν δέοι ἐπ' αὐτοὺς πολλοῦ ἀργυρίου;

3 *ἔασον αὐτὸ χαίρειν* = Ἄφησέ το νὰ ὑπάγῃ εἰς τὸ καλόν· ἄφησέ το νὰ χορεύεται.

*ἡμεῖς γάρ που δίκαιοί ἐσμεν.* Ἡ γνωστὴ προσωπ. σύνταξις τοῦ *δίκαιος* ἀντὶ τῆς ἀπροσώπου «δίκαιόν ἐστιν ἡμᾶς κ. τ. λ.»

9 *μήτε τοίνυν ταῦτα φοβοῦ.* Ὁ Κρ. ὡρμήθη νὰ εἴπῃ «μήτε ταῦτα, μήτε τὰ ἄλλα» διὰ τοῦτο μετεχειρίσθη τὸ *μήτε*, ὅπερ ἀπαιτεῖ ἕτερον *μήτε*. Ἀλλ' ἐπειδὴ παρενέβαλε πολλὰ πρὸς αἰτιολογίαν τῆς α' διὰ τοῦ *μήτε* προτάσεώς του, κατωτέρω ἠναγκάσθη, ὡς ἀπομακρυνθεῖσαν λίαν, νὰ ἐπαναλάβῃ τὴν α' πρότασιν (ὥστε, ὅπερ λέγω, μήτε ταῦτα φοβούμενος κ.τ.λ.) καὶ ταύτην συνέδεσε μετὰ τῆς προσδοκωμένης β' διὰ τοῦ *μήτε* προτάσεως (μήτε, ὃ ἔλεγες ἐν τῷ δικαστηρίῳ).

*καὶ γὰρ οὐδέ.* Ὁ καὶ ἐνταῦθα δὲν προσθέτει τίποτε, ἐτέθη δὲ μόνον ἵνα ὁ *γάρ*, ὅστις δὲν δύναταί ποτε νὰ τεθῇ ἐπὶ κεφαλῆς τῆς προτάσεως, λάβῃ β' θέσιν. Γοργ. 465 c «καὶ γὰρ ἂν κ.τ.λ.». 449 c «καὶ γὰρ αὖ καὶ τοῦτο ἕν ἐστι». Πρωταγ. 317 c «καὶ γὰρ καὶ τὰ ξύμπαντα (ἔτη) πολλά μοί ἐστιν».

10 *ὃ θέλουσι λαβόντες* κ.τ.λ. Τὸ ὃ ἀντικ. μόνον τοῦ λαβόντες, ἀλλὰ τὴν ἀναφορικήν του ἰδιότητα μεταδίδει καὶ εἰς τὴν κυρίαν πρότασιν· Θουκ. Β', 39 «ὃ μὴ κρυφθὲν ἄν τις τῶν πολεμίων ἰδὼν ὠφεληθείη».

12 *ἐπ' αὐτούς.* Ἡ *ἐπὶ* σημαίνει τὸν σκοπὸν βραχυλογικῶς· εἶνε ἀντὶ πλήρους τελ. προτάσεως «οὐδὲν ἂν δέοι πολλοῦ ἀργυρίου ἵνα φιμώσαιμεν αὐτούς».

13 *σοὶ δὲ ὑπάρχει.* Οὐχὶ ἐντελῶς ἰσοδύναμον τῷ *ἔστιν*, ἀλλὰ «ἔστι τὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἱκανά· ἔπειτα καὶ εἴ τι ἐμοῦ κηδόμενος οὐκ οἴει δεῖν ἀναλίσκειν τἀμά, ξένοι οὗτοι ἐνθάδε ἕτοιμοι ἀναλίσκειν· εἷς δὲ καὶ κεκόμικεν ἐπ' αὐτὸ τοῦτο ἀργύριον ἱκανόν, Σιμμίας ὁ Θηβαῖος· ἕτοιμος δὲ καὶ Κέβης καὶ ἄλλοι πολλοὶ πάνυ· ὥςτε, ὅπερ λέγω, μήτε ταῦτα φοβούμενος ἀποκάμῃς σαυτὸν σῶσαι, μήτε, ὃ ἔλεγες ἐν τῷ δικαστηρίῳ, δυσχερές σοι γενέσθω, ὅτι οὐκ ἂν ἔχοις ἐξελθὼν ὅ τι χρῷο σαυτῷ·
C πολλαχοῦ μὲν γὰρ καὶ ἄλλοσε ὅποι ἂν ἀφίκῃ ἀγαπήσουσί σε· ἐὰν δὲ βούλῃ εἰς Θετταλίαν ἰέναι, εἰσὶν ἐμοὶ ἐκεῖ ξένοι, οἵ σε περὶ πολλοῦ ποιήσονται καὶ ἀσφάλειάν σοι παρέξονται, ὥςτε σε μηδένα λυπεῖν τῶν κατὰ Θετταλίαν.

Ε'. Ἔτι δέ, ὦ Σώκρατες, οὐδὲ δίκαιόν μοι δοκεῖς ἐπιχειρεῖν πρᾶγμα, σαυτὸν προδοῦναι, ἐξὸν σωθῆναι· καὶ τοι-

ἱμὰ ὡς ὑπόβασις, ὡς ἀφορμὴ ἢ ἀφετηρία τῶν σωστικῶν ἐπιχειρήσεών μας.

1 *ἱκανά*· κατηγ. τοῦ χρήματα· νοεῖται συνδετικὸν τὸ *ὄντα*.

*ἔπειτα καί*. Ἀντὶ τοῦ προσδοκωμένου *δέ*, ἐτέθη τὸ *ἔπειτα*.

2 *ξένοι οὗτοι ἐνθάδε*. Ὡς παρόντας δεικνύων αὐτούς. Ὁ λόγος μετὰ ζωηρότητος· διὰ τοῦτο καὶ παραλείπεται τὸ ῥῆμα καὶ καταντᾷ οἷον ἐλλειπτικὴ πρότασις. Καὶ ἡμεῖς· «Νά, τόσοι ξένοι ἐδῶ, ἕτοιμοι νὰ ἐξοδεύσουν ὅ τι χρειάζεται!» Πρβλ. Θουκ. Α', 51 «νῆες ἐκεῖναι».

3 *ἐπ' αὐτὸ τοῦτο* = ἵνα ἐξαγάγῃ σε ἐνθένδε. Ὅρα ἀνωτέρω «ἐπ' αὐτούς».

6 *ὃ ἔλεγες ἐν τῷ δικαστηρίῳ*. Πρβλ. Ἀπολ. 37 c, d.

7 *οὐκ ἂν ἔχοις — ὅ τι χρῷο σαυτῷ* = «Δὲν θὰ ἤξευρες τί νὰ κάμῃς, πῶς νὰ φερθῇς». Γοργ. 486 a, b «εἴ τις σου λαβόμενος εἰς τὸ δεσμωτήριον ἀπαγάγοι, φάσκων ἀδικεῖν μηδὲν ἀδικοῦντα, οἶσθ' ὅτι οὐκ ἂν ἔχοις ὅ τι χρήσαιο σαυτῷ, ἀλλ' ἰλιγγιῴης ἂν καὶ χασμῷο, οὐκ ἔχων ὅ τι εἴποις;»

8 *ἀγαπήσουσί σε*. Τὸ *ἀγαπῶ* ἐκ τῆς αὐτῆς καὶ τὸ *ἄγαμαι* ῥίζης, σημαίνει κυρίως τὴν συγγενικὴν ἐκείνην στοργὴν ἣν αἰσθάνονται οἱ γονεῖς πρὸς τὰ τέκνα, ἔπειτα δὲ πᾶσαν ὁμοίως ἁγνὴν ἀγάπην· διὸ οὐδέποτε μεταχειρίζονται αὐτό, ὡς τὸ φιλῶ, ἐπὶ ἐρωτικῆς κλίσεως.

9 *εἰσὶν ἐμοὶ ἐκεῖ ξένοι*. Ξένοι = φίλοι ἀλλοδαποί, ὧν καθῆκον ἦν νὰ ξενίζωσι τὸν ἑαυτῶν ξένον ἐπιδημοῦντα εἰς τὴν ἑαυτῶν, νὰ παραστατῶσιν εἰς τὰς ὑποθέσεις του, νὰ προστατεύωσιν αὐτὸν ἀπὸ ἀδικίας ἢ ὕβρεως ἐν τῇ ἀλλοτρίᾳ κ.τ.τ. Ἐντεῦθεν προέκυψεν ὁ θεσμὸς τῶν προξένων, οἵτινες προεξένουν ὅλης πόλεως, ὑποδεχόμενοι τοὺς πρέσβεις αὐτῆς καὶ παραστατοῦντες εἰς τὴν διεξαγωγὴν τῶν ὑποθέσεών των. Νόμ. 642 b «ὦ ξένε Ἀθηναῖε, οὐκ οἶσθα ἴσως ὅτι τυγχάνει ἡμῶν ἡ ἑστία τῆς πόλεως οὖσα ὑμῶν πρόξενος».

12 *οὐδὲ δίκαιον — σαυτὸν προδοῦναι*. Σύμπλεκε ὧδε· Δοκεῖς μοι οὐδὲ δίκαιον πρᾶγμα ἐπιχειρεῖν (ποιῆσαι), σαυτὸν προδοῦναι. Τὸ *σαυτὸν προδοῦναι* ἐπεξηγ. τοῦ *ἄδικον πρᾶγμα ποιῆσαι*. *Προδιδόναι τινὰ* = ἐγκαταλείπειν εἰς κίνδυνον, εἰς ἀπώλειαν.

13 *καὶ τοιαῦτα σπεύδεις*. Συνδέεται παρατακτικῶς μετὰ τοῦ οὐκ ἐπιχειρεῖς, (διότι πρὸς τοῦτο ἰσοδυναμεῖ τὸ οὐ δοκεῖς ἐπιχειρεῖν). Ὅρ. πρβλ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὗτα σπεύδεις περὶ σαυτὸν γενέσθαι, ἅπερ ἂν καὶ οἱ ἐχθροί σου σπεύσαιέν τε καὶ ἔσπευσάν σε διαφθεῖραι βουλόμενοι. πρὸς δὲ τούτοις καὶ τοὺς υἱεῖς τοὺς σαυτοῦ ἔμοιγε δοκεῖς προδιδόναι, οὓς σοι ἐξὸν καὶ ἐκθρέψαι καὶ ἐκπαιδεῦσαι οἰ- D
χήσει καταλιπών, καὶ τὸ σὸν μέρος, ὅ τι ἂν τύχωσι, τοῦτο πράξουσιν· τεύξονται δέ, ὡς τὸ εἰκός, τοιούτων οἷάπερ εἴωθε γίγνεσθαι ἐν ταῖς ὀρφανίαις περὶ τοὺς ὀρφανούς. ἢ γὰρ οὐ χρὴ ποιεῖσθαι παῖδας ἢ ξυνδιαταλαιπωρεῖν καὶ τρέφοντα καὶ παιδεύοντα· σὺ δέ μοι δοκεῖς τὰ ῥαθυμότατα αἱρεῖσθαι· χρὴ δέ, ἅπερ ἂν ἀνὴρ ἀγαθὸς καὶ ἀνδρεῖος ἕλοιτο, ταῦτα αἱρεῖσθαι, φάσκοντά γε δὴ ἀρετῆς διὰ παντὸς τοῦ βίου ἐπιμελεῖσθαι· ὡς ἔγωγε καὶ ὑπὲρ σοῦ καὶ ὑπὲρ ἡμῶν E
τῶν σῶν ἐπιτηδείων αἰσχύνομαι, μὴ δόξῃ ἅπαν τὸ πρᾶγμα τὸ περὶ σὲ ἀνανδρίᾳ τινὶ τῇ ἡμετέρᾳ πεπρᾶχθαι, καὶ ἡ εἴσ-

5 *τὸ σὸν μέρος*. Αἰτιατ. τοῦ κατά τι = καθ' ὅσον κεῖται ἐπὶ σοί, ἐξαρτᾶται ἀπὸ σοῦ.

*ὅ τι ἂν τύχωσι*. Νοεῖ μέν τι κακόν, εὐφημῶν δὲ τὸ ἀποσιωπᾷ.

*τοῦτο πράξουσιν*. Τὸ *πράττω* εἶνε μὲν μεταβατ. ἐνταῦθα, ἐνέχει δὲ τὴν ἔννοιαν τοῦ εὐπραγεῖν ἢ δυσπραγεῖν, ἣν λαμβάνει συντασσόμενον μετὰ τῶν ἐπιρρ. *εὖ, κακῶς*· διότι ὁ πράττων ἀγαθὰς ἢ κακὰς πράξεις, οὗτος καὶ πράττει εὖ ἢ κακῶς. Πολιτ. 603 c· «Πράττοντας ἀνθρώπους μιμεῖται ἡ μιμητικὴ βιαίους ἢ ἑκουσίας πράξεις, καὶ ἐκ τοῦ πράττειν ἢ εὖ οἰομένους ἢ κακῶς πεπραγέναι». Ἀγαθὰς δὲ πράξεις κατὰ τὸν Σωκ. πράττει ὁ ἐπιστήμων· ἄρα «ἐπιστημόνως ἂν πράττοντες, εὖ ἂν πράττοιμεν καὶ εὐδαιμονοῖμεν» Χαρμ. 173 d.

11 *αἱρεῖσθαι, φάσκοντα*. Ὑποκ. τινὰ ἢ πάντα ἄνθρωπον.

14 *ἀνανδρίᾳ τινὶ τῇ ἡμετέρᾳ*. Τὸ μὲν *τινὶ* καθιστᾷ ἀόριστον τὸ *ἀνανδρίᾳ*, τὸ δὲ *τῇ ἡμετέρᾳ* ὁρίζει αὐτὸ ἀκριβῶς. Ταῦτα φαίνονται ἀσυμβίβαστα. Ἀλλ' εἶνε βραχυλογικὴ σύμπτυξις δύο προσδιορισμῶν. Ὁ Πλ. ἀγαπᾷ πολὺ τοὺς προσδιορισμοὺς τῶν ῥημάτων δι' ἀφῃρημένου ὀνόματος ἀνάρθρου, ἔχοντος συνήθως τὸ *τις* καὶ ἐκφερομένου κατὰ δοτ. πτῶσιν: οἷον σοφίᾳ τινί, ἐπιστήμῃ τινί, κακίᾳ τινί, δόξῃ τινί. Οὕτω καὶ ἐνταῦθα ὡρμήθη καθ' ἕξιν νὰ εἴπῃ *ἀνανδρίᾳ τινί*, ἔπειτα δὲ εἶδεν ὅτι ἔπρεπε νὰ δηλωθῇ ἐνταῦθα ὅτι ἡ ἀνανδρία αὕτη ἐστὶν ἡμετέρα· ἀντὶ δὲ νέας προτάσεως παρέταξεν ἁπλῶς τὸ *τῇ ἡμετέρᾳ*. Ἀπολ. 20 d· «Ἐγὼ διὰ σοφίαν τινὰ τοῦτο τὸ ὄνομα ἔσχηκα. Ποίαν δὴ σοφίαν ταύτην; Ἥπερ ἐστὶν ἴσως ἀνθρωπίνη σοφία». Ἠδύνατο καὶ ἐνταῦθα βραχυλογικῶς νὰ εἴπῃ· «Ἐγὼ δὲ διὰ σοφίαν τινὰ τὴν ἀνθρωπίνην τοῦτο τὸ ὄνομα ἔσχηκα». Γοργ. 506 e· «Κόσμος τις ἄρα ἐγγενόμενος ἐν ἑκάστῳ, ὁ ἑκάστου οἰκεῖος». 486 a· «Καί μοι μηδὲν ἀχθεσθῇς· εὐνοίᾳ γὰρ ἐρῶ τῇ σῇ». Γοργ. 483 e· «Ἀλλ' οἶμαι, οὗτοι κατὰ φύσιν τὴν τοῦ δικαίου ταῦτα πράττουσι, καὶ ναὶ μὰ Δία κατὰ νόμον γε τὸν τῆς φύσεως». 488, a· «οὐχ ἑκὼν ἐξαμαρτάνω, ἀλλ' ἀμαθίᾳ τῇ ἐμῇ».

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οδος τῆς δίκης εἰς τὸ δικαστήριον, ὡς εἰσῆλθεν ἐξὸν μὴ εἰσελθεῖν, καὶ αὐτὸς ὁ ἀγὼν τῆς δίκης, ὡς ἐγένετο· καὶ τὸ
46 τελευταῖον δὴ τουτί, ὥςπερ κατάγελως τῆς πράξεως, κακίᾳ τινὶ καὶ ἀνανδρίᾳ τῇ ἡμετέρᾳ διαπεφευγέναι ἡμᾶς δοκεῖν, οἵτινές σε οὐχὶ ἐσώσαμεν οὐδὲ σὺ σαυτόν, οἷόν τε ὂν καὶ δυνατόν, εἴ τι καὶ μικρὸν ἡμῶν ὄφελος ἦν! ταῦτα οὖν, ὦ Σώκρατες, ὅρα μὴ ἅμα τῷ κακῷ καὶ αἰσχρὰ ᾖ σοί τε καὶ ἡμῖν. ἀλλὰ βουλεύου, μᾶλλον δὲ οὐδὲ βουλεύεσθαι ἔτι ὥρα, ἀλλὰ βεβουλεῦσθαι. μία δὲ βουλή· τῆς γὰρ ἐπιούσης νυκτὸς πάντα ταῦτα δεῖ πεπρᾶχθαι· εἰ δέ τι περιμενοῦμεν, ἀδύνατον καὶ οὐκέτι οἷόν τε· ἀλλὰ παντὶ τρόπῳ, ὦ Σώκρατες, πείθου μοι καὶ μηδαμῶς ἄλλως ποίει.

B Ϛʹ. ΣΩ. Ὦ φίλε Κρίτων, ἡ προθυμία σου πολλοῦ ἀξία, εἰ μετά τινος ὀρθότητος εἴη· εἰ δὲ μή, ὅσῳ μείζων, τοσούτῳ χαλεπωτέρα· σκοπεῖσθαι οὖν χρὴ ἡμᾶς, εἴτε

1 *ὡς εἰσῆλθεν — ὡς ἐγένετο.* Ἐν μὲν τῷ αʹ ὁ *ὡς* εἰδ. σύνδεσμος = τὸ ὅτι εἰσῆλθεν ἡ δίκη ἐξὸν μὴ εἰσελθεῖν· ἐν δὲ τῷ βʹ τὸ ὡς = ὅπως.

2 ***καὶ τὸ τελευταῖον — ἡμᾶς δοκεῖν.*** Ὅρα παρεκβολάς.

5 ***οἷόν τε ὂν καὶ δυνατόν.*** Καὶ κατωτέρω ***ἀδύνατον καὶ οὐκέτι οἷόν τε.*** Ἐκ παραλλήλου δύο συνώνυμα. Σύνηθες τοῖς μετὰ σφοδρότητος καὶ πάθους λαλοῦσι. Καὶ ἡμεῖς ὁμοίως ἐν ὁμοίᾳ ψυχ. διαθέσει οἷον «τὸ θέλω καὶ τὸ ἐπιθυμῶ», ἢ τὰ τοιαῦτα «θέλω καὶ παραθέλω· μπορεῖς καὶ παραμπορεῖς».

6 *εἴ τι καὶ μικρὸν ἡμῶν ὄφελος ἦν* = ἂν ἐφελούσαμε τίποτε.

7 *μὴ ἅμα τῷ κακῷ καὶ αἰσχρὰ ᾖ.* Συντομία ἀντὶ «*μή, πρὸς τῷ εἶναι κακά, καὶ αἰσχρὰ ᾖ.* Θεαίτ. 185 e· «*Καλὸς γὰρ εἶ, ὦ Θεαίτητε, πρὸς δὲ τῷ καλῷ, εὖ ἐποίησας*» κτλ. Ὁμοία συντομία συμβαίνει ἐπὶ τοῦ *πλήν*. Πολιτ. 469 c· «***Σκυλεύειν τοὺς τελευτήσαντας, πλὴν ὅπλων, ἢ καλῶς ἔχει;***» ***ἀντὶ «πλὴν τοῦ τὰ ὅπλα σκυλεύειν».***

9 *μία δὲ βουλή* = μία βουλὴ ἔστω, ποιεῖν ἃ ἐγὼ λέγω. Πρότασις ἐλλειπτική, οἷον ἐπιφώνημα, δηλουμένου τοῦ καταλλήλου ῥήματος διὰ τοῦ τόνου τῆς προφορᾶς. Τοιοῦτον καὶ τὸ Εὐριπίδειον «*Τοῦτ' ἐκεῖνο! κτᾶσθαι φίλους, μὴ τὸ συγγενὲς μόνον*». = Τοῦτ' ἐκεῖνο συμβαίνει, ἢ *τοῦτ' ἔστιν ἐκεῖνο*. Τοιοῦτο καὶ τὸ τῆς Ἐκκλησίας: «*Εἷς ἅγιος, εἷς κύριος, Ἰησοῦς Χριστός*» = ἔστω ἢ ὁμολογείσθω.

*τῆς γὰρ ἐπιούσης νυκτὸς* κ. τ. λ. Αἰτιολ. πρότασις τοῦ «οὐχ ὥρα βουλεύεσθαι, ἀλλὰ βεβουλεῦσθαι.»

13 *ἡ προθυμία σου πολλοῦ ἀξία.* Συμπλήρου *ἐστίν*, οὐχὶ *εἴη ἄν*, ὅπως θὰ ὑπελάμβανέ τις ἕνεκα τῆς ἑπομένης κατ' εὐκτικὴν ὑποθετ. προτάσεως. Ὁ ἔπαινος τῆς προθυμίας τοῦ Κρ. εἶνε ἀπόλυτος καὶ ἀνυπόθετος. Ἡ ἑπομένη ὑποθετ. πρότασις ἐκληπτέα μᾶλλον ὡς εὐχὴ = εἴθε νὰ ἦτο καὶ ὀρθή. ἤ· «ἡ προθυμία σου εἶνε πολὺ ἀξιέπαινος· νὰ ἦτο μόνον ὀρθή!

15 ***τοσούτῳ χαλεπωτέρα*** = τοσούτῳ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταῦτα πρακτέον εἴτε μή· ὡς ἐγὼ οὐ μόνον νῦν ἀλλὰ καὶ ἀεὶ τοιοῦτος, οἷος τῶν ἐμῶν μηδενὶ ἄλλῳ πείθεσθαι ἢ τῷ λόγῳ, ὃς ἄν μοι λογιζομένῳ βέλτιστος φαίνηται. τοὺς δὲ λόγους, οὓς ἐν τῷ ἔμπροσθεν ἔλεγον, οὐ δύναμαι νῦν ἐκβαλεῖν, ἐπειδή μοι ἥδε ἡ τύχη γέγονεν, ἀλλὰ σχεδόν τι ὅμοιοι φαίνονταί μοι, καὶ τοὺς αὐτοὺς πρεσβεύω καὶ τιμῶ c
οὕςπερ καὶ πρότερον· ὧν ἐὰν μὴ βελτίω ἔχωμεν λέγειν ἐν τῷ παρόντι, εὖ ἴσθι ὅτι οὐ μή σοι ξυγχωρήσω, οὐδ' ἂν πλείω τῶν νῦν παρόντων ἡ τῶν πολλῶν δύναμις ὥςπερ παῖδας ἡμᾶς μορμολύττηται, δεσμοὺς καὶ θανάτους ἐπι-

μᾶλλον δυσχερής, ἄπορος, δυσοικονόμητος· οὐχὶ τοσούτῳ ἀναξιωτέρα ἐπαίνου.

2 *τῶν ἐμῶν μηδενὶ ἄλλῳ ἢ τῷ λόγῳ*. Τα *ἐμὰ* ἐνταῦθα εἰσὶ τὰ ἐξ ὧν σύγκειται τὸ ἐγώ μου· δὲν περιλαμβάνει δὲ τὸ σῶμα, ἀλλὰ τὰ τρία μόρια εἰς ἃ συνήθως διῃρεῖτο ἡ ψυχὴ τοῦ ἀνθρώπου, τὸ λογιστικόν, τὸ θυμοειδὲς καὶ τὸ ἐπιθυμητικόν. Λέγει λοιπὸν ὅτι πείθεται εἰς τὸ λογιστικὸν μόνον τῶν ἑαυτοῦ.

4 *ἐκβαλεῖν* = ἀνατρέψαι, ἀκυρῶσαι. Μεταφορὰ ἀπὸ τῆς ἐν θαλασσίῳ σάλῳ ἐκβολῆς τοῦ φορτίου καὶ ἀνακουφίσεως τοῦ πλοίου. Πολιτικ. 293 b «καὶ σφάλματα ποιοῦντες ἐν τοῖς πελάγεσιν ἐκβάλλουσιν εἰς τὴν θάλατταν». Πολ. 503 a «καὶ τὸ δόγμα τοῦτο μήτ' ἐν πόνοις μήτ' ἐν φόβοις μήτ' ἐν ἄλλῃ μηδεμιᾷ μεταβολῇ φαίνεσθαι ἐκβάλλοντας».

5 *ἥδε ἡ τύχη* = ἡ παρεστῶσα ξυμφορά.

8 *οὐ μή σοι ξυγχωρήσω*. Ὑποτακτικὴ ἀορ. Ἡ ὁριστ. τοῦ μέλλ. θὰ ἦτο *ξυγχωρήσομαι*. Δὲν θὰ ἐνδώσω, δὲν θὰ πεισθῶ.

*οὐδ' ἂν πλείω — μορμολύττηται*. Τὸ *ἡμᾶς* ἀντικ. τὸ δὲ *πλείω* σύστοιχος αἰτιατ. Τὸ μορμολύττεσθαι (παῖδας) = ἐκφοβεῖν παῖδας δι' ἐπιφωνήσεως Μορμώ! Ἡ Μορμώ, ἡ Λάμια καὶ ἡ Ἔμπουσα ἦσαν τρία μυθικὰ τέρατα (ὡς λέγομεν σήμερον, στοιχεῖα), δι' ὧν αἱ γραῖαι καὶ αἱ μητέρες ἐτρόμαζον τὰ παιδία, ἵνα τὰ ἡμερώσωσι. Θεόκρ. ἐν Ἀδωνιαζούσαις «*Μορμώ! δάκνει ἵππος!*» Ὁ Σωκ. φρονῶν ὅτι οἱ πολλοὶ ἐλάχιστα τῶν κακῶν δύνανται, εἰκότως λέγει ὅτι οἱ πολλοὶ μορμολύττονται ἡμᾶς.

10 *δεσμοὺς καὶ θανάτους* κ.τ.λ. Τῷ ἀκριβεῖ λόγῳ, μεῖζον τοῦ θανάτου κακὸν δὲν ἠδύνατο νὰ ἐπιπέμψῃ τὸ πλῆθος· ἀλλὰ λέγει ταῦτα κατά τινα ῥητορ. ὑπερβολὴν συνήθη εἰς ὁμοίας περιστάσεις, καθ' ἃς ὁ ἄνθρωπος ὁμιλεῖ μετά τινος πάθους. Ἂς ἀκούσωμεν καὶ τοῦ Ἀχιλλέως Ἰλ. Ι. 397.

Οὐδ' εἴ μοι δεκάκις καὶ ἐεικοσάκις τόσα [δοίη·
Οὐδ' εἴ μοι τόσα δοίη ὅσα ψάμαθός τε [κόνις τε·
Οὐδέ κεν ὥς ἔτι θυμὸν ἐμὸν πείσει' [Ἀγαμέμνων.

Ἵνα μὴ φανῇ ἡ ὑπερβολὴ τοῦ Σωκ. παντελὴς κενολογία, συνήθροισε τὰ τρία μέγιστα εἴδη τῶν ποινῶν καὶ τὰ ἐπολλαπλασίασεν ἐξενεγκὼν εἰς πληθυντικὸν ἀριθμόν.

*ἐπιπέμπουσα* = ἐπικρεμῶσα ἢ ἐπαπειλοῦσα. Ἡ *ἐπὶ* τὸ ἄνωθεν πρὸς τὰ κάτω. Ὁ κυρίαρχος λαὸς ἀπὸ τοῦ ὕψους τοῦ ἀξιώματός του ἐπιπέμπει τὰ δεινὰ ταῦτα ἐπὶ τοὺς μὴ ἀρεστοὺς αὐτῷ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πέμπουσα καὶ χρημάτων ἀφαιρέσεις. Πῶς οὖν ἂν μετριώ-
τατα σκοποίμεθα αὐτά; εἰ πρῶτον μὲν τοῦτον τὸν λόγον
ἀναλάβοιμεν, ὃν σὺ λέγεις περὶ τῶν δοξῶν, πότερον κα-
λῶς ἐλέγετο ἑκάστοτε ἢ οὔ, ὅτι ταῖς μὲν δεῖ τῶν δοξῶν
D προσέχειν τὸν νοῦν, ταῖς δὲ οὔ; ἢ πρὶν ἐμὲ δεῖν ἀποθνή-
σκειν καλῶς ἐλέγετο, νῦν δὲ κατάδηλος ἄρα ἐγένετο, ὅτι
ἄλλως ἕνεκα λόγου ἐλέγετο, ἦν δὲ παιδιὰ καὶ φλυαρία ὡς
ἀληθῶς; ἐπιθυμῶ δ' ἔγωγ' ἐπισκέψασθαι, ὦ Κρίτων, κοινῇ
μετὰ σοῦ, εἴ τί μοι ἀλλοιότερος φανεῖται, ἐπειδὴ ὧδε ἔχω,
ἢ ὁ αὐτός, καὶ ἐάσομεν χαίρειν ἢ πεισόμεθα αὐτῷ. ἐλέ-
γετο δέ πως, ὡς ἐγῷμαι, ἑκάστοτε ὧδε ὑπὸ τῶν οἰομένων
τι λέγειν, ὥσπερ νῦν δὴ ἐγὼ ἔλεγον, ὅτι τῶν δοξῶν, ἃς οἱ
E ἄνθρωποι δοξάζουσι, δέοι τὰς μὲν περὶ πολλοῦ ποιεῖσθαι,
τὰς δὲ μή· τοῦτο πρὸς θεῶν, ὦ Κρίτων, οὐ δοκεῖ καλῶς
σοι λέγεσθαι; σὺ γάρ, ὅσα γε τἀνθρώπεια, ἐκτὸς εἶ τοῦ
47 μέλλειν ἀποθνήσκειν αὔριον, καὶ οὐκ ἄν σε παρακρούοι ἡ

καὶ τρόπον τινὰ ἀναξίους ἑαυτοῦ. Φαῖδρ. 245 «ὡς οὐκ ἐπ' ὠφελείᾳ ὁ ἔρως τῷ ἐρῶντι καὶ τῷ ἐρωμένῳ ἐκ θεῶν ἐπιπέμπεται». Ἀπολ. 31 a «εἰ μή τινα ἄλλον ὁ θεὸς ὑμῖν ἐπιπέμψειεν».

1 *μετριώτατα* = ἄριστα, ὀρθότατα. Οἱ ἀρχαῖοι εὕρισκον ἐν τῷ μετρίῳ τὸ ἄριστον· καὶ ἀνὴρ μέτριος = ἐπιεικής, ἀγαθός, ὁ παρὰ τοῖς Γάλλοις homme comme il faut.

3 *ἀναλάβοιμεν*. Ἀναλαμβάνω τι καταλειφθέν. Τὸ καταλειφθὲν ἐνταῦθα εἶνε ὁ λόγος ὃν ἔλεγον καὶ ὡμολόγουν, πρὸ τῶν συμφορῶν τούτων, περὶ τῶν δοξῶν. Ἡ ἐν τῷ παρόντι ἀνάληψις εἶνε ἀνασκόπησις αὐτοῦ ἂν καλῶς ἐλέγετο τότε ἢ οὔ.

6 *ὅτι ἄλλως ἕνεκα λόγου*. Τὸ ἄλλως = μάτην, τοῦ κακοῦ· τὸ δὲ *ἕνεκα λόγου* ἐπεξήγησις τοῦ *ἄλλως*. Ὁ λόγος ἐλέγετο ἕνεκα λόγου εἶνε λογοπαίγνιον γινόμενον ἐκ τῆς διττῆς σημασίας τοῦ λόγου. Ὁ λόγος ὁ αἱρῶν καὶ ἀναγκάζων ἡμᾶς νὰ μὴ σεβώμεθα πάσας τὰς δόξας, ἐλέγετο ἕνεκα λόγου, διὰ νὰ γίνηται κουβέντα νὰ περνᾷ ἡ ὥρα.

11 *ὑπὸ τῶν οἰομένων τι λέγειν* = Οὐχὶ ὑπὸ τῶν ἄλλως λεγόντων, ἀλλ' ὑπὸ τῶν σπουδαζόντων καὶ νομιζόντων ὅτι λέγουσί τι λόγου ἄξιον.

15 *ὅσα γε τἀνθρώπεια* = κατὰ τὰ συνήθως ἐν ἀνθρώποις συμβαίνοντα, καθ' ἃ ἀνὴρ ὑγιὴς καὶ εὖ ἔχων τὴν προτεραίαν δὲν ἀποθνήσκει τὴν ὑστεραίαν.

16 *οὐκ ἂν σε παρακρούοι* = δέν σε παραπλανᾷ, δέν σε κάμνει νὰ παραλογίζησαι ἢ νὰ λέγῃς παράχορδα. Τὸ *παρακρούω* καὶ *παρακρούομαί τινα* ἐλέγετο ἐπὶ τριῶν πραγμάτων· α') ἐν τῷ σταθμῷ, ὅταν ὁ πωλητὴς κρούῃ τὴν πλάστιγγα ἵνα ῥέψῃ πρὸς τὸ ἕτερον μέρος παρὰ τὸ σωστόν, ὅπως οἱ ἡμέτεροι ἀνθρακοπῶλαι· καὶ σημαίνει τὸ παρ' ἡμῖν «τὸν τρώγω στὸ ζύγι»· β') ἐν τῇ πάλῃ ὡς τέχνασμά τι τῶν παλαιόντων· γ') ἐν τῷ κιθαρίζειν ἐση-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παροῦσα ξυμφορά· σκόπει δή· οὐχ ἱκανῶς δοκεῖ σοι λέγεσθαι, ὅτι οὐ πάσας χρὴ τὰς δόξας τῶν ἀνθρώπων τιμᾶν, ἀλλὰ τὰς μέν, τὰς δ' οὔ; οὐδὲ πάντων, ἀλλὰ τῶν μέν, τῶν δ' οὔ; τί φῄς; ταῦτα οὐχὶ καλῶς λέγεται;

ΚΡ. Καλῶς.

ΣΩ. Οὐκοῦν τὰς μὲν χρηστὰς τιμᾶν, τὰς δὲ πονηρὰς μή;

ΚΡ. Ναί.

ΣΩ. Χρησταὶ δὲ οὐχ αἱ τῶν φρονίμων, πονηραὶ δὲ αἱ τῶν ἀφρόνων;

ΚΡ. Πῶς δ' οὔ;

Ζ'. ΣΩ. Φέρε δή, πῶς αὖ τὰ τοιαῦτα ἐλέγετο; γυμνα- B
ζόμενος ἀνὴρ καὶ τοῦτο πράττων πότερον παντὸς ἀνδρὸς ἐπαίνῳ καὶ ψόγῳ καὶ δόξῃ τὸν νοῦν προσέχει, ἢ ἑνὸς μόνου, ἐκείνου, ὃς τυγχάνῃ ἰατρὸς ἢ παιδοτρίβης ὤν;

ΚΡ. Ἑνὸς μόνου.

ΣΩ. Οὐκοῦν φοβεῖσθαι χρὴ τοὺς ψόγους καὶ ἀσπάζεσθαι τοὺς ἐπαίνους τοὺς τοῦ ἑνὸς ἐκείνου, ἀλλὰ μὴ τοὺς τῶν πολλῶν.

ΚΡ. Δῆλα δή.

ΣΩ. Ταύτῃ ἄρα αὐτῷ πρακτέον καὶ γυμναστέον καὶ ἐδεστέον γε καὶ ποτέον, ᾗ ἂν τῷ ἑνὶ δοκῇ τῷ ἐπιστάτῃ καὶ ἐπαΐοντι, μᾶλλον ἢ ᾗ ξύμπασι τοῖς ἄλλοις.

ΚΡ. Ἔστι ταῦτα.

ΣΩ. Εἶεν. ἀπειθήσας δὲ τῷ ἑνὶ καὶ ἀτιμάσας αὐτοῦ τὴν C

μαινε κρούειν ἄλλην ἀντ' ἄλλης χορδῆς, ἄρα πλημμελῶς κιθαρίζειν. Μοὶ φαίνεται ὅτι ἡ μεταφορὰ ἐγένετο μᾶλλον ἀπὸ τοῦ τελευταίου· ὥςτε *ἡ συμφορὰ παρακρούει σε*=παρακρούει τὰς φρένας σου καὶ ποιεῖ φθέγγεσθαι πλημμελῆ.

12 *καὶ τοῦτο πράττων*. Δηλ. οὐχὶ παρέργως, ποτε καὶ πότε γυμναζόμενος, ἀλλ' ἔχων τοῦτο κύριον ἔργον.

20 ***πρακτέον καὶ γυμναστέον καὶ ἐδεστέον γε καὶ ποτέον***. Περὶ τῆς συντάξεως τῶν εἰς *τέον* ἔπιθι ὑποσημ. εἰς Γοργ. σελ. 480 e.

21 *τῷ ἐπιστάτῃ*. Ἐπιστάτης, ὁ ἐπί τινι ἔργῳ ἱστάμενος καὶ διοικῶν καὶ κατευθύνων αὐτό. Δῆλον ὅτι ὁ ἐπιστάτης πρέπει νὰ εἶνε καὶ ἐπιστήμων τοῦ ἔργου. Διὰ τοῦτο ἐτέθησαν ἐνταῦθα ἐκ παραλλήλου ὡς συνώνυμα *τῷ ἐπιστάτῃ καὶ ἐπαΐοντι*.

24 *ἀτιμάσας — τιμήσας*. Τὸ μὲν *τιμῶ*=ὑπολαμβάνω τι τίμιον, ἄρα σέβομαι καὶ προσέχω τὸν νοῦν εἰς αὐτό·



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δόξαν καὶ τοὺς ἐπαίνους, τιμήσας δὲ τοὺς τῶν πολλῶν λόγους καὶ μηδὲν ἐπαϊόντων, ἆρα οὐδὲν κακὸν πείσεται;

ΚΡ. Πῶς γὰρ οὔ;

ΣΩ. Τί δ' ἐστὶ τὸ κακὸν τοῦτο, καὶ ποῖ τείνει, καὶ εἰς τί τῶν τοῦ ἀπειθοῦντος;

ΚΡ. Δῆλον ὅτι εἰς τὸ σῶμα· τοῦτο γὰρ διόλλυσιν.

ΣΩ. Καλῶς λέγεις. οὐκοῦν καὶ τἄλλα, ὦ Κρίτων, οὕτως, ἵνα μὴ πάντα διίωμεν, καὶ δὴ καὶ περὶ τῶν δικαίων καὶ ἀδίκων καὶ αἰσχρῶν καὶ καλῶν καὶ ἀγαθῶν καὶ κακῶν, περὶ ὧν νῦν ἡ βουλὴ ἡμῖν ἐστιν, πότερον τῇ τῶν
D πολλῶν δόξῃ δεῖ ἡμᾶς ἕπεσθαι καὶ φοβεῖσθαι αὐτὴν ἢ τῇ τοῦ ἑνός, εἴ τίς ἐστιν ἐπαΐων, ὃν δεῖ καὶ αἰσχύνεσθαι καὶ φοβεῖσθαι μᾶλλον ἢ ξύμπαντας τοὺς ἄλλους; ᾧ εἰ μὴ ἀκολουθήσομεν, διαφθεροῦμεν ἐκεῖνο καὶ λωβησόμεθα, ὃ τῷ μὲν δικαίῳ βέλτιον ἐγίγνετο, τῷ δὲ ἀδίκῳ ἀπώλλυτο. ἢ οὐδέν ἐστι τοῦτο;

ΚΡ. Οἶμαι ἔγωγε, ὦ Σώκρατες.

Η'. ΣΩ. Φέρε δή, ἐὰν τὸ ὑπὸ τοῦ ὑγιεινοῦ μὲν βέλτιον γιγνόμενον, ὑπὸ τοῦ νοσώδους δὲ διαφθειρόμενον διολέσωμεν πειθόμενοι μὴ τῇ τῶν ἐπαϊόντων δόξῃ, ἆρα βιω-
E τὸν ἡμῖν ἐστιν διεφθαρμένου αὐτοῦ; ἔστι δέ που τοῦτο σῶμα· ἢ οὐχί;

ΚΡ. Ναί.

τὸ δὲ ἀτιμάζω = καταφρονῶ τι, νομίζω ἀνάξιον προσοχῆς.

4 *Τί δ' ἐστὶ τὸ κακὸν τοῦτο; κ.τ.λ.* Τρισύνθετος ἐρώτησις. Α') περὶ τῆς οὐσίας καὶ τοῦ ὀνόματος τοῦ κακοῦ. Ἡ ἀπόκρισις θὰ ἦτο *νόσος*. Β') περὶ τοῦ ἀποτελέσματος τοῦ κακοῦ (ποῖ τείνει;) Ἡ ἀπόκρισις θὰ ἦτο «εἰς φθοράν, εἰς ὄλεθρον». Γ') ἐρωτᾷ «εἰς φθορὰν ἢ ὄλεθρον τίνος τῶν τοῦ ἀνθρώπου;» (συνθέτου ὄντος ἐκ σώματος καὶ ψυχῆς). Εἰς τοῦτο ἀποκρίνεται ὁ Κρ. ὅτι εἶνε τὸ σῶμα τὸ ἐπιφερόμενον «*τοῦτο γὰρ διόλλυσιν*» εἶνε οἷον ἀπόκρισις εἰς τὸ β' ἐρώτημα· εἰς δὲ τὸ α' εὔδηλον ὄν, δὲν ἀπεκρίθη.

15 *ἐγίγνετο — ἀπώλλυτο* = εὑρίσκετο ἐν ταῖς προτέραις ἡμῶν ζητήσεσι τῷ μὲν δικαίῳ βέλτιον γιγνόμενον, τῷ δὲ ἀδίκῳ ἀπολλύμενον. Οὕτως ἐκληπτέοι οἱ παρατατικοί.

21 *διεφθαρμένου αὐτοῦ;* Παλινδρομία τοῦ λόγου· τὸ ἐπιφερόμενον τοῦτο λέγει τὸ αὐτὸ καὶ τὸ προηγούμενον «ἐὰν διολέσωμεν».

ΣΩ. Ἆρ' οὖν βιωτὸν ἡμῖν ἐστι μετὰ μοχθηροῦ καὶ διεφθαρμένου σώματος;

ΚΡ. Οὐδαμῶς.

ΣΩ. Ἀλλὰ μετ' ἐκείνου ἄρ' ἡμῖν βιωτὸν διεφθαρμένου, ὃ τὸ ἄδικον μὲν λωβᾶται, τὸ δὲ δίκαιον ὀνίνησιν; ἢ φαυλότερον ἡγούμεθα εἶναι τοῦ σώματος ἐκεῖνο, ὅ τι ποτ' ἐστὶ τῶν ἡμετέρων, περὶ ὃ ἥ τε ἀδικία καὶ δικαιοσύνη ἐστίν; 48

ΚΡ. Οὐδαμῶς.

ΣΩ. Ἀλλὰ τιμιώτερον;

ΚΡ. Πολύ γε.

ΣΩ. Οὐκ ἄρα, ὦ βέλτιστε, πάνυ ἡμῖν οὕτω φροντιστέον, τί ἐροῦσιν οἱ πολλοὶ ἡμᾶς, ἀλλ' ὅ τι ὁ ἐπαΐων περὶ τῶν δικαίων καὶ ἀδίκων, ὁ εἷς καὶ αὐτὴ ἡ ἀλήθεια. ὥστε πρῶτον μὲν ταύτῃ οὐκ ὀρθῶς εἰσηγεῖ, εἰσηγούμενος τῆς τῶν πολλῶν δόξης δεῖν ἡμᾶς φροντίζειν περὶ τῶν δικαίων καὶ καλῶν καὶ ἀγαθῶν καὶ τῶν ἐναντίων. Ἀλλὰ μὲν δή, φαίη γ' ἄν τις, οἷοί τέ εἰσιν ἡμᾶς οἱ πολλοὶ ἀποκτιννύναι B

ΚΡ. Δῆλα δὴ καὶ ταῦτα· φαίη γὰρ ἄν, ὦ Σώκρατες.

ΣΩ. Ἀληθῆ λέγεις· ἀλλ', ὦ θαυμάσιε, οὗτός τε ὁ λόγος, ὃν διεληλύθαμεν, ἔμοιγε δοκεῖ ὅμοιος εἶναι τῷ καὶ πρότερον· καὶ τόνδε αὖ σκόπει, εἰ ἔτι μένει ἡμῖν ἢ οὔ, ὅτι οὐ τὸ ζῆν περὶ πλείστου ποιητέον, ἀλλὰ τὸ εὖ ζῆν.

ΚΡ. Ἀλλὰ μένει.

ΣΩ. Τὸ δὲ εὖ καὶ καλῶς καὶ δικαίως ὅτι ταὐτόν ἐστι, μένει ἢ οὐ μένει;

ΚΡ. Μένει.

Θ'. ΣΩ. Οὐκοῦν ἐκ τῶν ὁμολογουμένων τοῦτο σκεπτέον, πότερον δίκαιον ἐμὲ ἐνθένδε πειρᾶσθαι ἐξιέναι μὴ ἀφιέν- C
των Ἀθηναίων ἢ οὐ δίκαιον· καὶ ἐὰν μὲν φαίνηται δίκαιον,

22 *οὐ τὸ ζῆν* κ. τ. λ. Νόμ. 707 d «οὐ τὸ σώζεσθαί τε καὶ εἶναι μόνον ἀνθρώποις τιμιώτατον ἡγούμενοι, καθάπερ οἱ πολλοί, τὸ δ' ὡς βελτίστους γίγνεσθαί τε καὶ εἶναι τοσοῦτον χρόνον ὅσον ἂν ὦσιν». Γοργ. 512 d. Σοφοκλ. Αἴ. «ἀλλ' ἢ καλῶς ζῆν ἢ καλῶς τεθνηκέναι τὸν εὐγενῆ χρή».

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πειρώμεθα, εἰ δὲ μή, ἐῶμεν. ἃς δὲ σὺ λέγεις τὰς σκέψεις
C περί τε ἀναλώσεως χρημάτων καὶ δόξης καὶ παίδων τροφῆς, μὴ ὡς ἀληθῶς ταῦτα, ὦ Κρίτων, σκέμματα ᾖ τῶν ῥᾳδίως ἀποκτιννύντων καὶ ἀναβιωσκομένων γ' ἄν, εἰ οἷοί τ' ἦσαν, οὐδενὶ ξὺν νῷ, τούτων τῶν πολλῶν. ἡμῖν δ', ἐπειδὴ ὁ λόγος οὕτως αἱρεῖ, μὴ οὐδὲν ἄλλο σκεπτέον ᾖ ἢ ὅπερ νῦν δὴ ἐλέγομεν, πότερον δίκαια πράξομεν καὶ χρή-
D ματα τελοῦντες τούτοις τοῖς ἐμὲ ἐνθένδε ἐξάξουσι καὶ χάριτας, καὶ αὐτοὶ ἐξάγοντές τε καὶ ἐξαγόμενοι, ἢ τῇ ἀληθείᾳ ἀδικήσομεν πάντα ταῦτα ποιοῦντες· κἂν φαινώμεθα ἄδικα αὐτὰ ἐργαζόμενοι, μὴ οὐ δέῃ ὑπολογίζεσθαι οὔτ' εἰ ἀποθνήσκειν δεῖ παραμένοντας καὶ ἡσυχίαν ἄγοντας, οὔτε ἄλλο ὁτιοῦν πάσχειν πρὸ τοῦ ἀδικεῖν.

ΚΡ. Καλῶς μέν μοι δοκεῖς λέγειν, ὦ Σώκρατες· ὅρα δέ, τί δρῶμεν.

ΣΩ. Σκοπῶμεν, ὦ 'γαθέ, κοινῇ, καὶ εἴ πῃ ἔχεις ἀντι-

1 *ἃς δὲ σὺ λέγεις τὰς σκέψεις*. Καθ' ἕλξιν, ἀντὶ «αἱ σκέψεις ἃς σὺ λέγεις. Τριῶν πραγμάτων σκέψιν προέθηκεν ὁ Κρ. α') τῆς τῶν πολλῶν δόξης (44 c καὶ 45 e)· β') τῆς ἀναλώσεως χρημάτων (45 a, b, c)· γ') τῆς τῶν τέκνων παιδείας (45 c, d).

3 «*μὴ ὡς ἀληθῶς ταῦτα σκέμματα ᾖ*», καὶ κατωτέρω «μὴ οὐδὲν ἄλλο σκεπτέον ᾖ», καὶ κατωτέρω «μὴ οὐ δέῃ ὑπολογίζεσθαι». Τρεῖς κύριαι προτάσεις ἀπὸ τοῦ *μὴ* ἀρχόμεναι κατὰ παράλειψιν τοῦ «*ὅρα*». Θεαίτ. 145 c· «Εὖ ἂν ἔχοι· ἀλλ' ὅρα μὴ παίζων ἔλεγεν». Ὁ λόγος οὕτω συγκείμενος ἔχει τινὰ μονοτονίαν δυσφόρητον, καὶ δὲν εἶνε ἀξιοσύστατος.

*τῶν ῥᾳδίως ἀποκτιννύντων καὶ ἀναβιωσκομένων ἄν*. Τὸ ἀναβιώσκομαι συνήθως οὐδέτερον = ἀναζῶ. Ἐνταῦθα μεταβατικὸν = ἐπαναφέρω εἰς τὴν ζωήν. Ὁ *ἂν* καὶ ἡ ἑπομένη ὑποθ. πρότ. μόνον εἰς τὸ *ἀναβιωσκομένων*. Νοεῖ τοὺς ἀνοήτους ἀνθρώπους ἐν γένει, οἵτινες φέρονται ὡς πνεῦμα ἀκατάστατον, ὡς ἀνεμόμυλος.

6 *ὁ λόγος οὕτως αἱρεῖ*. Ὅτι δηλ. τὸ εὖ ζῆν περὶ πλείστου ποιητέον, τοῦτο δὲ ὅτι ταὐτὸν τῷ καλῶς καὶ δικαίως ζῆν.

9 *ἐξάγοντές τε καὶ ἐξαγόμενοι*. Βραχυλογῶν ἐκφράζεται ἀνακριβῶς· διότι δὲν ἦσαν ἀμφότεροι καὶ ἐξάγοντες καὶ ἐξαγόμενοι, ἀλλ' ὁ μὲν ἐξάγων, ὁ δὲ ἐξαγόμενος.

11 *μὴ οὐ δέῃ ὑπολογίζεσθαι*. Ἡ γνώμη τοῦ Σωκ. εἶνε τοιάδε· «Οὐ δεῖ ὑπολογίζεσθαι οὔτε θάνατον οὔτε ἄλλο κακὸν οὐδὲν πρὸ τοῦ ἀδικεῖν»· τουτέστιν· «Ἔμπροσθεν τῆς ἀνάγκης τοῦ ἀδικεῖν ἱστάμενος ὁ ἄνθρωπος, ὅπως ἀποφύγῃ τὴν ἀνάγκην ταύτην, ὀφείλει ἀλογίστως νὰ ἐμπίπτῃ καὶ εἰς θάνατον καὶ εἰς πᾶν ἄλλο κακόν, ὡς μικρότερον ὂν τοῦ ἐκ τοῦ ἀδικεῖν προσγιγνομένου. Ὁμοίως Ἀπολογ. 28 d· «Οὗ ἄν τις ἑαυτὸν τάξῃ, ἐνταῦθα δεῖ μένοντα κινδυνεύειν, μηδὲν ὑπολογιζόμενον μήτε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λέγειν ἐμοῦ λέγοντος, ἀντίλεγε, καί σοι πείσομαι· εἰ δὲ
μή, παῦσαι ἤδη, ὦ μακάριε, πολλάκις μοι λέγων τὸν E
αὐτὸν λόγον, ὡς χρὴ ἐνθένδε ἀκόντων Ἀθηναίων ἐμὲ
ἀπιέναι· ὡς ἐγὼ περὶ πολλοῦ ποιοῦμαι πεῖσαί σε ταῦτα
πράττειν, ἀλλὰ μὴ ἄκοντος· ὅρα δὲ δὴ τῆς σκέψεως τὴν
ἀρχήν, ἐάν σοι ἱκανῶς λέγηται, καὶ πειρῶ ἀποκρίνεσθαι τὸ
ἐρωτώμενον, ᾗ ἂν μάλιστα οἴῃ. 49

ΚΡ. Ἀλλὰ πειράσομαι.

Ι. ΣΩ. Οὐδενὶ τρόπῳ φαμὲν ἑκόντας ἀδικητέον εἶναι,
ἢ τινὶ μὲν ἀδικητέον τρόπῳ, τινὶ δὲ οὔ; ἢ οὐδαμῶς τό γε
ἀδικεῖν οὔτε ἀγαθὸν οὔτε καλόν, ὡς πολλάκις ἡμῖν καὶ ἐν
τῷ ἔμπροσθεν χρόνῳ ὡμολογήθη; [ὅπερ καὶ ἄρτι ἐλέγετο·]
ἢ πᾶσαι ἡμῖν ἐκεῖναι αἱ πρόσθεν ὁμολογίαι ἐν ταῖσδε ταῖς
ὀλίγαις ἡμέραις ἐκκεχυμέναι εἰσί, καὶ πάλαι, ὦ Κρίτων,
ἄρα τηλικοίδε γέροντες ἄνδρες πρὸς ἀλλήλους σπουδῇ
διαλεγόμενοι ἐλάθομεν ἡμᾶς αὐτοὺς παίδων οὐδὲν διαφέρον- B
τες; ἢ παντὸς μᾶλλον οὕτως ἔχει, ὥσπερ τότε ἐλέγετο ἡμῖν;
εἴτε φασὶν οἱ πολλοὶ εἴτε μή, καὶ εἴτε δεῖ ἡμᾶς ἔτι τῶνδε
χαλεπώτερα πάσχειν εἴτε καὶ πρᾳότερα, ὅμως τό γε ἀδι-
κεῖν τῷ ἀδικοῦντι καὶ κακὸν καὶ αἰσχρὸν τυγχάνει ὂν παντὶ
τρόπῳ; φαμὲν ἢ οὔ;

ΚΡ. Φαμέν.

ΣΩ. Οὐδαμῶς ἄρα δεῖ ἀδικεῖν. C

ΚΡ. Οὐ δῆτα.

θάνατον μήτε ἄλλο μηδὲν πρὸ τοῦ αἰσχροῦ». Πρβλ. καὶ Ἀπολ. 32 a καὶ d.

6 *ἐάν σοι ἱκανῶς λέγηται*. Δὲν εἶνε ὑποθ. λόγος, ἀλλ' ἐξηρτημένη ἐρώτησις ἐκ τοῦ *ὅρα*· (τὸ *ἐὰν* εἶνε τῶν Γερμανῶν τὸ ob, οὐχὶ τὸ wenn!). Συνηθέστατα τίθεται ὁ *εἰ* μεθ' ὁριστ. σπανιώτερον καὶ ὁ *ἐὰν* μεθ' ὑποτ. Γοργ. 452 c· «*Σκόπει δῆτα, ἐάν σοι πλοῦτου φανῇ μεῖζον ἀγαθὸν ὄν.*» Νόμ. 929 e «*ξυμβουλευόντων* (προστακ.) *ἐάν τε δέῃ γράφεσθαι καὶ ἐὰν μὴ τὴν γραφήν*». Εὐκόλως δυνάμεθα να διαγνώσωμεν πότε ἡ τοιαύτη πρότασις εἶνε ἐξηρτ. ἐρώτησις, ὅταν ἐνδέχηται νὰ μεταβληθῇ εἰς εὐθεῖαν· οἷον τὸ τῶν Νόμων «Ξυμβουλευόντων, πότερα, δεῖ γράφεσθαι τὴν γραφὴν ἢ οὔ;» καὶ ἐν τῷ προκειμένῳ «Ὅρα δή, λέγεταί σοι ἱκανῶς ἢ οὔ;» Ἡ ὑποθετ. πρότασις δὲν ἐπιδέχεται τοιαύτην τροπήν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΩ. Οὐδὲ ἀδικούμενον ἄρα ἀνταδικεῖν, ὡς οἱ πολλοὶ
C οἴονται, ἐπειδή γε οὐδαμῶς δεῖ ἀδικεῖν.

ΚΡ. Οὐ φαίνεται.

ΣΩ. Τί δὲ δή; κακουργεῖν δεῖ, ὦ Κρίτων, ἢ οὔ;

ΚΡ. Οὐ δεῖ δήπου, ὦ Σώκρατες.

ΣΩ. Τί δέ; ἀντικακουργεῖν κακῶς πάσχοντα, ὡς οἱ πολλοί φασιν, δίκαιον ἢ οὐ δίκαιον;

ΚΡ. Οὐδαμῶς.

ΣΩ. Τὸ γάρ που κακῶς ποιεῖν ἀνθρώπους τοῦ ἀδικεῖν οὐδὲν διαφέρει.

ΚΡ. Ἀληθῆ λέγεις.

ΣΩ. Οὔτε ἄρα ἀνταδικεῖν δεῖ οὔτε κακῶς ποιεῖν οὐδένα ἀνθρώπων, οὐδ' ἂν ὁτιοῦν πάσχῃ ὑπ' αὐτῶν. καὶ ὅρα, ὦ Κρίτων, ταῦτα καθομολογῶν, ὅπως μὴ παρὰ δόξαν ὁμολο-
D γῇς. οἶδα γάρ, ὅτι ὀλίγοις τισὶ ταῦτα καὶ δοκεῖ καὶ δόξει. οἷς οὖν οὕτω δέδοκται καὶ οἷς μή, τούτοις οὐκ ἔστι κοινὴ βουλή, ἀλλὰ ἀνάγκη τούτους ἀλλήλων καταφρονεῖν, ὁρῶντας τὰ ἀλλήλων βουλεύματα. σκόπει δὴ οὖν καὶ σὺ εὖ μάλα, πότερον κοινωνεῖς καὶ ξυνδοκεῖ σοι καὶ ἀρχώμεθα ἐντεῦθεν βουλευόμενοι, ὡς οὐδέποτε ὀρθῶς ἔχοντος οὔτε τοῦ ἀδικεῖν οὔτε τοῦ ἀνταδικεῖν οὔτε κακῶς πάσχοντα ἀμύνεσθαι ἀντιδρῶντα κακῶς, ἢ ἀφίστασαι καὶ οὐ κοινωνεῖς τῆς ἀρχῆς; ἐμοὶ μὲν γὰρ καὶ πάλαι οὕτω καὶ νῦν ἔτι
E δοκεῖ, σοὶ δὲ εἴ πῃ ἄλλῃ δέδοκται, λέγε καὶ δίδασκε· εἰ δ' ἐμμένεις τοῖς πρόσθεν, τὸ μετὰ τοῦτο ἄκουε.

ΚΡ. Ἀλλ' ἐμμένω τε καὶ ξυνδοκεῖ μοι· ἀλλὰ λέγε.

ΣΩ. Λέγω δὴ αὖ τὸ μετὰ τοῦτο, μᾶλλον δ' ἐρωτῶ· πό-

16 *οἷς οὖν οὕτω δέδοκται καὶ οἷς μή*. Μεταξὺ τῶν πρεσβευόντων τὸ καινὸν τοῦτο δόγμα (τὴν καινὴν ἐντολὴν τοῦ Εὐαγγελίου!) τὸ μὴ δεῖν μηδενὶ τρόπῳ μηδένα κακῶς ποιεῖν, καὶ τῶν πρεσβευόντων τὸ ἀρχαῖον δόγμα (τὸ Μωσαϊκὸν ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος!). τὸ τοὺς φίλους εὖ ποιεῖν τοὺς δὲ ἐχθροὺς κακῶς, δὲν ὑπάρχει ὁμοφροσύνη, οὐδ' ἀμοιβαία ἀνοχὴ ἢ ἀνοκωχή. Ὁ Πλάτων λαλεῖ ἐνταῦθα μὲ ζῆλον νεοφωτίστου.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τερον ἃ ἄν τις ὁμολογήσῃ τῳ, δίκαια ὄντα, ποιητέον ἢ ἐξαπατητέον;

ΚΡ. Ποιητέον.

ΙΑ΄. ΣΩ. Ἐκ τούτων δὴ ἄθρει· ἀπιόντες ἐνθένδε ἡμεῖς μὴ πείσαντες τὴν πόλιν, πότερον κακῶς τινας ποιοῦμεν, 50 καὶ ταῦτα οὓς ἥκιστα δεῖ, ἢ οὔ; καὶ ἐμμένομεν οἷς ὡμολογήσαμεν δικαίοις οὖσιν ἢ οὔ;

ΚΡ. Οὐκ ἔχω, ὦ Σώκρατες, ἀποκρίνασθαι πρὸς ὃ ἐρωτᾷς· οὐ γὰρ ἐννοῶ.

ΣΩ. Ἀλλ' ὧδε σκόπει. εἰ μέλλουσιν ἡμῖν ἐνθένδε εἴτε ἀποδιδράσκειν, εἴθ' ὅπως δεῖ ὀνομάσαι τοῦτο, ἐλθόντες οἱ νόμοι καὶ τὸ κοινὸν τῆς πόλεως ἐπιστάντες ἔροιντο· «Εἰπέ μοι, ὦ Σώκρατες, τί ἐν νῷ ἔχεις ποιεῖν; ἄλλο τι ἢ τούτῳ τῷ ἔργῳ, ᾧ ἐπιχειρεῖς, διανοεῖ τούς τε νόμους ἡμᾶς ἀπο- B λέσαι καὶ ξύμπασαν τὴν πόλιν τὸ σὸν μέρος; ἢ δοκεῖ σοι

1 *ἅ ἄν τις ὁμολογήσῃ τω, δίκαια ὄντα.* Προσεκτέον μὴ ἐκλάβῃς τὸ *δίκαια ὄντα* ὡς ἐξαρτώμενον ἐκ τοῦ *ὁμολογήσῃ*. Λέγεται *ὁμολογῶ τινί τι*, ἢ *ὁμολογῶ ποιήσειν τι*· οὐδέποτε πρὸς μετοχήν! Τὸ *δίκαια ὄντα* δευτερεύουσα μετοχ. πρότασις προσδιοριστικὴ τοῦ ἃ ὁμολογήσῃ· «ὅσα ὁμολογήσῃ τις, καὶ εἶνε δίκαια τὰ ὡμολογημένα· διότι ἐνδέχεται νὰ ὁμολογήσῃ τις καὶ ἄδικα ἐξαπατώμενος ἢ βιαζόμενος. Ταῦτα λοιπὸν ἐξαιρεῖ τοῦ λόγου.

5 *μὴ πείσαντες* κ.τ.λ. Τροπ. μετοχ. τοῦ ἀπιόντες, διὸ καὶ δὲν συνδέονται διὰ συνδέσμου μετ' ἀλλήλων.

6 ***καὶ ταῦτα***. Προῆλθεν ἐκ παραλείψεως τοῦ προηγουμένου ῥήματος (καὶ ταῦτα ποιοῦμεν), καὶ κατήντησε σύνδεσμος ἐναντιωματικὸς τιθέμενος συνήθως ἐπὶ μετοχῆς· Γοργ. 508 a «καὶ ταῦτα σοφὸς ὤν», ἀλλὰ καὶ ἐπὶ οἵας δήποτε ἄλλης λέξεως, ἣν θέλει νὰ ἐξάρῃ ὡς ἐναντίως ἔχουσαν πρὸς ἄλλην προηγουμένην, οἷον «καὶ ταῦτα εἰς ἑαυτόν· καὶ ταῦτα περὶ τῶν μεγίστων κ.τ.λ.». Ἐνταῦθα νοεῖ «τὴν πατρίδα καὶ τοὺς νόμους αὐτῆς».

10 *εἴτε ἀποδιδράσκειν, εἴθ' ὅπως δεῖ* κ.τ.λ. Τὸ εἴτε, εἴτε δὲν συνδέει διαζευκτικῶς ἐννοίας διαφόρους, ἀλλ' ὀνόματα διάφορα τῆς αὐτῆς ἐννοίας· τούτων τὸ μὲν τίθεται, τὸ δὲ ζητεῖται· ἐντεῦθεν ἡ ἀνώμαλος σύνδεσις ὅρων συντακτικῶς ἑτερογενῶν (ἀποδιδράσκειν· ὅπως δεῖ). Ὁ λόγος δύναται νὰ γείνῃ ὁμαλὸς ὧδέ πως· «Εἰ μέλλουσιν ἡμῖν ποιεῖν ἐκεῖνο ὅπερ εἴτε ἀποδιδράσκειν δεῖ ὀνομάζειν ἢ ἄλλο τι ὄνομα». Πρωταγ. 358 a «εἴτε ἡδύ, εἴτε τερπνὸν λέγεις, εἴτε χαρτόν, εἴτε ὁπόθεν καὶ ὅπως χαίρεις τὰ τοιαῦτα ὀνομάζων».

*εἰ μέλλουσιν ἡμῖν — τί ἐροῦμεν, ὦ Κρίτων;* Σχοινοτενὴς καὶ πολυσύνθετος ἡ περίοδος, ἀλλ' ἄνευ συντακτ. ἀνωμαλιῶν. Πρῶτον ἀνευρίσκομεν τὰς δύο κυρίας ἀρθρώσεις· «εἰ οἱ νόμοι ἔροιντο τὰ καὶ τά, τί ἐροῦμεν;» Τὸ ***ἔροιντο*** προσδιορίζεται ὑπὸ τοῦ *ἐπιστάντες*, τοῦτο δὲ ὑπὸ τοῦ *ἐλθόντες*, τοῦτο δὲ ὑπὸ τοῦ *μέλλουσιν ἡμῖν*, ὅπερ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οἷόν τε ἔτι ἐκείνην τὴν πόλιν εἶναι καὶ μὴ ἀνατετράφθαι, ἐν ᾗ αἱ γενόμεναι δίκαι μηδὲν ἰσχύουσιν, ἀλλὰ ὑπὸ ἰδιωτῶν ἄκυροί τε γίγνονται καὶ διαφθείρονται;» τί ἐροῦμεν, ὦ Κρίτων, πρὸς ταῦτα καὶ ἄλλα τοιαῦτα; πολλὰ γὰρ ἄν τις ἔχοι, ἄλλως τε καὶ ῥήτωρ, εἰπεῖν ὑπὲρ τούτου τοῦ νόμου ἀπολλυμένου, ὃς τὰς δίκας τὰς δικασθείσας προστάττει
C κυρίας εἶναι. ἢ ἐροῦμεν πρὸς αὐτούς, ὅτι ἠδίκει γὰρ ἡμᾶς ἡ πόλις καὶ οὐκ ὀρθῶς τὴν δίκην ἔκρινεν; ταῦτα ἢ τί ἐροῦμεν;

ΚΡ. Ταῦτα νὴ Δία, ὦ Σώκρατες.

ΙΒ΄. ΣΩ. Τί οὖν, ἂν εἴπωσιν οἱ νόμοι· «Ὦ Σώκρατες, ἦ καὶ ταῦτα ὡμολόγητο ἡμῖν τε καὶ σοί, ἢ ἐμμένειν ταῖς δίκαις αἷς ἂν ἡ πόλις δικάζῃ;» εἰ οὖν αὐτῶν θαυμάζοιμεν λεγόντων, ἴσως ἂν εἴποιεν, ὅτι «Ὦ Σώκρατες, μὴ θαύμαζε τὰ λεγόμενα, ἀλλ' ἀποκρίνου, ἐπειδὴ καὶ εἴωθας χρῆσθαι
D τῷ ἐρωτᾶν τε καὶ ἀποκρίνεσθαι· φέρε γάρ, τί ἐγκαλῶν ἡμῖν καὶ τῇ πόλει ἐπιχειρεῖς ἡμᾶς ἀπολλύναι; οὐ πρῶτον μέν σε ἐγεννήσαμεν ἡμεῖς, καὶ δι' ἡμῶν ἐλάμβανε τὴν μητέρα

ἐτέθη κατὰ δοτ. ὡς ἀπαιτεῖ τὸ *ἐπιστάντες*. Τὰ «εἰπέ μοι, ὦ Σώκρατες— καὶ διαφθείρονται» ἀντικ. τοῦ *ἔροιντο*.

1 *εἶναι καὶ μὴ ἀνατετράφθαι*. Τοῦ *εἶναι* ἀσθενῶς δηλοῦντος τὸ προτιθέμενον, ἐπηνέχθη τὸ *μὴ ἀνατετράφθαι*. Ὥστε τὸ *εἶναι* σημαίνει σώζεσθαι, ἵστασθαι ὀρθίαν.

5 *ἄλλως τε καὶ ῥήτωρ*. Τὸ *ἄλλως τε καὶ* προῆλθεν ἐκ τοιᾶσδε ἀρχικῆς χρήσεως «καὶ ἄλλως μέν, μάλιστα δὲ ὧδε». Ἀφοῦ δὲ κατήντησε σύνδεσμος ἐπιτατικός, τίθεται οὐ μόνον ἐπὶ τροπικῶν μετοχῶν, ἀλλὰ καὶ ἐπὶ χρονικῶν (ὅτε τὸ ἄλλως = ἄλλοτε) καὶ ἐπὶ αἰτιολογικῶν (ὅτε τὸ ἄλλως = καὶ δι' ἄλλο τι) καὶ ἐπὶ ὑποθετικῶν (ὅτε τὸ ἄλλως = καὶ ἂν ἄλλο τι συμβῇ), ἔτι δὲ καὶ ἐπὶ ὀνομάτων, ὅπως ἐνταῦθα (ὅτε τὸ ἄλλως τε = καὶ ἄλλος τις καὶ μάλιστα ῥήτωρ).

7 *ὅτι ἠδίκει γὰρ ἡμᾶς*. Παραλείπεται ἡ προσήκουσα ἀπόκρισις καὶ τίθεται ἡ αἰτιολογικὴ αὐτῆς. Πλήρης ὁ λόγος θὰ εἶχεν ὧδε· «Ἐροῦμεν πρὸς αὐτοὺς ὅτι ταῦτα ποιοῦμεν εἰκότως· ἠδίκει γὰρ ἡμᾶς ἡ πόλις κ.τ.λ.».

12 *ἦ καὶ ταῦτα ὡμολόγητο;* Τὸ ταῦτα ἀνάφερε οὐχὶ εἰς τὰς λέξεις αὐτάς, ἀλλ' εἰς τὸ φρόνημα τὸ ἀποκαλυπτόμενον διὰ τῶν λέξεων «ἠδίκει γὰρ ἡμᾶς κ.τ.λ» Τὸ δὲ φρόνημα τοῦτο εἶνε τοιόνδε. Ἔξεστι τῶν πολιτῶν τῷ βουλομένῳ κρίνειν, ἐὰν δίκη τις ᾖ ὀρθῶς δεδικασμένη ἢ μή, καὶ ἂν μὲν δοκῇ αὐτῷ ὀρθῶς δεδικάσθαι, κυρίαν εἶναι, εἰ δὲ μή, ἄκυρον.

18 *σε ἐγεννήσαμεν — καὶ δι' ἡμῶν* κ.τ.λ. Ἡ διὰ τοῦ *καὶ* πρότασις εἶνε κυρίως ἐπεξηγημ. τῆς προηγουμένης. Ἀλλ' ἐν ἐλεγκτικαῖς ἐρωτήσεσι δὲν τηρεῖται ἀκριβῶς ἡ ἐσωτερ σχέσις τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σου ὁ πατὴρ καὶ ἐφύτευσέ σε; φράσον οὖν, τούτοις ἡμῶν τοῖς νόμοις τοῖς περὶ τοὺς γάμους μέμφει τι, ὡς οὐ καλῶς ἔχουσιν;» «Οὐ μέμφομαι», φαίην ἄν. «Ἀλλὰ τοῖς περὶ τὴν τοῦ γενομένου τροφήν τε καὶ παιδείαν, ἐν ᾗ καὶ σὺ ἐπαιδεύθης; ἢ οὐ καλῶς προσέταττον ἡμῶν οἱ ἐπὶ τούτοις τεταγμένοι νόμοι, παραγγέλλοντες τῷ πατρὶ τῷ σῷ σε ἐν μουσικῇ καὶ γυμναστικῇ παιδεύειν;» «Καλῶς», φαίην ἄν. E
«Εἶεν· ἐπειδὴ δὲ ἐγένου τε καὶ ἐξετράφης καὶ ἐπαιδεύθης, ἔχοις ἂν εἰπεῖν πρῶτον μὲν ὡς οὐχὶ ἡμέτερος ἦσθα καὶ ἔκγονος καὶ δοῦλος, αὐτός τε καὶ οἱ σοὶ πρόγονοι; καὶ εἰ τοῦθ' οὕτως ἔχει, ἆρ' ἐξ ἴσου οἴει εἶναι σοὶ τὸ δίκαιον καὶ ἡμῖν, καὶ ἅττ' ἂν ἡμεῖς σε ἐπιχειρῶμεν ποιεῖν, καὶ σοὶ

προτάσεων, ἀλλὰ συνείρονται παρατακτικῶς διὰ τοῦ *καί*. Πρβλ. Ἀπολ. 26 d.

1 *ἐφύτευσέ σε*. Ποιητικὴ μεταφορὰ ἀπὸ τῶν φυτῶν συνήθης τῷ Πλάτωνι. Φαῖδρ. 276 e «ὅταν τις φυτεύῃ τε καὶ σπείρῃ μετ' ἐπιστήμης λόγους». Νόμ 691 d «δίδυμον ὑμῖν φυτεύσας τὴν τῶν βασιλέων γένεσιν ἐκ μονογενοῦς».

4 *τροφήν τε καὶ παιδείαν*. Τροφὴ κυρίως ἡ σωματικὴ θεραπεία τῶν μικρῶν παιδίων, ἣν καὶ ἡμεῖς λέγομεν ἀνατροφήν· παιδεία δὲ μᾶλλον ἡ διανοητική. Ἀλλὰ πολλάκις μεταχειρίζονται τὰς λέξεις συνωνύμως, ἄλλοτε δὲ πάλιν ἀμφοτέρας συμπεπλεγμένας, ὡς καὶ ἐνταῦθα, ἵνα δηλώσωσι τὸ σύνολον τῆς παιδεύσεως τοῦ ἀνθρώπου.

6 *ἐν μουσικῇ καὶ γυμναστικῇ*. Διὰ τῆς λέξεως *μουσικὴ* ἐδήλουν οἱ ἀρχαῖοι σύμπασαν τὴν διανοητικὴν παιδείαν· διὰ δὲ τῆς *γυμναστικὴ* τὴν σωματικήν. Ἀλλὰ καθ' ὅσον προέκοπτον αἱ ἐπιστῆμαι, ᾐσθάνοντο ὅτι ἡ λέξις μουσικὴ καὶ ἡ ἔννοια αὐτῆς δὲν ἠδύνατο νὰ περιλάβῃ καὶ αὐτάς. Καὶ ἠδύνατο μὲν ὁ Σωκ. νὰ ἀποφαίνηται μεταφορικῶς ὅτι ἡ φιλοσοφία εἶνε μεγίστη μουσικὴ (Φαίδ. 61 a), ἀλλὰ κυριολεκτικῶς οὔτε ἡ φιλοσοφία, οὔτε τὰ μαθηματικά, οὔτε ἡ ἀστρονομία ἠδύναντο νὰ ὑπαχθῶσιν ὑπὸ τὴν ἔννοιαν τῆς δημώδους μουσικῆς. Διὸ αὐτὸς ἤδη ὁ Πλ τὰ ἀποχωρίζει ὡς ἴδια παρὰ τὴν μουσικὴν παιδεύματα. Πολιτ 522 καὶ ἑξ.

Περὶ τῶν δύο τούτων νόμων, τῶν τε γαμικῶν καὶ τῶν παιδευτικῶν, σημειωτέον ὅτι οἱ μὲν γαμικοὶ δὲν ἦσαν ἀναγκαστικοί, ἀλλὰ κανονιστικοὶ τῶν κατὰ τοὺς γάμους, ὅπως ὦσιν ἔγκυροι καὶ αὐτοὶ καὶ τὰ ἀπ' αὐτῶν συμβαίνοντα· οἱ δὲ παιδευτικοὶ ἦσαν μὲν ἀναγκαστικοί, ἀλλὰ δὲν θὰ ὑπῆρξεν ἴσως παράδειγμα ἐλευθέρου πολίτου Ἀθηναίου, ὅστις νὰ μὴ ἐξετέλει ἑκουσίως τὰ περὶ τὰ τέκνα του καθήκοντα.

9 *ἡμέτερος ἦσθα καὶ ἔκγονος καὶ δοῦλος*. Ὁ Σωκ. ἔχει πρὸ ὀφθαλμῶν τοὺς οἰκογενεῖς καλουμένους δούλους, τοὺς γεννωμένους ἐν τῷ οἴκῳ τοῦ δεσπότου ὑπὸ δούλων τοῦ οἴκου, συζευχθέντων ἀδείᾳ καὶ κανονισμῷ τοῦ δεσπότου, ὥστε νὰ μὴ εἶνε ὁ γάμος βοσχηματώδης. Οἱ οὕτω γεννώμενοι παῖδες ἦσαν καὶ αὐτοὶ δοῦλοι τοῦ οἴκου, καὶ ὠνομάζοντο οἰκογενεῖς· προέφερον δὲ τῶν ἄλλων καθ' ὅτι ἡλλήνιζον ἀμέμπτως κατά τε τὴν γλῶσσαν καὶ τοὺς τρόπους. Μέν. 82 b· «Ἕλλην μέν ἐστι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταῦτα ἀντιποιεῖν οἴει δίκαιον εἶναι; ἢ πρὸς μὲν ἄρα σοι τὸν πατέρα οὐκ ἐξ ἴσου ἦν τὸ δίκαιον καὶ πρὸς τὸν δεσπότην, εἴ σοι ὢν ἐτύγχανεν, ὥςτε, ἅπερ πάσχοις, ταῦτα καὶ
51 ἀντιποιεῖν, οὔτε κακῶς ἀκούοντα ἀντιλέγειν οὔτε τυπτόμενον ἀντιτύπτειν οὔτε ἄλλα τοιαῦτα πολλά· πρὸς δὲ τὴν πατρίδα ἄρα καὶ τοὺς νόμους ἐξέσται σοι, ὥςτε, ἐάν σε ἐπιχειρῶμεν ἡμεῖς ἀπολλύναι δίκαιον ἡγούμενοι εἶναι, καὶ σὺ αὖ ἡμᾶς τοὺς νόμους καὶ τὴν πατρίδα, καθ' ὅσον δύνασαι, ἐπιχειρήσεις ἀνταπολλύναι, καὶ φήσεις ταῦτα ποιῶν δίκαια πράττειν, ὁ τῇ ἀληθείᾳ τῆς ἀρετῆς ἐπιμελόμενος; ἢ οὕτως εἶ σοφός, ὥστε λέληθέ σε, ὅτι μητρός τε καὶ πατρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων τιμιώτερόν ἐστιν ἡ πα-
B τρὶς καὶ σεμνότερον καὶ ἁγιώτερον καὶ ἐν μείζονι μοίρᾳ καὶ παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις τοῖς νοῦν ἔχουσι, καὶ σέβεσθαι δεῖ καὶ μᾶλλον ὑπείκειν καὶ θωπεύειν πατρίδα χαλεπαίνουσαν ἢ πατέρα, καὶ ἢ πείθειν ἢ ποιεῖν ἃ ἂν κελεύῃ, καὶ πάσχειν, ἐάν τι προστάττῃ παθεῖν, ἡσυχίαν ἄγοντα, ἐάν τε τύπτεσθαι, ἐάν τε δεῖσθαι, ἐάν τε εἰς πόλεμον ἄγῃ τρωθησόμενον ἢ ἀποθανούμενον, ποιητέον ταῦτα, καὶ τὸ δίκαιον οὕτως ἔχει, καὶ οὐχὶ ὑπεικτέον οὐδὲ ἀναχωρητέον οὐδὲ λειπτέον τὴν τάξιν, ἀλλὰ καὶ ἐν πολέμῳ καὶ ἐν δικα-
C στηρίῳ καὶ πανταχοῦ ποιητέον ἃ ἂν κελεύῃ ἡ πόλις καὶ ἡ

καὶ ἑλληνίζει; — Πάνυ γε σφόδρα, οἰκογενής».

12 *τιμιώτερον*. Τίμιον τὸ πολύτιμον καὶ τὸ τιμῆς ἄξιον.

13 *σεμνότερον*. Ἐκ τῆς αὐτῆς ῥίζης ἐξ ἧς καὶ τὸ σέβας· τὸ σεβαστὸν καὶ θαυμαστὸν διὰ τὸ κάλλος, τὸ μέγεθος, τὸ ἦθος κ.τ.τ. Ἐπὶ ἀνθρώπων συχνότερον μετὰ ψόγου, ὁ ὑπερήφανος, ὁ ὀγκώδης, ὁ ἀλαζών· ἀκριβῶς τοὐναντίον ἐκείνου ὅπερ ἡμεῖς σήμερον λέγομεν σεμνόν. Ἀριστφ. Βάτρ. 178 «Ὡς σεμνὸς ὁ κατάρατος! οὐκ οἰμώξεται;»

*ἁγιώτερον*. Ἐκ τοῦ ἅγος· τὸ καθαρὸν καὶ ἄβατον, οὗ ἡ βεβήλωσις θὰ ἦτο ἄγος, θὰ ἐπήγετο τὴν ὀργὴν τῶν θεῶν.

16 *καὶ ἢ πείθειν — ἢ πείθειν αὐτήν*. Πρῶτον μὲν συνδέει διαζευκτικῶς ἢ *πείθειν*, ἢ *ποιεῖν καὶ πάσχειν*· ἔπειτα προβαίνει καταλέγων τὰ ποιητέα καὶ παθητέα τῇ κελεύσει τῆς πατρίδος, μέχρι τοῦ *ἡ πόλις καὶ ἡ πατρίς*. Τί πείθειν δ' ὅμως δὲν εἶπεν ἀνωτέρω· διὰ τοῦτο τὸ ἐπαναλαμβάνει κατωτέρω, κατὰ τοιοῦτον τρόπον, ὡς νὰ ἐλησμόνησεν ὅτι τὸ ἔθεσεν ἤδη ἀνωτέρω.

18 Τὰ *ἐάν τε τύπτεσθαι ἐάν τε δεῖσθαι*, ἐκδέχου ὡς ἐπεξήγησιν τοῦ *παθεῖν*, καὶ ἐξάρτα ἐκ τοῦ *προστάττῃ*· τὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πατρίς, ἢ πείθειν αὐτὴν ἢ τὸ δίκαιον πέφυκε· βιάζεσθαι δὲ οὐχ ὅσιον οὔτε μητέρα οὔτε πατέρα, πολὺ δὲ τούτων ἔτι ἧττον τὴν πατρίδα;» τί φήσομεν πρὸς ταῦτα, ὦ Κρίτων; ἀληθῆ λέγειν τοὺς νόμους ἢ οὔ;

ΚΡ. Ἔμοιγε δοκεῖ.

ΙΓ'. ΣΩ. «Σκόπει τοίνυν, ὦ Σώκρατες, φαῖεν ἂν ἴσως
οἱ νόμοι, εἰ ἡμεῖς ταῦτα ἀληθῆ λέγομεν, ὅτι οὐ δίκαια
ἡμᾶς ἐπιχειρεῖς δρᾶν ἃ νῦν ἐπιχειρεῖς. ἡμεῖς γάρ σε γεν-
νήσαντες, ἐκθρέψαντες, παιδεύσαντες, μεταδόντες ἁπάν-
των ὧν οἷοί τ' ἦμεν καλῶν σοὶ καὶ τοῖς ἄλλοις πᾶσι πολί- D
ταις, ὅμως προαγορεύομεν τῷ ἐξουσίαν πεποιηκέναι Ἀθη-
ναίων τῷ βουλομένῳ, ἐπειδὰν δοκιμασθῇ καὶ ἴδῃ τὰ ἐν τῇ
πόλει πράγματα καὶ ἡμᾶς τοὺς νόμους, ᾧ ἂν μὴ ἀρέσκω-
μεν ἡμεῖς, ἐξεῖναι λαβόντα τὰ αὑτοῦ ἀπιέναι ὅποι ἂν βού-
ληται· καὶ οὐδεὶς ἡμῶν τῶν νόμων ἐμποδών ἐστιν οὐδ'
ἀπαγορεύει, ἐάν τέ τις βούληται ὑμῶν εἰς ἀποικίαν ἰέναι,
εἰ μὴ ἀρέσκοιμεν ἡμεῖς τε καὶ ἡ πόλις, ἐάν τε μετοικεῖν
ἄλλοσέ ποι ἐλθών, ἰέναι ἐκεῖσε ὅποι ἂν βούληται, ἔχοντα
τὰ αὑτοῦ· ὃς δ' ἂν ὑμῶν παραμείνῃ, ὁρῶν ὃν τρόπον ἡμεῖς E
τάς τε δίκας δικάζομεν καὶ τἆλλα τὴν πόλιν διοικοῦμεν,
ἤδη φαμὲν τοῦτον ὡμολογηκέναι ἔργῳ ἡμῖν, ἃ ἂν ἡμεῖς

δὲ *ἐάν τε εἰς πόλεμον* ἀνάφερε εἰς τὸ ἑπόμενον *ποιητέον ταῦτα*

7 *οὐ δίκαια — ἃ νῦν ἐπιχειρεῖς*. Δρῶ τινά τι (ἀγαθὸν ἢ κακόν, δίκαιον ἢ ἄδικον)· τὰ *τινά τι* ἀμφότερα ἀντικείμενα. Δρῶ σε ἃ δρῶ δίκαια· τὸ *σὲ* καὶ τὸ *ἃ δρῶ* τὰ ἀντικ. τὸ δὲ *δίκαια* κατηγορ. Ἐκδέχου λοιπὸν ὧδε· «ἐπιχειρεῖς δρᾶν ἡμᾶς, ἃ νῦν ἐπιχειρεῖς, οὐ δίκαια».

11 *ὅμως προαγορεύομεν — ὅποι ἂν βούληται*. Ἀνάφερε, τὸ μὲν *Ἀθ. τῷ βουλομένῳ* εἰς τὸ *ἐξουσίαν πεποιηκέναι*, τὸ δὲ *ᾧ ἂν μὴ ἀρέσκωμεν* εἰς τὸ *ἐξεῖναι ἀπιέναι*.

15 *καὶ οὐδεὶς ἡμῶν τῶν νόμων* κτλ. Ταῦτα ἐπηνέχθησαν πρὸς διασάφησιν τοῦ παρανοήσεως ἐπιδεκτικοῦ *προαγορεύομεν ἐξεῖναι*. Πράγματι οὐδεὶς νόμος ἔκειτο *προαγορεύων* ταῦτα· ἀλλ' ἐπειδὴ οὐδ' ἀπηγόρευεν οὐδεὶς νόμος, οὐδ ἦτο ἐμποδών, τοῦτο ἰσοδυνάμει πρὸς σιωπηρὰν (ὡς λέγουσι σήμερον οἱ νομικοὶ) ἄδειαν τοῦ ἀπιέναι.

16 *εἰς ἀποικίαν — μετοικεῖν*. Ἐκεῖνο μὲν = ἰέναι εἰς Ἀθηναϊκὴν ἀποικίαν ὁμοφύλων, τοῦτο δὲ = ἰέναι εἰς ξένην πόλιν Ἑλληνίδα ἢ καὶ βάρβαρον, ὡς μέτοικον.

21 *ὡμολογηκέναι ἔργῳ*. Προσέθηκε τὸ *ἔργῳ*, διότι αἱ ὁμολογίαι συνήθως διὰ λόγου γίνονται· ἐνταῦθα δὲ κατ'

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κελεύωμεν, ποιήσειν ταῦτα, καὶ τὸν μὴ πειθόμενον τριχῇ φαμεν ἀδικεῖν, ὅτι τε γεννηταῖς οὖσιν ἡμῖν οὐ πείθεται, καὶ ὅτι τροφεῦσι, καὶ ὅτι ὁμολογήσας ἦ μὴν πείθεσθαι οὔτε
52 πείθεται οὔτε πείθει ἡμᾶς, εἰ μὴ καλῶς τι ποιοῦμεν, προτιθέντων ἡμῶν καὶ οὐκ ἀγρίως ἐπιταττόντων ποιεῖν ἃ ἂν κελεύωμεν, ἀλλὰ ἀφιέντων δυοῖν θάτερα, ἢ πείθειν ἡμᾶς ἢ ποιεῖν, τούτων οὐδέτερα ποιεῖ.

ΙΔ'. Ταύταις δή φαμεν καὶ σέ, ὦ Σώκρατες, ταῖς αἰτίαις ἐνέξεσθαι, εἴπερ ποιήσεις ἃ ἐπινοεῖς, καὶ οὐχ ἥκιστα Ἀθηναίων σέ, ἀλλ' ἐν τοῖς μάλιστα». Εἰ οὖν ἐγὼ εἴποιμι, διὰ τί δή; ἴσως ἄν μου δικαίως καθάπτοιντο λέγοντες, ὅτι ἐν τοῖς μάλιστα Ἀθηναίων ἐγὼ αὐτοῖς ὡμολογηκὼς τυγχάνω ταύτην τὴν ὁμολογίαν. φαῖεν γὰρ ἂν ὅτι «Ὦ Σώ-
B κρατες, μεγάλα ἡμῖν τούτων τεκμήριά ἐστιν, ὅτι σοι καὶ ἡμεῖς ἠρέσκομεν καὶ ἡ πόλις· οὐ γὰρ ἄν ποτε τῶν ἄλλων Ἀθηναίων ἁπάντων διαφερόντως ἐν αὐτῇ ἐπεδήμεις, εἰ μή σοι διαφερόντως ἤρεσκεν, καὶ οὔτ' ἐπὶ θεωρίαν πώποτ' ἐκ τῆς πόλεως ἐξῆλθες, ὅτι μὴ ἅπαξ εἰς Ἰσθμόν, οὔτε ἄλλοσε

ἐξαίρεσιν δι' ἔργου, διὰ τῆς μὴ μετοικήσεως ἀλλὰ παραμονῆς ἐν τῇ πόλει.

2 *γεννηταῖς*. Γεννηταὶ = οἱ γεννήτορες· γεννῆται = ἡ τῆς αὐτῆς γενεᾶς, ἐξ ὧν συνίσταντο αἱ φρατρίαι ἐν Ἀθήναις.

3 *ἦ μήν*. Πλοκὴ συνδέσμων τιθεμένων συνήθως ἐπὶ ὁρκωμοσίας πρὸ τοῦ ἀπαρεμφ. τοῦ δηλοῦντος τὸ ὀμνυόμενον. Φαῖδρ. 236 e· «Ὄμνυμί σοι ἦ μὴν μηδέποτέ σοι ἕτερον λόγον μήτ' ἐπιδείξειν, μήτ' ἐξαγγελεῖν».

4 *προτιθέντων ἡμῶν*. Προτιθέντων αἵρεσιν τοῦ πείθειν ἢ τοῦ ποιεῖν. Τὸ αὐτὸ κατωτέρω σαφέστερον· ἀλλ' ἐφιέντων δυοῖν θάτερα.

Ἡ πρόθεσις τοῦ Πλάτωνος δὲ ἦτο οὐδὲ νὰ ἀπολογηθῇ ὑπὲρ ἑαυτοῦ, ψεγόμενος ὑπ' ἀδήλων ψεκτῶν, ὅτι ἀπέφυγε τὸ πολιτικὸν στάδιον καὶ ἠσπάσθη τὴν φιλοσοφίαν, ὡς ἰσχυρίσθη ὁ αὐτὸς Σχλεϊερμάχερος καὶ οἱ ὀπαδοὶ αὐτοῦ. Ὅτε ἔγραφε τὸν Γοργίαν ὁ Πλάτων δεν ἦτο ἀκόμη ἐξ ἐπαγγέλματος φιλόσοφος, οὐδ' εἶχεν ἀποθέσει ἀκόμη τὴν ἔννοιαν καὶ τὴν ἐλπίδα ὅτι ἐν τῷ μέλλοντι θὰ ἐπεχείρει τοῖς πολιτικοῖς πράγμασιν (1). Ὡς φιλόσοφος ἐξ ἐπαγγέλματος ἐμφανίζεται ὁ Πλάτων ἐν τοῖς ἑπομένοις διαλόγοις, ἰδίᾳ ἐν τῷ Εὐθύφρονι, ἐν τῷ Λάχητι, ἐν τῷ Μείζονι

(1) Τοῦτό μοι φαίνεται ἱκανῶς ὑποδηλούμενον ἐξ ὧν λέγει ἐν σελ. 521 a, καὶ ἑξ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἱππίᾳ, ἐν τῷ Λύσιδι, ἐν τῷ Χαρμίδῃ, καὶ ἐν μέρει ἐν τῷ Πρωταγόρᾳ καὶ τῷ Εὐθυδήμῳ. Τὸ πρῶτον δὲ ἐν τῷ Θεαιτήτῳ (1) ἀποκαλύπτει ἡμῖν τὴν ἀποχήν του ἀπὸ τῶν πολιτικῶν καὶ τὴν ἐπίδοσιν εἰς τὴν φιλοσοφίαν· ἐν δὲ τῇ Πολιτείᾳ ἐκφέρει καὶ τὴν ἀπολογίαν του (2).

Ὁ Γοργίας δὲν εἶνε φιλοσοφικόν, ἀλλὰ πολιτικὸν καὶ κοινωνικὸν σύγγραμμα, καὶ μᾶλλον κοινωνικὸν ἢ πολιτικόν, ὡς καθαπτόμενον τῶν πολιτικῶν ἀνδρῶν τῆς πόλεως μόνον ἵνα καταδείξῃ τὴν ὀλεθρίαν αὐτῶν ἐπίδρασιν ἐπὶ τῶν ἠθῶν τοῦ λαοῦ. Ὁ Γοργίας εἶνε ἠθικὸν κήρυγμα πολίτου ὅστις, ἐν συνειδήσει τῆς ὑπὲρ τοὺς ἄλλους συμπολίτας ὑπεροχῆς του κατά τε τὸ γένος καὶ τὴν παιδείαν καὶ τὴν ἀρετήν· ἐν συνειδήσει ὅτι, ἵνα καθ' Ὅμηρον εἴπω·

Οἶος πέπνυται· τοὶ δὲ σκιαὶ ἀΐσσουσιν,

αἰσθάνεται ἑαυτὸν κεκλημένον νὰ κηδεμονεύῃ τοῦ λαοῦ του, νὰ ἀποτρέπῃ αὐτὸν ἀπὸ ὀλεθρίων ἐκτροχιασμῶν καὶ νὰ προδεικνύῃ αὐτῷ τὴν ὁδὸν τῆς σωτηρίας καὶ εὐημερίας.

Ὁ Γοργίας εἶνε ἡ πλήρωσις τῆς ἐν τῇ Ἀπολογίᾳ ἐξενεχθείσης ὑπὸ Πλάτωνος προφητείας, τῆσδε· «Φημὶ γάρ, ὦ ἄνδρες, οἳ ἐμὲ ἀπεκτόνατε, τιμωρίαν ἥξειν εὐθὺς μετὰ τὸν ἐμὸν θάνατον πολὺ χαλεπωτέραν, νὴ Δία, ἢ οἵαν ἐμὲ ἀπεκτόνατε· νῦν γὰρ τοῦτο εἴργασθε οἰόμενοι ἀπαλλάξεσθαι τοῦ διδόναι ἔλεγχον τοῦ βίου, τὸ δ' ὑμῖν πολὺ ἐναντίον ἀποβήσεται, ὡς ἐγώ φημι· πλείους ἔσονται ὑμᾶς οἱ ἐλέγχοντες, οὓς νῦν ἐγὼ κατεῖχον, ὑμεῖς δὲ οὐκ ᾐσθάνεσθε, καὶ χαλεπώτεροι ἔσονται, ὅσῳ νεώτεροί εἰσι, καὶ ὑμεῖς μᾶλλον ἀγανακτήσετε. Εἰ γὰρ οἴεσθε, ἀποκτείνοντες ἀνθρώπους, ἐπισχήσειν τοῦ ὀνειδίζειν τινὰ ὑμῖν ὅτι οὐκ ὀρθῶς ζῆτε, οὐκ ὀρθῶς διανοεῖσθε· οὐ γὰρ ἔσθ' αὕτη ἡ ἀπαλλαγὴ οὔτε πάνυ δυνατή, οὔτε καλή, ἀλλ' ἐκείνη καὶ καλλίστη καὶ ῥᾴστη, μὴ τοὺς ἄλλους κολούειν, ἀλλ' ἑαυτὸν παρασκευάζειν, ὅπως ἔσται ὡς βέλτιστος».

---

(1) Θεαίτ. 173 c καὶ ἑξ.
(2) Πολιτ. 496-497.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΛΑΤΩΝΟΣ

# Γ Ο Ρ Γ Ι Α Σ

*[ἢ περὶ ῥητορικῆς· ἀνατρεπτικός.]*

---

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ St.I.

ΚΑΛΛΙΚΛΗΣ, ΣΩΚΡΑΤΗΣ, ΧΑΙΡΕΦΩΝ, p.447

ΓΟΡΓΙΑΣ, ΠΩΛΟΣ.

---

Α΄. Πολέμου καὶ μάχης φασὶ χρῆναι, ὦ Σώκρατες, 447
οὕτω μεταλαγχάνειν.

ΣΩ. Ἀλλ' ἦ, τὸ λεγόμενον, κατόπιν ἑορτῆς ἥκομεν καὶ ὑστεροῦμεν;

ΚΑΛ. Καὶ μάλα γε ἀστείας ἑορτῆς· πολλὰ γὰρ καὶ καλὰ Γοργίας ἡμῖν ὀλίγον πρότερον ἐπεδείξατο.

ΣΩ. Τούτων μέντοι, ὦ Καλλίκλεις, αἴτιος Χαιρεφῶν
ὅδε, ἐν ἀγορᾷ ἀναγκάσας ἡμᾶς διατρῖψαι. B

1 *Πολέμου καὶ μάχης* κ.τ.λ. Σύμπλεκε καὶ συμπλήρου ὧδε: «Ὦ Σώκ. φασὶ χρῆναι μεταλαγχάνειν πολέμου καὶ μάχης οὕτω, ὡς ὑμεῖς μεταλαγχάνετε τῆς τοῦ Γοργίου ἐπιδείξεως». Ὡς δῆλον καὶ ἐκ τοῦ *φασίν*, ἡ ῥῆσις ἦτο παροιμιώδης, λεγομένη ἐπὶ τῶν ὀψὲ προσερχομένων πρὸς μετάληψιν καλοῦ τινος καὶ ὠφελίμου.

3 *Ἀλλ' ἦ τὸ λεγόμενον* κ.τ.λ. Ὁ Σωκ. ἀντερωτᾷ δι' ἑτέρας παροιμίας «κατόπιν ἑορτῆς ἥκειν», ἵνα βεβαιωθῇ ἂν ὀρθῶς κατενόησε τὸν λόγον τοῦ Καλλ. Διὰ τῆς λέξεως ἑορτῆς γίνεται ὑπαινιγμὸς εἰς τὸ ἔθος τῶν Ἀθηναίων νὰ συρρέωσιν εἰς τὰς ἐπιδείξεις τοῦ Γοργίου ὡς εἰς ἑορτάς.

5 *Καὶ μάλα γε ἀστείας ἑορτῆς*. Ἀστεῖα, τὰ ἐν τῷ ἄστει ἐθιζόμενα· οἱ τρόποι, οἱ λόγοι τοῦ ἄστεως, κομψὰ ἄρα, χαρίεντα, εὐτράπελα· ὅπως ἄγροικα, οἱ τρόποι καὶ λόγοι τῶν ἐν τοῖς ἀγροῖς οἰκούντων.

6 *ἐπεδείξατο*. Ἐπιδείκνυσθαι καὶ ἐπίδειξιν ποιεῖσθαι συνειθίζετο περὶ τῶν σοφιστῶν στοχαζομένων τοῦ θαυμασμοῦ τῶν ἀκροατῶν ἐπὶ καλλιεπείᾳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΧΑΙ. Οὐδὲν πρᾶγμα, ὦ Σώκρατες· ἐγὼ γὰρ καὶ ἰάσομαι. φίλος γάρ μοι Γοργίας, ὥςτ' ἐπιδείξεται ἡμῖν, εἰ μὲν δοκεῖ, νῦν, ἐὰν δὲ βούλῃ, εἰςαῦθις.

ΚΑΛ. Τί δέ, ὦ Χαιρεφῶν; ἐπιθυμεῖ Σωκράτης ἀκοῦσαι Γοργίου;

ΧΑΙ. Ἐπ' αὐτό γέ τοι τοῦτο πάρεσμεν.

ΚΑΛ. Οὐκοῦν ὅταν βούλησθε, παρ' ἐμὲ ἥκειν οἴκαδε· παρ' ἐμοὶ γὰρ Γοργίας καταλύει καὶ ἐπιδείξεται ὑμῖν.

ΣΩ. Εὖ λέγεις, ὦ Καλλίκλεις· ἀλλ' ἆρα ἐθελήσειεν ἂν
C ἡμῖν διαλεχθῆναι; βούλομαι γὰρ πυθέσθαι παρ' αὐτοῦ, τίς ἡ δύναμις τῆς τέχνης τοῦ ἀνδρὸς καὶ τί ἐστιν ὃ ἐπαγγέλλεταί τε καὶ διδάσκει· τὴν δὲ ἄλλην ἐπίδειξιν εἰςαῦθις, ὥςπερ σὺ λέγεις, ποιησάσθω.

ΚΑΛ. Οὐδὲν οἷον τὸ αὐτὸν ἐρωτᾶν, ὦ Σώκρατες. καὶ

1 *Οὐδὲν πρᾶγμα* = τὸ ἡμέτερον: δὲν πειράζει, δὲν εἶνε τίποτε. Ὁ Χαιρεφῶν κοινωνῶν καὶ αὐτὸς τοῦ διαλόγου, ἄρχεται διὰ τρίτης παροιμίας, ἥτις εἶχεν ὧδε: *Ὁ τρώσας καὶ ἰάσεται*. Λέγεται ὅτι τὸ χρηστήριον ἀνεῖλε ταῦτα πρὸς τὸν Τήλεφον, τρωθέντα ὑπ' Ἀχιλλέως.

2 *ὥςτε ἐπιδείξεται ἡμῖν* = ἐπίδειξιν ποιήσεται. Ἐνταῦθα ἄνευ ἀντικ. ὡς καὶ Λαχ. 179 e «ὃν ὑμεῖς ἐθεάσασθε ἐπιδεικνύμενον», καὶ Ἀριστοφ. Βατρ. 772 «ὅτε δὴ κατῆλθ' Εὐριπίδης, ἐπεδείκνυτο τοῖς λωποδύταις κ. τ. λ.»

*εἰ μὲν δοκεῖ — ἐὰν δὲ βούλῃ*. Μὴ ζήτει διαφορὰν ἐνταῦθα μεταξὺ τοῦ *εἰ* καὶ ὁριστ. καὶ τοῦ *ἐὰν* καὶ ὑποτ. Εἶνε μόνον ἀποφυγὴ μονοτόνου ἐπαναλήψεως τοῦ αὐτοῦ· ὅπως καὶ τὰ *δοκεῖ* καὶ *βούλῃ* ἐνταῦθα εἶνε περίπου ἰσοδύναμα.

7 *Οὐκοῦν — παρ' ἐμὲ ἥκειν οἴκαδε*. Ἐλάμβανε τὸ *ἥκειν* ἀντὶ προστ. καὶ ὡς τὴν κυρίαν πρότασιν. Πολιτ. 508 b· «Τοῦτον τοίνυν, ἦν δ' ἐγώ, φάναι με λέγειν τὸν τοῦ ἀγαθοῦ ἔκγονον κ.τ.λ.» Ἱππ. Μ. 291 d «πρὸς τοῦτο φάναι ἐμὲ μηδ' ὁτιοῦν ἐπαΐειν». Θουκ. Ε', 9 «Σὺ δέ, Κλεαρίδα, . . . ἐπεχθεῖν καὶ ἐπείγεσθαι».

10 *διαλεχθῆναι*. Ἀντίκειται πρὸς τὸ ἐπιδείξασθαι. «Καλῶς λέγεις, ὦ Καλλ. περὶ τῆς *ἐπιδείξεως* ἀλλὰ τί φρονεῖς περὶ *διαλέξεως*; θὰ ἦτο ἆρά γε ὁ Γορ. διατεθειμένος (ἐν τῷ παρόντι) νὰ διαλεχθῇ πρὸς ἡμᾶς (νὰ τὸν ἐρωτήσωμεν καὶ να μᾶς ἀποκριθῇ βραχέα τινά); Ὁ Σωκρ. ἔκρινεν ἀναγκαῖον νὰ ἐρωτήσῃ ἰδίᾳ περὶ διαλέξεως, διότι συνήθως οἱ σοφισταὶ ἀπεστρέφοντο τὸν διάλογον τὸν διὰ τῶν ἀπολύτως ἀναγκαίων λέξεων γινόμενον, ὡς μὴ παρέχοντα στάδιον ἐπιδείξεως εὐρυμαθείας καὶ καλλιεπείας. Πρβλ. Γορ. 448 d, 449 b, 462 d. Πρωταγ 334 a-338 a.

14 *Οὐδὲν οἷον τὸ αὐτὸν ἐρωτᾶν*. = Οὐδεν ἐστι τοιοῦτον, οἷον τὸ ἐρωτᾶν αὐτόν· τίποτε καλλίτερον παρα νὰ τὸν ἐρωτᾷ τις· τὸ δέχεται, εὐχαριστεῖται νὰ τὸν ἐρωτᾷ τις. Δια τούτων ὁ Καλλ. βεβαιοῖ τὸν Σωκ. ὅτι προθύμως ὁ Γοργ. θὰ διαλεχθῇ πρὸς αὐτούς. (Πρβλ. σημ. εἰς σελ. 481 b).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γὰρ αὐτῷ ἐν τοῦτ' ἦν τῆς ἐπιδείξεως· ἐκέλευε γοῦν νῦν δὴ ἐρωτᾶν ὅ τι τις βούλοιτο τῶν ἔνδον ὄντων, καὶ πρὸς ἅπαντα ἔφη ἀποκρινεῖσθαι.

ΣΩ. Ἦ καλῶς λέγεις. ὦ Χαιρεφῶν, ἐροῦ αὐτόν.

ΧΑΙ. Τί ἔρωμαι;

ΣΩ. Ὅςτις ἐστίν.

ΧΑΙ. Πῶς λέγεις;

ΣΩ. Ὥςπερ ἂν εἰ ἐτύγχανεν ὢν ὑποδημάτων δημιουρ- D
γός, ἀπεκρίνατο ἂν δή πού σοι ὅτι σκυτοτόμος· ἢ οὐ μανθάνεις ὡς λέγω;

Β'. ΧΑΙ. Μανθάνω καὶ ἐρήσομαι. — Εἰπέ μοι, ὦ Γορ-

1 *ἐκέλευε γοῦν*. Μετά τινα ἀπόφανσιν τοῦ λέγοντος, ὅταν οὗτος ὑποπτεύῃ ὅτι οἱ ἀκούοντες δὲν τὴν ἀποδέχονται ἀναμφισβητήτως, ἐπιφέρει πρότασιν διὰ τοῦ *γοῦν* δηλοῦσαν τὸ ἀναμφισβήτητον γεγονός, ἐξ οὗ ὡρμήθη νὰ ἐκφέρῃ τὸν ἰσχυρισμὸν ἐκεῖνον· ἀλλ' οὕτως ὥστε καὶ αὐτὸς ὁ λέγων δὲν ἀποδίδει πλήρη ἀποδεικτικὴν δύναμιν εἰς τὴν διὰ τοῦ *γοῦν* πρότασιν. Θουκ. Α',74, 3. Ὁ Ἀθηναῖος ἰσχυρίζεται τάδε· «Ἐπειδὴ ἐδείσατε ὑπὲρ ὑμῶν καὶ οὐχ ἡμῶν τὸ πλέον, ἐβοηθήσατε». Οἱ Σπαρτιᾶται θὰ εἶχον νὰ ἀντείπωσι: Πόθεν ἠξεύρεις τοῦτο; Ὁ Ἀθ. ἀποκρίνεται: Ἰδοὺ πόθεν τὸ συμπεραίνω· «ὅτε γοῦν ἦμεν ἔτι σῶοι οὐ παρεγένεσθε»· (ἐκ τούτου μοι φαίνεται ὅτι δικαιοῦμαι νὰ ἰσχυρίζωμαι ὅ τι προεῖπον). Ὅταν ὁ λέγων εἰς τὴν ἐπιφερομένην ἀποδεικτικὴν πρότασιν ἀποδίδῃ πλήρη ἀποδεικτ. δύναμιν, τότε μεταχειρίζεται τὸ *γάρ*· καὶ αὕτη εἶνε ἡ διαφορὰ μεταξὺ *γοῦν* καὶ *γάρ*. Ἂς λάβωμεν ἓν παράδειγμα ἐκ τῆς σημερινῆς: «Δὲν ἐσήμανεν ὁ κώδων· ἐγὼ τοὐλάχιστον δὲν τὸν ἤκουσα» καὶ «Δὲν ἐσήμανεν ὁ κώδων· διότι ἐγὼ δὲν τὸν ἤκουσα».

*νῦν δή* = τώρα δά, δηλ. μετὰ τὸ πέρας τοῦ ἐπιδεικτ. λόγου, ὡς ἄλλον τρόπον ἐπιδείξεως, γινομένης δι' ἑτοίμου ἀποκρίσεως πάσης δήποτε ἐρωτήσεως.

4 *ἐροῦ αὐτόν*. Προστακτ. ἀορ. β' τοῦ *ἐρωτῶ*. Παρὰ Πλ. ἐρωτῶ, ἠρώτηκα, ἐρωτήσω καὶ ἐρήσομαι, ἠρώτησα καὶ ἠρόμην.

6 *ὅςτις ἐστίν*. Δηλ. τίς ἐστι. Ὁ Σωκ. ἐνταῦθα καὶ ἐν τοῖς ἑπομένοις διαστέλλει ὀξέως τὸ *τίς* τοῦ *ποῖος*. Κατὰ κανόνα διὰ μὲν τοῦ *τίς* ἐρωτᾶται περὶ τῆς οὐσίας, διὰ δὲ τοῦ *ποῖος* περὶ τοῦ ποιοῦ. Ἡ οὐσία προχείρως μὲν δηλοῦται διὰ τοῦ οὐσιαστικοῦ ἢ τοῦ κυρίου ὀνόματος τοῦ προσώπου ἢ τοῦ πράγματος, ἐπιστημονικῶς δὲ διὰ τοῦ ὁρισμοῦ, οὗτινος εἶνε ὅ ὡς ἀνεπίδεκτα τὰ πρόσωπα καὶ ἐν γένει τὰ καθ' ἕκαστον ἢ τὰ ἄτομα· διότι ὁ ὁρισμὸς εἶνε πάντοτε τινὸς τῶν καθόλου, οἷον τοῦ ἵππου ὁρισμός, οὐχὶ δὲ τοῦδε τοῦ ἵππου τοῦ πρὸ τῶν ὀφθαλμῶν ἡμῶν. Ἐν τούτοις οὐσία καὶ ποιότης δὲν εἶνε πάντοτε εὐδιάσταλτα· διὰ τοῦτο καὶ πολλὰ ὀνόματα δυσκόλως δύναταί τις νὰ εἴπῃ ἂν εἶνε οὐσιαστικὰ ἢ ἐπίθετα, ἰδίως τὰ τῶν ἐπαγγελμάτων: ἰατρός, παιδοτρίβης, χαλκεύς, ῥήτωρ· διὰ τοῦτο καὶ ὅπου δὲν ἐπιδιώκει τις φιλοσοφικὴν ἀκριβολογίαν, ἐνδέχεται πολλαχοῦ νὰ μεταχειρίζηται ἀδιαφόρως τὸ *τίς* ἢ τὸ *ποῖος*. Ἐντεῦθεν τὸ ποιός; παρ' ἡμῖν κατέλαβε τὴν θέσιν τοῦ τίς;

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γία, ἀληθῆ λέγει Καλλικλῆς ὅδε, ὅτι ἐπαγγέλλει ἀποκρίνεσθαι ὅ τι ἄν τίς σε ἐρωτᾷ;

448 ΓΟΡ. Ἀληθῆ, ὦ Χαιρεφῶν· καὶ γὰρ νῦν δὴ αὐτὰ ταῦτα ἐπηγγελλόμην, καὶ λέγω ὅτι οὐδείς μέ πω ἠρώτηκε καινὸν οὐδὲν πολλῶν ἐτῶν.

ΧΑΙ. Ἦ που ἄρα ῥᾳδίως ἀποκρίνει, ὦ Γοργία.

ΓΟΡ. Πάρεστι τούτου πεῖραν, ὦ Χαιρεφῶν, λαμβάνειν.

ΠΩΛ. Νὴ Δία, ἂν δέ γε βούλῃ, ὦ Χαιρεφῶν, ἐμοῦ — Γοργίας μὲν γὰρ καὶ ἀπειρηκέναι μοι δοκεῖ· πολλὰ γὰρ ἄρτι διελήλυθεν.

ΧΑΙ. Τί δέ, ὦ Πῶλε; οἴει σὺ κάλλιον ἂν Γοργίου ἀποκρίνασθαι;

B ΠΩΛ. Τί δὲ τοῦτο, ἐὰν σοί γε ἱκανῶς;

ΧΑΙ. Οὐδέν· ἀλλ' ἐπειδὴ σὺ βούλει, ἀποκρίνου.

ΠΩΛ. Ἐρώτα.

ΧΑΙ. Ἐρωτῶ δή. εἰ ἐτύγχανε Γοργίας ἐπιστήμων ὢν τῆς τέχνης ἧσπερ ὁ ἀδελφὸς αὐτοῦ Ἡρόδικος, τίνα ἂν αὐτὸν ὠνομάζομεν δικαίως; οὐχ ὅπερ ἐκεῖνον;

4 *οὐδείς με — πολλῶν ἐτῶν* = οὐδεὶς ἀκόμη μέχρι τοῦδε ἀπὸ πολλῶν, ἢ ἐν διαστήματι πολλῶν ἐτῶν. Φαῖδρ. 248 c «οὐχ ἀφικνεῖται ἐτῶν μυρίων». Ἀλκ. Α΄, 103 a «ἐγὼ δὲ τοσούτων ἐτῶν οὐδὲ προσεῖπον».

*καινόν*· δηλ. τοιοῦτον ὅπερ ἐγὼ νὰ ἀγνοῶ.

8 *ἐμοῦ*. Συμπλήρου ὧδε· ἐὰν δέ γε βούλῃ πεῖραν ἐμοῦ λαμβάνειν . . . καὶ νόει ἀποσιώπησιν τῆς ἀποδόσεως.

9 *καὶ ἀπειρηκέναι*. Ἀπαγορεύω, ἀπείρηκα, ἀπερῶ, ἀπεῖπον. Ὁ *καὶ* ὑποσημαίνει ὅτι καὶ ἄλλοι λόγοι πρὸς τῷ ἀπειρηκέναι ὑπάρχουσι, μὴ δηλούμενοι. Ὁμοίως καὶ ἡμεῖς· «Μοῦ φαίνεται πῶς καὶ νὰ ἐκουράσθηκες ὀλίγον».

16 *ἐπιστήμων τῆς τέχνης* = ἂν ἤξευρε τὴν τέχνην. Κατωτέρω ἐπὶ τῆς αὐτῆς σημασίας «ἔμπειρος τέχνης». Δὲν πρόκειται περὶ τῆς *ἐπιστήμης* ἐνταῦθα, ἥτις συνήθως ἀντιτίθεται εἰς τὴν τέχνην καὶ εἰς τὴν ἐμπειρίαν.

Τὰ παραδείγματα τοῦ ἰατροῦ καὶ τοῦ ζωγράφου χρησιμεύουσιν ὡς ὑφήγησις εἰς τὸν Π. ποίαν πρέπει νὰ δώσῃ ἀπόκρισιν, δηλ. δηλωτικὴν τοῦ ἐπαγγέλματος τοῦ Γοργίου, ὅπερ τρόπον τινὰ ἀποτελεῖ τὴν οὐσίαν αὐτοῦ, οὐχὶ δὲ τῆς ποιότητος αὐτοῦ, ἂν ἀγαθὸς ἢ κακός, ἔξοχος ἢ κοινός. Καὶ ταῦτα δι' ἣν προεῖπον ἀσάφειαν τῆς διὰ τοῦ *τίς* ἐρωτήσεως.

17 *Ἡρόδικος*. Ὅτι ὁ Γοργ. εἶχεν ἀδελφὸν ἰατρὸν Ἡρόδικον, μόνον ἐνθένδε γινώσκομεν. Διασταλτέος τοῦ Σηλυμβριανοῦ Ἡροδίκου, ὡς ἤδη παραινεῖ καὶ ὁ Σχολιαστής.

ΠΩΛ. Πάνυ γε.

ΧΑΙ. Ἰατρὸν ἄρα φάσκοντες αὐτὸν εἶναι καλῶς ἂν ἐλέγομεν;

ΠΩΛ. Ναί.

ΧΑΙ. Εἰ δέ γε ἧςπερ Ἀριστοφῶν ὁ Ἀγλαοφῶντος ἢ ὁ ἀδελφὸς αὐτοῦ ἔμπειρος ἦν τέχνης, τίνα ἂν αὐτὸν ὀρθῶς ἐκαλοῦμεν;

ΠΩΛ. Δῆλον ὅτι ζωγράφον. C

ΧΑΙ. Νῦν δ' ἐπειδὴ τίνος τέχνης ἐπιστήμων ἐστί, τίνα ἂν καλοῦντες αὐτὸν ὀρθῶς καλοῖμεν;

ΠΩΛ. Ὦ Χαιρεφῶν, πολλαὶ τέχναι ἐν ἀνθρώποις εἰσὶν ἐκ τῶν ἐμπειριῶν ἐμπείρως εὑρημέναι· ἐμπειρία μὲν γὰρ ποιεῖ τὸν αἰῶνα ἡμῶν πορεύεσθαι κατὰ τέχνην, ἀπειρία δὲ κατὰ τύχην· ἑκάστων δὲ τούτων μεταλαμβάνουσιν ἄλλοι ἄλλων ἄλλως, τῶν δὲ ἀρίστων οἱ ἄριστοι· ὧν καὶ Γοργίας ἐστὶν ὅδε, καὶ μετέχει τῆς καλλίστης τῶν τεχνῶν.

11 *Ὦ Χαιρεφῶν* κ. τ. λ. Ὁ λόγος οὗτος τοῦ Πώλου εἶνε δεῖγμα τῆς τῶν σοφιστῶν ἐν οὐ δέοντι μακρολογίας μετὰ πάντων τῶν ῥητορικῶν σχημάτων «*τῶν ἀντιθέσεων καὶ τῶν παρισώσεων καὶ τῶν ἄλλων ἰδεῶν τῶν ἐν ταῖς ῥητορείαις διαλαμπουσῶν καὶ τοὺς ἀκούοντας ἐπισημαίνεσθαι καὶ θορυβεῖν ἀναγκαζουσῶν*» ὡς λέγει ὁ οὐχ ἧττον σοφιστὴς Ἰσοκράτης Παναθ. ἐν ἀρχῇ. Ὁ Ἀριστ. Μτφσ. Α', 1 μνημονεύει τοὺς λόγους τούτους τοῦ Πώλου. «Ἡ μὲν γὰρ ἐμπειρία τέχνην ἐποίησεν, ὥς φησι Πῶλος, ὀρθῶς λέγων, ἡ δ' ἀπειρία τύχην». Φαίνεται ὅτι ταῦτα ἢ τοιαῦτα ἔγραφεν ὁ Πῶλος ἐν τῷ συγγράμματι τῷ μνημονευομένῳ κατωτέρω 462 b, ἐξ οὗ ἔλαβον ταῦτα ὅ τε Πλάτων κα ὁ Ἀριστοτέλης.

Ἡ γνώμη τοῦ Πώλου, ἣν καὶ ὁ Ἀριστ. ἐπαινεῖ, εἶνε τῷ ὄντι ἐμβριθεστάτη. Ἡ ἐμπειρία γεννᾷ τὴν τέχνην, δηλ. ἄγει τὸν ἄνθρωπον εἰς τὸ νὰ συλλάβῃ καὶ κατανοήσῃ τοὺς ἀϊδίους νόμους τοὺς διέποντας τά τε φυσικὰ καὶ τὰ ἀνθρώπινα φαινόμενα, καὶ ὑπὸ τούτων ὁδηγούμενος νὰ προορᾷ τὰ μέλλοντα νὰ προκύψωσιν ἐκ τοιᾶςδε προϋπαρχούσης καταστάσεως ἢ ἐνεργείας, προορῶν δὲ νὰ τεχνάζηται ὥστε νὰ ἀποτρέπωνται μὲν τὰ ἀσύμφορα καὶ βλαβερά, συμβαίνωσι δὲ τὰ συμφέροντα. Ἡ τοιαύτη δὲ μετὰ λόγου πρακτικὴ ἐνέργεια τοῦ ἀνθρώπου εἶνε κατὰ Πλ. καὶ Ἀριστοτ. ἡ τέχνη. Ἀριστ. Ἀναλυτ. Ὑστ. Β', 19. «Ἐκ δ' ἐμπειρίας ἢ ἐκ παντὸς ἠρεμήσαντος τοῦ καθόλου ἐν τῇ ψυχῇ, τοῦ ἑνὸς παρὰ τὰ πολλά, ὃ ἂν ἐν ἅπασιν ἓν ἐνῇ ἐκείνοις τὸ αὐτό, (οὓς εἶπον ἐγὼ ἀϊδίους νόμους) τέχνης ἀρχὴ καὶ ἐπιστήμης, ἐὰν μὲν περὶ γένεσιν, τέχνης, ἐὰν δὲ περὶ τὸ ὄν, ἐπιστήμης».

13 *ἀπειρία δὲ κατὰ τύχην*. Τῷ ἀπείρῳ καὶ μὴ ἐπισταμένῳ να προορᾷ τὰ ἐπισυμβησόμενα μηδὲ νὰ ῥυθμίζῃ τὸν ῥοῦν τῶν πραγμάτων πρὸς τὸ συμφέρον του, ἐπέρχονται καὶ τὰ ἀγαθὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

D Γ΄. ΣΩ. Καλῶς γε, ὦ Γοργία, φαίνεται Πῶλος παρεσκευάσθαι εἰς λόγους· ἀλλὰ γὰρ ὃ ὑπέσχετο Χαιρεφῶντι οὐ ποιεῖ.

ΓΟΡ. Τί μάλιστα, ὦ Σώκρατες;

ΣΩ. Τὸ ἐρωτώμενον οὐ πάνυ μοι φαίνεται ἀποκρίνεσθαι.

ΓΟΡ. Ἀλλὰ σύ, εἰ βούλει, ἐροῦ αὐτόν.

ΣΩ. Οὔκ, εἰ αὐτῷ γε σοὶ βουλομένῳ ἐστὶν ἀποκρίνεσθαι, ἀλλὰ πολὺ ἂν ἥδιον σέ. δῆλος γάρ μοι Πῶλος καὶ E ἐξ ὧν εἴρηκεν, ὅτι τὴν καλουμένην ῥητορικὴν μᾶλλον μεμελέτηκεν ἢ διαλέγεσθαι.

ΠΩΛ. Τί δή, ὦ Σώκρατες;

ΣΩ. Ὅτι, ὦ Πῶλε, ἐρομένου Χαιρεφῶντος τίνος Γοργίας ἐπιστήμων τέχνης, ἐγκωμιάζεις μὲν αὐτοῦ τὴν τέχνην, ὥςπερ τινὸς ψέγοντος, ἥτις δέ ἐστιν οὐκ ἀπεκρίνω.

ΠΩΛ. Οὐ γὰρ ἀπεκρινάμην ὅτι εἴη ἡ καλλίστη;

ΣΩ. Καὶ μάλα γε· ἀλλ' οὐδεὶς ἐρωτᾷ ποία τις εἴη ἡ

καὶ τὰ κακὰ ὅπως τὰ φέρει ἡ τύχη.

2 *ἀλλὰ γάρ*. Καλῶς μέν, ἀλλ' οὐκ ὀρθῶς λέγει· οὐ γὰρ ποιεῖ ὃ ὑπέσχετο Χαιρεφῶντι. Ἐπιθι πρκβλ. εἰς Ἀπολ. 20 c.

4 *Τί μάλιστα, ὦ Σώκ.;* Τὸ μάλιστα ἐπὶ ἐρωτ. ὅταν δὲν ἐπιζητῇ τις τὸ ἀκριβές, ἀλλ' ἀρχῆται νὰ μάθῃ τὸ περίπου, ἐπάνω κάτω. Κρίτ. 43 a· «Πηνίκα μάλιστα;».

5 *οὐ πάνυ μοι φαίνεται ἀποκρίνεσθαι*. Τὸ φαίνεται μετ' ἀπαρεμφ. σημαίνει ὅ τι περίπου καὶ τὸ *δοκεῖ*· ὁ λέγων δηλοῖ τὴν δοξασίαν του, χωρὶς νὰ ἐπιβεβαιοῖ καὶ τὸ ἀληθὲς αὐτῆς· μετὰ μετοχῆς δὲ τὸ ἀναμφισβητήτως φανερὸν καὶ ἀποδεδειγμένον. Ἱππ. Ἐλ. 372 b· «φαίνομαι οὐδὲν εἰδώς» = ἐλέγχομαι, ἀποδεικνύομαι ὅτι δὲν γνωρίζω τίποτε. Καὶ ἡ ἡμετέρα γλῶσσα διαστέλλει ἀμυδρῶς τὰς δύο συντάξεις, τὸ μὲν ἀπαρέμφ. ἀποδίδουσα διὰ τοῦ *νά*, «*φαίνεται νὰ εἶνε νηστικός*», τὴν δὲ μετοχὴν διὰ τοῦ *ὅτι* ἢ διὰ τοῦ: *εἶνε φανερὸν ὅτι*. Ἐν τῷ προκειμένῳ ἥρμοζε μᾶλλον ἡ μετοχή· ἀλλ' ὁ Σωκ. ἐπίτηδες ἀποφεύγει νὰ παραστήσῃ τὴν γνώμην του ὡς ἀναμφισβήτητον, μετριοφρονῶν.

7 *Οὐκ, εἰ αὐτῷ γε σοι* κ.τ.λ. Οὐ βούλομαι ἐρωτᾶν Πῶλον, εἰ αὐτῷ γε σοὶ βουλομένῳ ἐστὶν ἀποκρίνεσθαι· ἀλλὰ πολὺ ἂν ἥδιον σὲ ἐρωτῴην. Ἔστι μοι βουλομένῳ = βούλομαι· ἔστι μοι ἡδομένῳ = ἥδομαι κ.τ.τ.

9 *ὅτι τὴν καλουμένην ῥητορικὴν* κ.τ.λ. Καὶ ἐνταῦθα ἐπιμελεῖται ὁ Πλ. νὰ διαστέλλῃ τὴν ῥητορικὴν τῆς διαλεκτικῆς, ὡς ἀντίθετα.

11 *Τί δή, ὦ Σώκ.* Ἐρώτησις δηλωτικὴ παντελοῦς ἀπορίας. = Τί βούλει εἰπεῖν ταῦτα λέγων; οὐ γὰρ ἐννοῶ.

12 *Ὅτι, ὦ Πῶλε*. = Τοῦτο βούλομαι εἰπεῖν, ὅτι κ.τ.λ.

15 *Οὐ γὰρ ἀπεκρινάμην* κ.τ.λ. = Θαυμάζω, ὦ Σώκ., οἷα λέγεις· ἀπε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Γοργίου τέχνη, ἀλλὰ τίς καὶ ὅντινα δέοι καλεῖν τὸν Γορ-
γίαν. ὥςπερ τὰ ἔμπροσθέν σοι ὑπετείνατο Χαιρεφῶν καὶ
αὐτῷ καλῶς καὶ διὰ βραχέων ἀπεκρίνω, καὶ νῦν οὕτως 449
εἰπέ, τίς ἡ τέχνη καὶ τίνα Γοργίαν καλεῖν χρὴ ἡμᾶς. μᾶλλον δέ, ὦ Γοργία, αὐτὸς ἡμῖν εἰπέ, τίνα σε χρὴ καλεῖν ὡς τίνος ἐπιστήμονα τέχνης.

ΓΟΡ. Τῆς ῥητορικῆς, ὦ Σώκρατες.

ΣΩ. Ῥήτορα ἄρα χρή σε καλεῖν;

ΓΟΡ. Ἀγαθόν γε, ὦ Σώκρατες, εἰ δὴ ὅ γε εὔχομαι εἶναι, ὡς ἔφη Ὅμηρος, βούλει με καλεῖν.

ΣΩ. Ἀλλὰ βούλομαι.

ΓΟΡ. Κάλει δή.

ΣΩ. Οὐκοῦν καὶ ἄλλους σε φῶμεν δυνατὸν εἶναι ποιεῖν; B

ΓΟΡ. Ἐπαγγέλλομαί γε δὴ ταῦτα οὐ μόνον ἐνθάδε ἀλλὰ καὶ ἄλλοθι.

ΣΩ. Ἆρ' οὖν ἐθελήσαις ἄν, ὦ Γοργία, ὥςπερ νῦν διαλεγόμεθα, διατελέσαι τὸ μὲν ἐρωτῶν, τὸ δ' ἀποκρινόμενος, τὸ δὲ μῆκος τῶν λόγων τοῦτο, οἷον καὶ Πῶλος ἤρξατο, εἰςαῦθις ἀποθέσθαι; ἀλλ' ὅπερ ὑπισχνεῖ, μὴ ψεύσῃ,

κρινάμην γὰρ κ.τ.λ. Διὰ τούτων γίνεται φανερὸς ὁ Π. ὅτι δὲν ἐννοεῖ τὴν διαφορὰν τοῦ *τίς* καὶ *ποῖος*.

2 *σοι ὑπετείνατο*. Ὑποτείνομαί τινί τι = ὑποβάλλω, ὑφηγοῦμαι. Ἐννοεῖ τὰ παραδείγματα τοῦ ἰατροῦ καὶ τοῦ ζωγράφου, δι' ὧν ὁ Χαιρεφῶν ὑφηγεῖτο αὐτῷ, ποίαν προσδοκᾷ καὶ τὴν περὶ Γοργίου ἀπόκρισιν.

9 *Ἀγαθόν γε*. Ἀγαθὸν ῥήτορα δηλ. Ὁ Γοργ. δὲν ηὐχαριστήθη ὅτι ὁ Σωκ. τὸν ὠνόμασε ξηρῶς *ῥήτορα*, καὶ διορθοῖ τὸν Σωκ. ἁμαρτάνοντα περὶ τὴν ἐθιμοτυπίαν, ὅπως αἱ μητέρες διδάσκουσι τὰ παιδία νὰ μὴ λέγωσιν ἁπλῶς: διδάσκαλε, γραμματεῦ, ἀλλά: κύριε διδάσκαλε, κύριε γραμματεῦ.

*εἰ δή, ὅ γε εὔχομαι εἶναι*. Σύμπλεκε καὶ συμπλήρου ὧδε: εἰ δὴ βούλει με καλεῖν τοῦτο (δηλ. ἀγαθόν), ὃ εὔχομαι εἶναι, ὡς ἔφη Ὅμηρος. Τὸν Ὅμηρον παρεισάγει δι' οὐδὲν ἄλλο, ἢ διότι μετεχειρίσθη τὸ εὔχεσθαι καθ' Ὅμηρον = καυχᾶσθαι, Ἰλ. Ζ. 211· «Ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι» καὶ ἀλλαχοῦ πλεονάκις. Ὁ Πλ. θεατρίζει ἐνταῦθα τὴν μικροφιλοτιμίαν τοῦ Γοργ.

16 *Ἆρ' οὖν ἐθελήσαις ἄν*. Εὐχὴ ὑπὸ ἐρωτηματ. μορφήν. Καὶ ἡμεῖς: Δὲν μπορεῖς νὰ μοῦ κάμῃς τὴν χάριν κ.τ.λ.; ἢ Θὰ μοῦ ἔκαμνες τὴν χάριν;

18 *τὸ δὲ μῆκος τῶν λόγων τοῦτο*. Δηλ. τοῦτο ὃ συνειθίζουσιν οἱ ἐπιδεικτιῶντες ῥήτορες.

*οἷον καὶ Πῶλος ἤρξατο*. Ἐξυπάκουε: ἀποτείνειν, ἢ ἐπιδείκνυσθαι.

19 *ἀλλ' ὅπερ ὑπισχνεῖ, μὴ ψεύσῃ*.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀλλὰ ἐθέλησον κατὰ βραχὺ τὸ ἐρωτώμενον ἀποκρίνεσθαι.

ΓΟΡ. Εἰσὶ μέν, ὦ Σώκρατες, ἔνιαι τῶν ἀποκρίσεων ἀναγκαῖαι διὰ μακρῶν τοὺς λόγους ποιεῖσθαι· οὐ μὴν
C ἀλλὰ πειράσομαί γε ὡς διὰ βραχυτάτων. καὶ γὰρ αὖ καὶ τοῦτο ἕν ἐστιν ὧν φημι, μηδένα ἂν ἐν βραχυτέροις ἐμοῦ τὰ αὐτὰ εἰπεῖν.

ΣΩ. Τούτου μὴν δεῖ, ὦ Γοργία· καί μοι ἐπίδειξιν αὐτοῦ τούτου ποίησαι, τῆς βραχυλογίας, μακρολογίας δὲ εἰςαῦθις.

ΓΟΡ. Ἀλλὰ ποιήσω, καὶ οὐδενὸς φήσεις βραχυλογωτέρου ἀκοῦσαι.

Δ΄. ΣΩ. Φέρε δή· ῥητορικῆς γὰρ φῄς ἐπιστήμων τέχνης
D εἶναι καὶ ποιῆσαι ἂν καὶ ἄλλον ῥήτορα· ἡ ῥητορικὴ περί τι τῶν ὄντων τυγχάνει οὖσα, ὥςπερ ἡ ὑφαντικὴ περὶ τὴν τῶν ἱματίων ἐργασίαν· ἦ γάρ;

ΓΟΡ. Ναί.

ΣΩ. Οὐκοῦν καὶ ἡ μουσικὴ περὶ τὴν τῶν μελῶν ποίησιν.

ΓΟΡ. Ναί.

ΣΩ. Νὴ τὴν Ἥραν, ὦ Γοργία, ἄγαμαί σου τὰς ἀποκρίσεις, ὅτι ἀποκρίνει ὡς οἷόν τε διὰ βραχυτάτων.

ΓΟΡ. Πάνυ γὰρ οἶμαι, ὦ Σώκρατες, ἐπιεικῶς τοῦτο ποιεῖν.

---

Δηλ. τήρησον τὴν ὑπόσχεσίν σου ὅτι θὰ ἀποκρίνησαι τὸ ἐρωτώμενον. Ἔπιθι πρχ6λ.

3 *ἀναγκαῖαι.* = «Ἔνιαι τῶν ἀποκρίσεών εἰσι τοιαῦται, οἷαι ἀναγκάζειν τὸν ἀποκρινόμενον διὰ μακρῶν ποιεῖσθαι τοὺς λόγους». Δὲν συμβαίνει ἄρα ἐνταῦθα ἡ συνήθης τροπὴ τῆς ἀπροσώπου εἰς προσωπ. σύνταξιν. Ἂν ἀντὶ τοῦ: εἰσὶν ἀναγκαῖαι, ἐλέγετο: ἐστὶν ἀναγκαῖον, δὲν θὰ εἴχομεν ποῦ νὰ ἀναφέρωμεν τὴν αἰτιατ. *τοὺς λόγους*. Μᾶλλον συγγενεύει τὸ προκείμενον πρὸς τὸ τοῦ Κρίτ. 44 d· «Αὐτὰ δὲ δῆλα τὰ παρόντα νυνί, ὅτι οἷοί τ' εἰσὶν οἱ πολλοὶ» κ.τ.λ.

4 ***Καὶ γὰρ αὖ καὶ τοῦτο.*** Ὁ πρῶτος ***καὶ*** ἐτέθη μόνον ὅπως λάβῃ ὁ *γὰρ* 6′ θέσιν, μὴ δυνάμενος νὰ προταχθῇ. Τὸ ἑπόμενον ***αὖ καὶ*** σημαίνει ὅτι προηγήθησαν τῆς παρούσης ἄλλαι ὅμοιαι ἐπαγγελίαι τοῦ Γοργ., ἰδίως δὲ ἡ τοῦ ἀποκρίνεσθαι ὅ τι ἄν τις ἐρωτᾷ.

9 ***Ἀλλὰ ποιήσω.*** Προσυπάκουε: ταῦτα, δηλ. ἀποκρινοῦμαί σοι ὡς διὰ βραχυτάτων.

11 ***Φέρε δή.*** Ὁ Σωκ. ἄρχεται τῶν ἐρωτήσεών του δι' ὧν ζητεῖ νὰ λάβῃ παρὰ Γοργ. τὸν ὁρισμὸν τῆς ῥητορικῆς. Ἡ ἑπομένη διὰ τοῦ *γὰρ* πρότασις παρενετέθη ὡς αἰτιολογία τῶν τοιούτων ἐρωτήσεων, ὑπονοουμένου ὅτι ὁ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΩ. Εὖ λέγεις. ἴθι δή μοι ἀπόκριναι οὕτω καὶ περὶ τῆς ῥητορικῆς, περὶ τί τῶν ὄντων ἐστὶν ἐπιστήμη;

ΓΟΡ. Περὶ λόγους.

ΣΩ. Ποίους τούτους, ὦ Γοργία; ἆρα οἳ δηλοῦσι τοὺς E κάμνοντας, ὡς ἂν διαιτώμενοι ὑγιαίνοιεν;

ΓΟΡ. Οὔ.

ΣΩ. Οὐκ ἄρα περὶ πάντας γε τοὺς λόγους ἡ ῥητορική ἐστιν.

ΓΟΡ. Οὐ δῆτα.

ΣΩ. Ἀλλὰ μὴν λέγειν γε ποιεῖ δυνατούς.

ΓΟΡ. Ναί.

ΣΩ. Οὐκοῦν περὶ ὧνπερ λέγειν, καὶ φρονεῖν;

ΓΟΡ. Πῶς γὰρ οὔ;

ΣΩ. Ἆρ' οὖν, καὶ ἣν νῦν δὴ ἐλέγομεν, ἡ ἰατρικὴ περὶ 450 τῶν καμνόντων δυνατοὺς εἶναι φρονεῖν καὶ λέγειν;

ΓΟΡ. Ἀνάγκη.

ΣΩ. Καὶ ἡ ἰατρικὴ ἄρα, ὡς ἔοικε, περὶ λόγους ἐστίν.

ΓΟΡ. Ναί.

ΣΩ. Τούς γε περὶ τὰ νοσήματα.

ΓΟΡ. Μάλιστα.

ΣΩΚ. Οὐκοῦν καὶ ἡ γυμναστικὴ περὶ λόγους ἐστὶ τοὺς περὶ εὐεξίαν τε τῶν σωμάτων καὶ καχεξίαν.

ΓΟΡ. Πάνυ γε.

ΣΩ. Καὶ μὴν καὶ ἄλλαι τέχναι, ὦ Γοργία, οὕτως ἔχου-

ἐπιστήμων τῆς ῥητορικῆς τέχνης εἶνε, εἴπερ τις καὶ ἄλλος, ἱκανὸς νὰ δώσῃ καὶ τὸν ὁρισμὸν αὐτῆς.

4 *Ποίους τούτους;* = Περὶ ποίους ὄντας τούτους τοὺς λόγους. Τὸ *λόγους* ὑποκ., τὸ ποίους κατηγ.

*ἆρα οἳ δηλοῦσι τοὺς κάμνοντας* κ.τ.λ. Ἡ συνήθης πρόληψις, ἀντί: οἳ δηλοῦσιν ὡς ἂν διαιτώμενοι οἱ κάμνοντες ὑγιαίνοιεν;

Διὰ τῶν παραδειγμάτων τῆς ἰατρικῆς, τῆς γυμναστικῆς καὶ τῶν ἄλλων τεχνῶν δεικνύει ὁ Σωκ. ἐπαγωγικῶς ὅτι *πᾶσα* τέχνη περὶ λόγους ἐστίν, ὅτι ἄρα ὁ ὑπὸ Γοργ. δοθεὶς ὁρισμὸς τῆς ῥητορικῆς εἶνε ἀόριστος.

12 *Οὐκοῦν περὶ ὧνπερ λέγειν καὶ φρονεῖν;* Συμπλήρου ὧδε· Οὐκοῦν ἡ ῥητορικὴ ποιεῖ δυνατοὺς καὶ φρονεῖν περὶ ἐκείνων, περὶ ὧν ποιεῖ δυνατοὺς λέγειν;



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

B σιν· ἑκάστη αὐτῶν περὶ λόγους ἐστὶ τούτους, οἳ τυγχάνουσιν ὄντες περὶ τὸ πρᾶγμα, οὗ ἑκάστη ἐστὶν ἡ τέχνη.

ΓΟΡ. Φαίνεται.

ΣΩ. Τί οὖν δή ποτε τὰς ἄλλας τέχνας οὐ ῥητορικὰς καλεῖς, οὔσας περὶ λόγους, εἴπερ ταύτην ῥητορικὴν καλεῖς, ἢ ἂν ᾖ περὶ λόγους;

ΓΟΡ. Ὅτι, ὦ Σώκρατες, τῶν μὲν ἄλλων τεχνῶν περὶ χειρουργίας τε καὶ τοιαύτας πράξεις, ὡς ἔπος εἰπεῖν, πᾶσά ἐστιν ἡ ἐπιστήμη, τῆς δὲ ῥητορικῆς οὐδέν ἐστι τοιοῦτον χειρούργημα, ἀλλὰ πᾶσα ἡ πρᾶξις καὶ ἡ κύρωσις διὰ λό-
C γων ἐστί. διὰ ταῦτ' ἐγὼ τὴν ῥητορικὴν τέχνην ἀξιῶ εἶναι περὶ λόγους, ὀρθῶς λέγων, ὡς ἐγώ φημι.

Ε'. ΣΩ. Ἆρ' οὖν μανθάνω οἵαν αὐτὴν βούλει καλεῖν; τάχα δὲ εἴσομαι σαφέστερον, ἀλλ' ἀπόκριναι· εἰσὶν ἡμῖν τέχναι. ἢ γάρ;

ΓΟΡ. Ναί.

ΣΩ. Πασῶν δέ, οἶμαι, τῶν τεχνῶν τῶν μὲν ἐργασία τὸ πολύ ἐστι καὶ λόγου βραχέος δέονται, ἔνιαι δὲ οὐδενός, ἀλλὰ τὸ τῆς τέχνης περαίνοιτο ἂν καὶ διὰ σιγῆς, οἷον γρα-
D φικὴ καὶ ἀνδριαντοποιία καὶ ἄλλαι πολλαί. τὰς τοιαύτας μοι δοκεῖς λέγειν, περὶ ἃς οὐ φῂς τὴν ῥητορικὴν εἶναι· ἢ οὔ;

ΓΟΡ. Πάνυ μὲν οὖν καλῶς ὑπολαμβάνεις, ὦ Σώκρατες.

ΣΩ. Ἕτεραι δέ γέ εἰσι τῶν τεχνῶν αἳ διὰ λόγου πᾶν περαίνουσι, καὶ ἔργου, ὡς ἔπος εἰπεῖν, ἢ οὐδενὸς προσδέονται ἢ βραχέος πάνυ, οἷον ἀριθμητικὴ καὶ λογιστικὴ καὶ γεωμετρικὴ καὶ πεττευτική γε καὶ ἄλλαι πολλαὶ τέχναι, ὧν ἔνιαι σχεδόν τι ἴσους τοὺς λόγους ἔχουσι ταῖς πράξεσιν, αἱ δὲ πολλαὶ πλείους, καὶ τὸ παράπαν πᾶσα ἡ πρᾶξις καὶ

12 *ὀρθῶς λέγων, ὡς ἐγώ φημι.* Ταῦτα ὁ Γοργ. ἐπιφέρει φιλοτιμούμενος μὴ φανῇ παρὰ τοῖς ἀκροαταῖς ὅτι ἐσφάλη περί τι.

17 *Πασῶν δέ, οἶμαι, τῶν τεχνῶν* κ.τ.λ. Ὁ Σωκ. διαιρεῖ πάσας τὰς τέχνας εἰς δύο εἴδη· εἰς τὰς τὸ πᾶν δι' ἐργασίας περαινούσας, λόγου δὲ βραχέος ἢ καὶ οὐδενὸς προσδεομένας, καὶ εἰς τὰς τὸ πᾶν διὰ λόγου περαινούσας, ἔργου δὲ βραχέος ἢ καὶ οὐδενὸς προσδεομένας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ κῦρος αὐταῖς διὰ λόγων ἐστί. τῶν τοιούτων τινά μοι E δοκεῖς λέγειν τὴν ῥητορικήν.

ΓΟΡ. Ἀληθῆ λέγεις.

ΣΩ. Ἀλλ' οὔτοι τούτων γε οὐδεμίαν οἶμαί σε βούλεσθαι ῥητορικὴν καλεῖν, οὐχ ὅτι τῷ ῥήματι οὕτως εἶπες, ὅτι ἡ διὰ λόγου τὸ κῦρος ἔχουσα ῥητορική ἐστι, καὶ ὑπολάβοι ἄν τις, εἰ βούλοιτο δυσχεραίνειν ἐν τοῖς λόγοις, τὴν ἀριθμητικὴν ἄρα ῥητορικήν, ὦ Γοργία, λέγεις; ἀλλ' οὐκ οἶμαί σε οὔτε τὴν ἀριθμητικὴν οὔτε τὴν γεωμετρίαν ῥητορικὴν λέγειν.

ΓΟΡ. Ὀρθῶς γὰρ οἴει, ὦ Σώκρατες, καὶ δικαίως ὑπο- 451 λαμβάνεις.

Ϛ'. ΣΩ. Ἴθι νῦν καὶ σὺ τὴν ἀπόκρισιν ἣν ἠρόμην διαπέρανον. ἐπεὶ γὰρ ἡ ῥητορικὴ τυγχάνει μὲν οὖσα τούτων τις τῶν τεχνῶν τῶν τὸ πολὺ λόγῳ χρωμένων, τυγχάνουσι δὲ καὶ ἄλλαι τοιαῦται οὖσαι, πειρῶ εἰπεῖν, ἡ περὶ τί ἐν λόγοις τὸ κῦρος ἔχουσα ῥητορική ἐστιν. ὥςπερ ἂν εἴ τίς με ἔροιτο ὧν νῦν δὴ ἔλεγον περὶ ἡςτινοςοῦν τῶν τεχνῶν· ὦ Σώκρατες, τίς ἐστιν ἡ ἀριθμητικὴ τέχνη; εἴποιμ' ἂν αὐτῷ, ὥςπερ σὺ ἄρτι, ὅτι τῶν διὰ λόγου τις τὸ κῦρος ἐ- B χουσῶν· καὶ εἴ με ἐπανέροιτο· τῶν περὶ τί; εἴποιμ' ἂν ὅτι τῶν περὶ τὸ ἄρτιόν τε καὶ περιττὸν [γνῶσις], ὅσα αὐτῶν ἑκάτερα τυγχάνει ὄντα. εἰ δ' αὖ ἔροιτο· τὴν δὲ λογιστικὴν τίνα καλεῖς τέχνην; εἴποιμ' ἂν ὅτι καὶ αὕτη ἐστὶ τῶν λόγων τὸ πᾶν κυρουμένων· καὶ εἰ ἐπανέροιτο· ἡ περὶ τί;

5 *οὐχ ὅτι τῷ ῥήματι οὕτως εἶπες.* Ὅρα πρχβλ. Ῥῆμα σημαίνει τὴν λέξιν κατ' ἀντίθεσιν πρὸς τὸ νόημα. Θεαίτ. 166 d· «Τὸν δὲ λόγον μὴ τῷ ῥήματί μου δίωκε, ἀλλ' ὧδε ἔτι σαφέστερον μάθε τί λέγω».

7 *εἰ βούλοιτο δυσχεραίνειν* = εἰ βούλοιτο ἐριστικῶς διαλέγεσθαι, στοχαζόμενος μᾶλλον τοῦ πῶς νὰ καταβάλῃ τὸν ἀντίπαλον, ἢ πῶς νὰ εὕρῃ τὴν ἀλήθειαν.

17 *ὥςπερ ἂν εἴ τις* κ.τ.λ. Σύμπλεκε ὧδε: ὥςπερ ἄν, εἴ τίς με ἔροιτο περὶ ἡςτινοσοῦν τῶν τεχνῶν, ὧν (ἃ;) νῦν δὴ ἔλεγον . . . εἴποιμ' ἂν αὐτῷ.

21 *τῶν περὶ τί;* Συμπλήρου ὧδε: τῶν διὰ λόγου περὶ τί τὸ κῦρος ἐχουσῶν;

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἴποιμ᾽ ἂν ὥςπερ οἱ ἐν τῷ δήμῳ συγγραφόμενοι, ὅτι τὰ μὲν
C ἄλλα καθάπερ ἡ ἀριθμητικὴ ἡ λογιστικὴ ἔχει· περὶ τὸ αὐτὸ γάρ ἐστι, τό τε ἄρτιον καὶ τὸ περιττόν· διαφέρει δὲ τοσοῦτον, ὅτι καὶ πρὸς αὑτὰ καὶ πρὸς ἄλληλα πῶς ἔχει πλήθους ἐπισκοπεῖ τὸ περιττὸν καὶ τὸ ἄρτιον ἡ λογιστική. καὶ εἴ τις τὴν ἀστρονομίαν ἀνέροιτο, ἐμοῦ λέγοντος ὅτι καὶ αὕτη λόγῳ κυροῦται τὰ πάντα, οἱ δὲ λόγοι οἱ τῆς ἀστρονομίας, εἰ φαίη, περὶ τί εἰσιν, ὦ Σώκρατες; εἴποιμ᾽ ἂν ὅτι περὶ τὴν τῶν ἄστρων φορὰν καὶ ἡλίου καὶ σελήνης, πῶς πρὸς ἄλληλα τάχους ἔχει.

ΓΟΡ. Ὀρθῶς γε λέγων σύ, ὦ Σώκρατες.

D ΣΩ. Ἴθι δὴ καὶ σύ, ὦ Γοργία. τυγχάνει μὲν γὰρ δὴ ἡ ῥητορικὴ οὖσα τῶν λόγῳ τὰ πάντα διαπραττομένων τε καὶ κυρουμένων [τις]· ἦ γάρ;

ΓΟΡ. Ἔστι ταῦτα.

ΣΩ. Λέγε δὴ τῶν περὶ τί; *τί* ἐστι τοῦτο τῶν ὄντων, περὶ οὗ οὗτοι οἱ λόγοι εἰσίν, οἷς ῥητορικὴ χρῆται;

ΓΟΡ. Τὰ μέγιστα τῶν ἀνθρωπείων πραγμάτων, ὦ Σώκρατες, καὶ ἄριστα.

1 *ὥςπερ οἱ ἐν τῷ δήμῳ συγγραφόμενοι*. Δηλ. συντόμως ἄνευ ἐπαναλήψεως τῶν κοινῶν. Περὶ τῶν ἐν τῷ δήμῳ συγγραφομένων ὅρα πρκδλ.

3 *διαφέρει δὲ τοσοῦτον* κ.τ.λ. Λογιστικὴ μὲν ἦτο ἡ σήμερον καλουμένη πρακτικὴ ἀριθμητική, δι᾽ ἧς ἐκ δεδομένων ποσῶν εὑρίσκομεν ἄλλο ποσόν, ἢ τὸ ἄθροισμα αὐτῶν, ἢ τὴν διαφοράν, ἢ τὸ γινόμενον, ἢ τὸ πηλίκον, ἢ τὸν τέταρτον ὅρον ἀναλογίας τινός· ἀριθμητικὴ δὲ ἡ σήμερον καλουμένη θεωρητικὴ ἀριθμητικὴ ἡ διδάσκουσα τὴν σχέσιν τῶν ἀριθμῶν πρὸς ἀλλήλους τῶν κατ᾽ εἶδος οὐχὶ κατὰ ποσὸν διαφερόντων, οἷον ἀρτίου πρὸς περιττόν, πολλαπλασιαστέου πρὸς πολλαπλασιαστήν, διαιρετέου πρὸς διαιρέτην κ.τ.τ.

4 *πῶς ἔχει πλήθους*. Ἡ γεν. *πλήθους* καὶ κατωτέρω *τάχους*, τὸ κατά τι· τὸ κακόζηλον «ὅσον ἀφορᾷ»· 470 e: «οὐ γὰρ οἶδα παιδείας ὅπως ἔχει καὶ δικαιοσύνης».

7 *οἱ λόγοι οἱ τῆς ἀστρονομίας*. Βραχυλογικῶς = οἱ λόγοι περὶ οὓς ἐστιν, ἢ οἷς χρῆται ἡ ἀστρονομία.

8 *εἰ φαίη*. Ἐπανάληψις τοῦ εἴ τις ἀνέροιτο.

10 *πῶς πρὸς ἄλληλα τάχους ἔχει*. Ὑποκ. τὰ ἄστρα = ποία ἡ σχέσις τῆς ταχύτητος αὐτῶν πρὸς ἄλληλα

11 *Ὀρθῶς γε λέγων σύ*. Συμπλ.: εἴποις ἂν ταῦτα.

16 *τί ἐστι τοῦτο τῶν ὄντων*. Ἐπεξήγ. τοῦ προηγουμένου: περὶ τί; Εἶνε ἡ ἀκριβὴς τοῦ ζητήματος διατύπωσις. Τὸ *τοῦτο* ὑποκ., τὸ *τί* κατηγορ.

18 *Τὰ μέγιστα* κ.τ.λ. Ἀπόκρ. εἰς τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ζ'. ΣΩ. Ἀλλ', ὦ Γοργία, ἀμφισβητήσιμον καὶ τοῦτο λέγεις καὶ οὐδέν πω σαφές. οἶμαι γάρ σε ἀκηκοέναι ἐν τοῖς συμποσίοις ᾀδόντων ἀνθρώπων τοῦτο τὸ σκολιόν, ἐν ᾧ καταριθμοῦνται ᾄδοντες, ὅτι ὑγιαίνειν μὲν ἄριστόν ἐστι, τὸ δὲ δεύτερον καλὸν γενέσθαι, τρίτον δέ, ὥς φησιν ὁ ποιητὴς τοῦ σκολιοῦ, τὸ πλουτεῖν ἀδόλως.

ΓΟΡ. Ἀκήκοα γάρ· ἀλλὰ πρὸς τί τοῦτο λέγεις;

ΣΩ. Ὅτι σοι αὐτίκ' ἂν παρασταῖεν οἱ δημιουργοὶ τού- 452
των ὧν ἐπῄνεσεν ὁ τὸ σκολιὸν ποιήσας, ἰατρός τε καὶ παιδοτρίβης καὶ χρηματιστής, καὶ εἴποι πρῶτον μὲν ὁ ἰατρὸς ὅτι, ὦ Σώκρατες, ἐξαπατᾷ σε Γοργίας· οὐ γάρ ἐστιν ἡ τούτου τέχνη περὶ τὸ μέγιστον ἀγαθὸν τοῖς ἀνθρώποις, ἀλλ' ἡ ἐμή. εἰ οὖν αὐτὸν ἐγὼ ἐροίμην· σὺ δὲ τίς ὢν ταῦτα λέγεις; εἴποι ἂν ἴσως ὅτι ἰατρός.— τί οὖν λέγεις; ἢ τὸ τῆς σῆς τέχνης ἔργον μέγιστόν ἐστιν ἀγαθόν;— πῶς γὰρ οὔ, φαίη ἂν ἴσως, ὦ Σώκρατες, ὑγίεια; τί δ' ἐστὶ μεῖζον
ἀγαθὸν ἀνθρώποις ὑγιείας; εἰ δ' αὖ μετὰ τοῦτον ὁ παιδο- B
τρίβης εἴποι ὅτι θαυμάζοιμί τἄν, ὦ Σώκρατες, καὶ αὐτός,

τί; κατηγορούμενον ἄρ. τῆς προτ. Ὁ Γοργ. ὑποπίπτει εἰς τὸ αὐτὸ ἁμάρτημα εἰς ὃ ἔμπροσθεν καὶ ὁ Πῶλος· ἐρωτώμενος, τί ἐστιν, ἀποκρίνεται, ποῖόν ἐστιν. Ἀλλ' ὁ Σωκ. φειδόμενος τοῦ Γοργ. δὲν ἐλέγχει τὴν ἀπόκρισιν αὐτοῦ ὡς ἄτοπον, ἀλλ' ὡς ἀμφισβητήσιμον, καὶ φέρει παραδείγματα ἀνθρώπων ἄλλα ἐπαγγελλομένων, οἵτινες θὰ ἠμφισβήτουν τὴν ἀξίωσιν τοῦ Γοργ.

3 *τὸ σκολιόν*. Σχολ. «Τὸ σκολιὸν τοῦτο οἱ μὲν Σιμωνίδου φασίν, οἱ δὲ Ἐπιχάρμου. Ἔστι δὲ τοιοῦτον·

Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ·
Δεύτερον δέ, φυὰν καλὸν γενέσθαι·
Τὸ δὲ τρίτον, πλουτεῖν ἀδόλως·
Τέταρτον δέ, ἡβᾶν μετὰ τῶν φίλων».

Κατὰ τοὺς σχολιαστάς, ἐν συμποσίῳ καὶ παρὰ πότον ὁ πρῶτος ᾄσας προέτεινε κλάδον δάφνης ἢ μυρσίνης πρὸς ἄλλον συμπότην, ὅντινα αὐτὸς ἐξέλεγεν· οὗτος δὲ ὤφειλε νὰ ᾄσῃ ᾆσμά τι, εἰ δὲ μή, ἐσκώπτετο ὡς ἄμουσος. Διότι λοιπὸν ἡ διαδοχὴ τῶν ᾀδόντων ἐγίνετο οὐχὶ κατὰ τὴν τάξιν τῆς κατακλίσεως αὐτῶν, ἀλλ' ἀτάκτως καὶ τρόπον τινὰ σκολιῶς, ἐντεῦθεν τὰ τοιαῦτα ᾄσματα ὠνομάσθησαν σκολιά. Καὶ αὕτη φαίνεται ἡ πιθανωτάτη γνώμη περὶ τῆς ὀνομασίας ταύτης.

5 *ὥς φησιν ὁ ποιητὴς τοῦ σκολιοῦ*. Εἶνε οἱονεὶ διαμαρτύρησις τοῦ Πλ. ὅτι δὲν ἀσπάζεται τὴν γνώμην του ὡς πρὸς τὸ γ'.

7 *Πρὸς τί τοῦτο λέγεις; — Ὅτι σοι αὐτίκα* κ. τ. λ. Βραχυλογικῶς παραλείπεται ἡ ἀρχὴ τῆς ἀποκρίσεως τοῦ Σωκρ. οὖσα τοιάδε: Λέγω ταῦτα, ἵνα ἐπενέγκω τάδε· ὅτι κ. τ. λ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἴ σοι ἔχοι Γοργίας μεῖζον ἀγαθὸν ἐπιδεῖξαι τῆς αὑτοῦ τέχνης ἢ ἐγὼ τῆς ἐμῆς· εἴποιμ' ἂν αὖ καὶ πρὸς τοῦτον· σὺ δὲ δὴ τίς εἶ, ὦ ἄνθρωπε, καὶ τί τὸ σὸν ἔργον; — παιδοτρίβης, φαίη ἄν, τὸ δ' ἔργον μού ἐστι καλούς τε καὶ ἰσχυροὺς ποιεῖν τοὺς ἀνθρώπους τὰ σώματα. μετὰ δὲ τὸν παιδοτρίβην εἴποι ἂν ὁ χρηματιστής, ὡς ἐγῷμαι, πάνυ κατα-
C φρονῶν ἁπάντων· σκόπει δῆτα, ὦ Σώκρατες, ἐάν σοι πλούτου φανῇ τι μεῖζον ἀγαθὸν ὂν ἢ παρὰ Γοργίᾳ ἢ παρ' ἄλλῳ ὁτῳοῦν. — φαῖμεν ἂν οὖν πρὸς αὐτόν· τί δὲ δή; ἦ σὺ τούτου δημιουργός; - φαίη ἄν. - τίς ὤν; - χρηματιστής. - τί οὖν; κρίνεις σὺ μέγιστον ἀνθρώποις ἀγαθὸν εἶναι πλοῦτον; φήσομεν. - πῶς γὰρ οὔκ; ἐρεῖ. - καὶ μὴν ἀμφισβητεῖ γε Γοργίας ὅδε τὴν παρ' αὐτῷ τέχνην μείζονος ἀγαθοῦ αἰτίαν εἶναι ἢ τὴν σήν, φαῖμεν ἂν ἡμεῖς. δῆλον οὖν ὅτι τὸ μετὰ
D τοῦτο ἔροιτ' ἄν· καὶ τί ἐστι τοῦτο τὸ ἀγαθόν; ἀποκρινάσθω Γοργίας. ἴθι οὖν νομίσας, ὦ Γοργία, ἐρωτᾶσθαι καὶ ὑπ' ἐκείνων καὶ ὑπ' ἐμοῦ, ἀπόκριναι τί ἐστι τοῦτο ὃ φῂς σὺ μέγιστον ἀγαθὸν εἶναι τοῖς ἀνθρώποις καὶ σὲ δημιουργὸν εἶναι αὐτοῦ.

ΓΟΡ. Ὅπερ ἐστίν, ὦ Σώκρατες, τῇ ἀληθείᾳ μέγιστον

6 *πάνυ καταφρονῶν ἁπάντων*. Καὶ τότε καὶ νῦν οἱ χρηματισταὶ φαντάζονται ὅτι κατέχουσι τὸ μέγιστον ἐν ἀνθρώποις ἀγαθόν.

*σκόπει ἐάν σοι πλούτου φανῇ* κ.τ.λ. Δὲν εἶνε ὑποθ. πρότασις, ἀλλὰ πλαγία ἐρώτησις ἐκ τοῦ *σκόπει*. Πρβλ. ὑποσημ. εἰς Κρίτ. 48 e.

12 *ἀμφισβητεῖ γε Γοργίας*. Ἀμφισβητῶ τι, ἢ περί τινος, ἢ μὴ οὕτως ἔχειν τι ἢ ὡς οὐχ οὕτως ἔχει τι. Σημαίνει λοιπὸν ἀποφάσκω τι, ὅπερ ἄλλος τις καταφάσκει. Ἐνίοτε δέ, ἀντὶ νὰ ἐξαρτηθῇ ἐκ τοῦ *ἀμφισβητεῖν* πρότασις δηλοῦσα ἐκεῖνο ὅπερ ἀποφάσκω, ἐξαρτᾶται πρότασις δηλοῦσα ἐκεῖνο τὸ ὁποῖον καταφάσκω. Οὕτως ἐνταῦθα· ἀντί· «ἀμφισβητεῖ Γοργίας μὴ εἶναι τὴν σὴν τέχνην μείζονος ἀγαθοῦ αἰτίαν ἢ τὴν παρ' ἑαυτῷ», εἶπεν: «ἀμφισβητεῖ Γοργίας εἶναι τὴν παρ' αὐτῷ τέχνην κ. τ. λ.» Ἡ τοιαύτη σύνταξις λίαν ἀήθης· διὰ τοῦτο ἐν τῇ Ἀπολογίᾳ 29 e θέλων νὰ ἐκφρασθῇ κατὰ τὸν αὐτὸν τρόπον, δὲν ἠρκέσθη εἰς τὸ *ἀμφισβητῇ* ἀλλὰ προσέθηκε τὸ *φῇ*. «Ἐάν δέ τις ὑμῶν ἀμφισβητῇ καὶ φῇ ἐπιμελεῖσθαι»=ἀμφισβητῇ πρός με λέγοντα ὡς οὐκ ἐπιμελεῖται, καὶ φῇ ἐπιμελεῖσθαι.

18 *καὶ σὲ δημιουργὸν εἶναι αὐτοῦ*. Ὡσαύτως ἀναφορ. πρότ. Ὅρα πρκβλ.

20 *Ὅπερ ἐστὶ* κ.τ.λ. Σύμπλεκε καὶ συμπλήρου ὧδε· «Ὅ φημι ἐγὼ μέγι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀγαθὸν καὶ αἴτιον ἅμα μὲν ἐλευθερίας αὐτοῖς τοῖς ἀνθρώποις, ἅμα δὲ τοῦ ἄλλων ἄρχειν ἐν τῇ αὑτοῦ πόλει ἑκάστῳ.

ΣΩ. Τί οὖν δὴ τοῦτο λέγεις;

ΓΟΡ. Τὸ πείθειν ἔγωγ' οἷόν τ' εἶναι τοῖς λόγοις καὶ ἐν E
δικαστηρίῳ δικαστὰς καὶ ἐν βουλευτηρίῳ βουλευτὰς καὶ ἐν ἐκκλησίᾳ ἐκκλησιαστὰς καὶ ἐν ἄλλῳ ξυλλόγῳ παντί, ὅστις ἂν πολιτικὸς ξύλλογος γίγνηται. καίτοι ἐν ταύτῃ τῇ δυνάμει δοῦλον μὲν ἕξεις τὸν ἰατρόν, δοῦλον δὲ τὸν παιδοτρίβην· ὁ δὲ χρηματιστὴς οὗτος ἄλλῳ ἀναφανήσεται χρηματιζόμενος καὶ οὐχ αὑτῷ, ἀλλὰ σοὶ τῷ δυναμένῳ λέγειν καὶ πείθειν τὰ πλήθη.

Η΄. ΣΩ. Νῦν μοι δοκεῖς δηλῶσαι, ὦ Γοργία, ἐγγύτατα τὴν ῥητορικὴν ἥντινα τέχνην ἡγεῖ εἶναι, καὶ εἴ τι 453
ἐγὼ συνίημι, λέγεις ὅτι πειθοῦς δημιουργός ἐστιν ἡ ῥητορική, καὶ ἡ πραγματεία αὐτῆς ἅπασα καὶ τὸ κεφάλαιον εἰς τοῦτο τελευτᾷ· ἢ ἔχεις τι λέγειν ἐπὶ πλέον τὴν ῥητορικὴν δύνασθαι ἢ πειθὼ τοῖς ἀκούουσιν ἐν τῇ ψυχῇ ποιεῖν;

ΓΟΡ. Οὐδαμῶς, ὦ Σώκρατες, ἀλλά μοι δοκεῖς ἱκανῶς ὁρίζεσθαι· ἔστι γὰρ τοῦτο τὸ κεφάλαιον αὐτῆς.

ΣΩ. Ἄκουσον δή, ὦ Γοργία· ἐγὼ γάρ, εὖ ἴσθ' ὅτι, ὡς

στον ἀγαθὸν εἶναι», ἐστὶ τοῦτο ὅπερ *τῇ ἀληθείᾳ* ἐστὶ μέγιστον ἀγαθόν. Καὶ αἴτιον ἅμα μὲν — ἅμα δέ». Ὁ Γοργ. ἀποφαίνει τὸ ἐπάγγελμά του αἴτιον δύο ἀγαθῶν ἀναιρούντων ἄλληλα. Ἐὰν δύναται νὰ καθιστᾷ ἕκαστον τῶν μανθανόντων αὐτὸ ἄρχοντα τῶν ἄλλων, δι' αὐτῆς ταύτης τῆς πράξεως καθιστᾷ τοὺς ἄλλους ἀνθρώπους δούλους τούτων· πόθεν λοιπὸν ἡ ἐλευθερία τῶν ἀνθρώπων; Ὅτι δὲν νοεῖ νόμιμον ἀρχήν, ἀλλὰ δεσποτικήν, φαίνεται ἐκ τῶν ἑπομένων: «δοῦλον μὲν ἕξεις τὸν ἰατρὸν κ. τ. λ.»

4 *Τὸ πείθειν ἔγωγε* κ.τ.λ. Ἔγωγε λέγω τοῦτο εἶναι τὸ οἷόν τ' εἶναι πείθειν κ.τ.λ. Ἀληθῶς Γοργίεια ῥήματα· ἐπίστησον ἐπὶ τὰ πάρισα καὶ τὰ ὁμόηχα καὶ ὁμοιοτέλευτα καὶ ἐπὶ τὰς ἐπαναφορὰς (δοῦλον μέν, δοῦλον δέ).

15 *ἡ πραγματεία αὐτῆς ἅπασα καὶ τὸ κεφάλαιον*. Πραγματείαν μὲν ὀνομάζει τὴν ἐν τοῖς καθ' ἕκαστον ἐνέργειαν, κεφάλαιον δὲ τὸ σύνολον τῶν ἐπὶ μέρους ἐνεργειῶν, τρόπον τινὰ τὴν *συνισταμένην* τῶν ἐπὶ μέρους δυνάμεων, ὡς θὰ ἔλεγον οἱ φυσικοὶ σήμερον.

16 *ἢ ἔχεις τι λέγειν*. Σύμπλ. ὧδε· «Ἢ ἔχεις λέγειν τὴν ῥητορικὴν δύνασθαί τι ἐπὶ πλέον ἢ ποιεῖν πειθὼ τοῖς ἀκούουσιν ἐν τῇ ψυχῇ;»

20 *ἐγὼ γὰρ — καὶ ἐμὲ εἶναι τούτων ἕνα* Σύμπλεκε ὧδε· «Εὖ ἴσθι ὅτι, ὡς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

B ἐμαυτὸν πείθω, εἴπερ τις ἄλλος ἄλλῳ διαλέγεται βουλόμενος εἰδέναι αὐτὸ τοῦτο περὶ ὅτου ὁ λόγος ἐστί, καὶ ἐμὲ εἶναι τούτων ἕνα· ἀξιῶ δὲ καὶ σέ.

ΓΟΡ. Τί οὖν δή, ὦ Σώκρατες;

ΣΩ. Ἐγὼ ἐρῶ νῦν. ἐγὼ τὴν ἀπὸ τῆς ῥητορικῆς πειθώ, ἥτις ποτ' ἐστὶν ἣν σὺ λέγεις καὶ περὶ ὥντινων πραγμάτων ἐστὶ πειθώ, σαφῶς μὲν εὖ ἴσθ' ὅτι οὐκ οἶδα, οὐ μὴν ἀλλ' ὑποπτεύω γε ἣν οἶμαί σε λέγειν καὶ περὶ ὧν· οὐδὲν μέντοι ἧττον ἐρήσομαί σε, τίνα ποτὲ λέγεις τὴν πειθὼ τὴν
C ἀπὸ τῆς ῥητορικῆς καὶ περὶ τίνων αὐτὴν εἶναι. τοῦ οὖν ἕνεκα δὴ αὐτὸς ὑποπτεύων σὲ ἐρήσομαι, ἀλλ' οὐκ αὐτὸς λέγω; οὐ σοῦ ἕνεκα, ἀλλὰ τοῦ λόγου, ἵνα οὕτω προΐῃ, ὡς μάλιστ' ἂν ἡμῖν καταφανὲς ποιοῖ περὶ ὅτου λέγεται.

ἐγὼ πείθω ἐμαυτόν, εἴπερ τις ἄλλος ἄλλῳ διαλέγεται βουλόμενος εἰδέναι αὐτὸ τοῦτο περὶ ὅτου ὁ λόγος ἐστί, καὶ ἐμὲ εἶναι τοῦτον ἕνα». Σημειῶσαι τὴν διπλῆν ἀνακολουθίαν· ἐν ᾧ ὡρμήθη νὰ ἐπενέγκῃ ἐπὶ τὸ *εὖ ἴσθι* εἰδ. λόγον ἀρχόμενον ἀπὸ τοῦ ὅτι (εὖ ἴσθι ὅτι καὶ ἐγώ εἰμι τούτων εἷς), ἐπήνεγκεν ἀπαρέμφατον, καὶ τοῦτο πάλιν ἀντὶ κατηγορημ. μετοχῆς (εὖ ἴσθι καὶ ἐμὲ ὄντα ἕνα τούτων). Ἀμφότεραι αἱ ἀνωμαλίαι αὗται δὲν εἶνε ἀσυνήθεις ἐν τῷ Ἑλλ. λόγῳ. Ξνφ. Ἑλλ. Β', β', 2· «Λύσανδρος τοὺς φρουροὺς ἀπέπεμπεν εἰς τὰς Ἀθήνας, εἰδὼς ὅτι, ὅσῳ ἂν πλείους συλλεγῶσιν εἰς τὸ ἄστυ, θᾶττον τῶν ἐπιτηδείων ἔνδειαν ἔσεσθαι». Ἐν τῷ προκειμένῳ φαίνεται ὅτι ἐπέδρασε καὶ τὸ παρεμβληθέν· πείθω ἐμαυτόν, ἀπαιτοῦν ἀπαρέμφ.

1 *βουλόμενος εἰδέναι αὐτὸ τοῦτο* κ.τ.λ. Διότι ὑπῆρχον καὶ οἱ ἐριστικῶς διαλεγόμενοι, οἱ ἀδιαφοροῦντες πῶς ἔχει τἀληθές, τούτου δὲ μόνον στοχαζόμενοι, πῶς νὰ καταβάλωσι τὸν ἀντίπαλον διὰ σοφιστικῶν παλαισμάτων. Ἐν τῷ Εὐθυδήμῳ ὁ Πλ. θεατρίζει τὰ τοιαῦτα σοφίσματα καὶ τοὺς τοιούτους σοφιστάς. Πρβλ. καὶ Ἱππ. Μ. 298 b.

5 *Ἐγὼ τὴν ἀπὸ τῆς ῥητορικῆς* κ.τ.λ. Ἐγὼ εὖ ἴσθ' ὅτι, οὐκ οἶδα μὲν σαφῶς, ἥτις ποτ' ἐστὶν ἡ ἀπὸ τῆς ῥητορικῆς πειθώ, ἣν σὺ λέγεις, καὶ περὶ ὧν τινων πραγμάτων ἐστὶ πειθώ· οὐ μὴν ἀλλὰ κ.τ.λ. Ἡ αἰτ. τὴν πειθὼ κατὰ πρόληψιν ἐτέθη ἀντικ. τοῦ οὐκ οἶδα, ἐν ᾧ πράγματι εἶνε ὑποκ. τῆς πλαγίας ἐρωτημ. προτάσεως. Τὰ ἑπόμενα *ἣν* καὶ *περὶ ὧν*, δὲν εἶνε ἀναφορικά, ἀλλ' ἀντὶ τῶν συνθέτων ἐρωτημ. *ἥντινα* καὶ περὶ *ὥντινων*, ταῦτα δὲ ἀντὶ τῶν *τίνα* καὶ *περὶ τίνων* τῶν εὐθειῶν ἐρωτήσεων.

12 *οὐ σοῦ ἕνεκα, ἀλλὰ τοῦ λόγου.* Τελ. αἴτια συνεπτυγμένως ἐκπεφρασμένα καὶ διὰ τοῦτο οὐχὶ ἱκανῶς σαφῆ. Καὶ τὸ μέν, *τοῦ λόγου ἕνεκα,* ἔρχεται εὐθὺς νὰ διασαφήσῃ (ἵνα οὕτω προΐῃ). Κατωτέρω δὲ σ. 457 d, διασαφεῖ ἀμφότερα· «Φοβοῦμαι οὖν διελέγχειν σε, μή με ὑπολάβῃς οὐ πρὸς τὸ πρᾶγμα φιλονικοῦντα λέγειν, τοῦ καταφανὲς γενέσθαι, ἀλλὰ πρὸς σέ». Κατὰ ταῦτα τὸ *οὐ σοῦ ἕνεκα,* σημαίνει, οὐχὶ βουλόμενός σε ἐλέγξαι καὶ ἀποδεῖξαι ἀγνοοῦντα τὸν ὁρισμὸν τῆς τέχνης σου.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σκόπει γὰρ εἴ σοι δοκῶ δικαίως ἀνερωτᾶν σε, ὥςπερ ἂν εἰ ἐτύγχανόν σε ἐρωτῶν τίς ἐστι τῶν ζωγράφων Ζεῦξις, εἴ μοι εἶπες ὅτι ὁ τὰ ζῷα γράφων, ἆρ' οὐκ ἂν δικαίως σε ἠρόμην ὁ τὰ ποῖα τῶν ζώων γράφων καὶ ποίως;

ΓΟΡ. Πάνυ γε.

ΣΩ. Ἆρα διὰ τοῦτο, ὅτι καὶ ἄλλοι εἰσὶ ζωγράφοι γρά- D φοντες ἄλλα πολλὰ ζῷα;

ΓΟΡ. Ναί.

ΣΩ. Εἰ δέ γε μηδεὶς ἄλλος ἢ Ζεῦξις ἔγραφε, καλῶς ἄν σοι ἀπεκέκριτο;

ΓΟΡ. Πῶς γὰρ οὔ;

ΣΩ. Ἴθι δὴ καὶ περὶ τῆς ῥητορικῆς εἰπέ· πότερόν σοι δοκεῖ πειθὼ ποιεῖν ἡ ῥητορικὴ μόνη ἢ καὶ ἄλλαι τέχναι; λέγω δὲ τὸ τοιόνδε ὅστις διδάσκει ὁτιοῦν πρᾶγμα, πότερον ὃ διδάσκει πείθει ἢ οὔ;

ΓΟΡ. Οὐ δῆτα, ὦ Σώκρατες, ἀλλὰ πάντων μάλιστα πείθει.

1 *ὥςπερ ἂν εἰ ἐτύγχανον*. Ὅλος ὁ ἑξῆς λόγος μέχρι τοῦ Γορ. Πῶς γὰρ οὔ; εἶνε παρομοίωσις. Τὸ παρομοιούμενον εἶνε τὸ ἀπὸ τοῦ Ἴθι δὴ καὶ περὶ τῆς ῥητορικῆς. Αὐτὴ ἡ παρομοίωσις σύγκειται ἐξ ὑποθέσεως καὶ ἀποδόσεως. Τὸ *ὥςπερ ἂν* ἀνήκει εἰς τὴν ἀπόδοσιν: *δικαίως σε ἠρόμην*.

*εἰ ἐτύγχανόν σε ἐρωτῶν ... εἴ μοι εἶπες*. Ὑπόθεσις ὑποθέσεως, καὶ διὰ τοῦτο ἀσύνδετοι μετ' ἀλλήλων. Συμπληρούμενος ὁ λόγος θὰ εἶχεν ὧδε· «Εἰ ἐτύγχανόν σε ἐρωτῶν τίς ἐστι τῶν ζωγράφων ὁ Ζεῦξις, εἶπες ἄν μοι ἴσως ὅτι ὁ τὰ ζῷα γράφων· εἰ οὖν μοι ταῦτα εἶπες, ἆρ' οὐκ ἂν δικαίως σε ἠρόμην κ. τ. λ.»; Τοιαῦται διπλαῖ ὑποθέσεις εἰσὶ συνηθέσταται παρὰ Πλ., ἐνίοτε δὲ εὕρηνται καὶ τριπλαῖ· οἷον ἐν Μέν. 74 b· «εἴ τίς σε ἀνέροιτο, τί ἐστι σχῆμα ... εἰ αὐτῷ εἶπες ὅτι στρογγυλότης, εἴ σοι εἶπεν ἅπερ ἐγὼ ... εἶπες δήπου ἄν, ὅτι κ. τ. λ.»

2 *Ζεῦξις*. Περίφημος ζωγράφος σύγχρονος Σωκράτους ἐξ Ἡρακλείας τῆς ἐν τῇ Κάτω Ἰταλίᾳ.

3 *ὁ τὰ ζῷα γράφων*. Εἶνε τρόπον τινὰ γενετικὸς ὁρισμὸς τοῦ ζωγράφος. Οἱ πρῶτοι τεχνῖται ἔγραφον ὡς ἐπὶ τὸ πλεῖστον ζῷα, ὅθεν καὶ τὸ ὄνομα ἔλαβον ὕστερον, ζωγράφοι. Ἐπὶ μακρὸν δὲ χρόνον ἐλέγετο διαλελυμένως, *ζῷα γράφειν ἢ γράφεσθαι*, ἀντὶ *ζωγραφεῖν*, καὶ δὴ καὶ μετ' ἄλλου ἀντικειμένου σημαίνοντος τὸ ζωγραφούμενον, ὅπερ ἐνδέχεται ἤδη νὰ εἶνε πᾶν ἄλλο ἢ ζῷον. Ἡροδ. Δ', 88· «Ἀπ' ὧν δὴ Μανδροκλέης ἀπαρχὴν ζώια γραψάμενος πᾶσαν τὴν ζεῦξιν τοῦ Βοσπόρου καὶ βασιλέα τε Δαρεῖον κ. τ. λ.» Οὕτω καὶ ἡ ζωοφόρος τῶν ἀρχαίων ναῶν ὠνομάσθη καίπερ μὴ φέρουσα πάντοτε ζῷα.

9 *καλῶς ἂν σοι ἀπεκέκριτο*. Τὸ *ἀπεκέκριτο* ἐνταῦθα παθητ. καὶ ἀπρόσωπον· = καλῶς ἂν εἶχεν ἡ ἀπόκρισις ἡ γενομένη ὑπὸ σοῦ.

16 *Οὐ δῆτα, ὦ Σ. ἀλλὰ πάντων μά-*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

E ΣΩ. Πάλιν δὴ ἐπὶ τῶν αὐτῶν τεχνῶν λέγωμεν ὧνπερ νῦν δή· ἡ ἀριθμητικὴ οὐ διδάσκει ἡμᾶς, ὅσα ἐστὶ τὰ τοῦ ἀριθμοῦ, καὶ ὁ ἀριθμητικὸς ἄνθρωπος;

ΓΟΡ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν καὶ πείθει;

ΓΟΡ. Ναί.

ΣΩ. Πειθοῦς ἄρα δημιουργός ἐστι καὶ ἡ ἀριθμητική.

ΓΟΡ. Φαίνεται.

ΣΩ. Οὐκοῦν ἐάν τις ἐρωτᾷ ἡμᾶς, ποίας πειθοῦς καὶ περὶ τί, ἀποκρινούμεθά που αὐτῷ ὅτι τῆς διδασκαλικῆς τῆς περὶ
454 τὸ ἄρτιόν τε καὶ τὸ περιττὸν ὅσον ἐστί· καὶ τὰς ἄλλας ἃς νῦν δὴ ἐλέγομεν τέχνας ἁπάσας ἕξομεν ἀποδεῖξαι πειθοῦς δημιουργοὺς οὔσας καὶ ἥςτινος καὶ περὶ ὅ τι· ἢ οὔ;

ΓΟΡ. Ναί.

ΣΩ. Οὐκ ἄρα ῥητορικὴ μόνη πειθοῦς ἐστι δημιουργός.

ΓΟΡ. Ἀληθῆ λέγεις.

Θ΄. ΣΩ. Ἐπειδὴ τοίνυν οὐ μόνη ἀπεργάζεται τοῦτο τὸ ἔργον, ἀλλὰ καὶ ἄλλαι, δικαίως ὥσπερ περὶ τοῦ ζωγράφου μετὰ τοῦτο ἐπανεροίμεθ' ἂν τὸν λέγοντα, ποίας δὴ πειθοῦς
B καὶ τῆς περὶ τί πειθοῦς ἡ ῥητορικὴ ἐστὶ τέχνη; ἢ οὐ δοκεῖ σοι δίκαιον εἶναι ἐπανερέσθαι;

ΓΟΡ. Ἔμοιγε

ΣΩ. Ἀπόκριναι δή, ὦ Γοργία, ἐπειδή γε καὶ σοὶ δοκεῖ οὕτως.

ΓΟΡ. Ταύτης τοίνυν τῆς πειθοῦς λέγω, ὦ Σώκρατες,

***λιστα πείθει.*** Ἡ σειρὰ τοῦ λόγου ὑποδεικνύει ὡς ἐξυπακουστέον: οὐ δῆτα πείθει. Τοῦτο δὲ τό: οὐ πείθει, δὲν σημαίνει ὅτι δὲν πείθει. Ἡμεῖς θὰ ἐλέγομεν ὧδέ πως: Ὄχι πείθει, ἀλλὰ καὶ παραπείθει· ὅπως λέγομεν: Ὄχι θέλει, ἀλλὰ καὶ παραθέλει. Ὁ Γορ. λέγει πρὸς τὸν Σωκ. «Τὸ ἁπλοῦν *πείθει* δὲν ἀρκεῖ πρὸς δήλωσιν τοῦ πράγματος· πρέπει νὰ ἐπιτείνῃς αὐτό».

3 ***καὶ ὁ ἀριθμητικὸς ἄνθρωπος;*** Οἱονεὶ λησμονηθὲν ἐπηνέχθη κατόπιν ὡς προσθήκη.

8 ***Φαίνεται.*** Συμπλήρου: πειθοῦς δημιουργὸς οὖσα καὶ ἡ ἀριθμητική.

24 ***Ταύτης τοίνυν τῆς πειθοῦς*** κ.τ.λ. Τὸ ***τοίνυν*** ἐμποιεῖ ἔννοιαν ὅτι ὁ Γοργ. ἀπροθύμως καὶ τρόπον τινὰ συρόμενος ὑπὸ Σωκ. δίδει τοὺς ὑπ' αὐτοῦ ἀπαιτουμένους δύο προσδιορισμοὺς τῆς πειθοῦς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῆς ἐν τοῖς δικαστηρίοις καὶ ἐν τοῖς ἄλλοις ὄχλοις, ὥςπερ καὶ ἄρτι ἔλεγον, καὶ περὶ τούτων ἅ ἐστι δίκαιά τε καὶ ἄδικα.

ΣΩ. Καὶ ἐγώ τοι ὑπώπτευον ταύτην σε λέγειν τὴν πειθὼ καὶ περὶ τούτων, ὦ Γοργία· ἀλλ' ἵνα μὴ θαυμάζῃς, ἐὰν καὶ ὀλίγον ὕστερον τοιοῦτόν τί σε ἀνέρωμαι, ὃ δοκεῖ μὲν δῆλον εἶναι, ἐγὼ δ' ἐπανερωτῶ· ὅπερ γὰρ λέγω, τοῦ ἑξῆς C ἕνεκα περαίνεσθαι τὸν λόγον ἐρωτῶ, οὐ σοῦ ἕνεκα, ἀλλ' ἵνα μὴ ἐθιζώμεθα ὑπονοοῦντες προαρπάζειν ἀλλήλων τὰ λεγόμενα, ἀλλὰ σὺ τὰ σαυτοῦ κατὰ τὴν ὑπόθεσιν ὅπως ἂν βούλῃ περαίνῃς.

ΓΟΡ. Καὶ ὀρθῶς γέ μοι δοκεῖς ποιεῖν, ὦ Σώκρατες.

ΣΩ. Ἴθι δὴ καὶ τόδε ἐπισκεψώμεθα· καλεῖς τι μεμαθηκέναι;

ΓΟΡ. Καλῶ.

ΣΩ. Τί δέ; πεπιστευκέναι;

ΓΟΡ. Ἔγωγε.

ΣΩ. Πότερον οὖν ταὐτὸν δοκεῖ σοι εἶναι μεμαθηκέναι D καὶ πεπιστευκέναι, καὶ μάθησις καὶ πίστις, ἢ ἄλλο τι;

ΓΟΡ. Οἴομαι μὲν ἔγωγε, ὦ Σώκρατες, ἄλλο.

ΣΩ. Καλῶς γὰρ οἴει· γνώσει δὲ ἐνθένδε. εἰ γάρ τίς σε

1 *ὥςπερ καὶ ἄρτι ἔλεγον*. Ἐν σελ. 452 e. Καὶ διὰ τούτων πειρᾶται νὰ σώσῃ τὴν ὑπόληψίν του, ὅτι δὲν ἀντιφάσκει οὐδὲ διαφωνεῖ πρὸς ἑαυτόν.

5 *ἀλλ' ἵνα μὴ θαυμάζῃς*. Ὅρα πρκδλ.

7 *τοῦ ἑξῆς ἕνεκα*. Σύμπλεκε ὧδε· «Ἐρωτῶ ἕνεκα τοῦ περαίνεσθαι τὸν λόγον ἑξῆς (ἐν λογικῇ συνεχείᾳ), οὐ σοῦ ἕνεκα (ἵνα σε ἐλέγξω), ἀλλ' ἵνα μὴ κ.τ.λ.» Διὰ τοῦ *ἵνα μὴ* παλινδρομεῖ πρὸς τὸ αὐτὸ νόημα, ὅπερ ἐξήνεγκε διὰ τοῦ: *τοῦ ἑξῆς ἕνεκα* κ.τ.λ. ἀλλὰ τὸ ἐκφέρει νῦν σαφέστερον.

9 *ὑπονοοῦντες* = μαντεύοντες ὅ,τι ὁ ἕτερος ἔχει ἐν τῷ νῷ.

*προαρπάζειν*. = Πρὶν ἐκστομίσῃ ὁ ἕτερος τὰ διανοήματά του, νὰ τὰ ἁρπάζῃ καὶ νὰ τὰ λέγῃ ὁ ἕτερος.

13 *Καλεῖς τι μεμαθηκέναι*. Τὸ τί ἀντικ., τὸ *μεμαθηκέναι* κατηγορ. τοῦ *καλεῖς*.

13-6 *μεμαθηκέναι — πεπιστευκέναι*. Ὀνοματικὰ ἀπαρέμφ. Ὁ Σωκ. ἄρχεται διὰ τούτων ὡς σαφέστερον δηλούντων τὸ νόημά του, ἵνα καταλήξῃ εἰς τὰ τούτοις ἰσοδύναμα, *μάθησις* καὶ *πίστις*, διότι ἐκεῖνα μὲν δηλοῦσι καὶ τὴν διάθεσιν, ταῦτα δὲ οὐχὶ πάντοτε· ἰδίως τὸ *πίστις* ἐνδέχεται νὰ εἶνε ἐνεργ. ἢ παθητ. ἔτι δὲ ἀφῃρημένον τοῦ πείθειν ἢ τοῦ πιστεύειν.

21 *Καλῶς γὰρ οἴει· γνώσει δ' ἐνθένδε*. Ὁ μὲν Γοργ. ἔχει *δόξαν* ὀρθὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔροιτο· ἆρ' ἔστι τις, ὦ Γοργία, πίστις ψευδὴς καὶ ἀληθής; φαίης ἄν, ὡς ἐγὼ οἶμαι.

ΓΟΡ. Ναί.

ΣΩ. Τί δέ; ἐπιστήμη ἔστι ψευδὴς καὶ ἀληθής;

ΓΟΡ. Οὐδαμῶς.

ΣΩ. Δῆλον γὰρ αὖ ὅτι οὐ ταὐτόν ἐστιν.

ΓΟΡ. Ἀληθῆ λέγεις.

E ΣΩ. Ἀλλὰ μὴν οἵ τέ γε μεμαθηκότες πεπεισμένοι εἰσὶ καὶ οἱ πεπιστευκότες.

ΓΟΡ. Ἔστι ταῦτα.

ΣΩ. Βούλει οὖν δύο εἴδη θῶμεν πειθοῦς, τὸ μὲν πίστιν παρεχόμενον ἄνευ τοῦ εἰδέναι, τὸ δ' ἐπιστήμην;

ΓΟΡ. Πάνυ γε.

ΣΩ. Ποτέραν οὖν ἡ ῥητορικὴ πειθὼ ποιεῖ ἐν δικαστηρίοις τε καὶ τοῖς ἄλλοις ὄχλοις περὶ τῶν δικαίων τε καὶ ἀδίκων; ἐξ ἧς τὸ πιστεύειν γίγνεται ἄνευ τοῦ εἰδέναι ἢ ἐξ ἧς τὸ εἰδέναι;

ΓΟΡ. Δῆλον δήπου, ὦ Σώκρατες, ὅτι ἐξ ἧς τὸ πιστεύειν.

455 ΣΩ. Ἡ ῥητορικὴ ἄρα, ὡς ἔοικε, πειθοῦς δημιουργός ἐστι πιστικῆς, ἀλλ' οὐ διδασκαλικῆς περὶ τὸ δίκαιόν τε καὶ ἄδικον.

ΓΟΡ. Ναί.

ΣΩ. Οὐδ' ἄρα διδασκαλικὸς ὁ ῥήτωρ ἐστὶ δικαστηρίων τε καὶ τῶν ἄλλων ὄχλων δικαίων τε πέρι καὶ ἀδίκων, ἀλλὰ

τοῦ πράγματος· ὁ δὲ Σωκ. *ἀποδεικνύων* ὅτι πίστις καὶ μάθησις ἢ ἐπιστήμη εἰσὶ διάφορα ἀλλήλων, προάγει τὴν δόξαν εἰς *ἐπιστήμην*. Ὅπως ἔμπροσθεν ἀπὸ τοῦ μεμαθηκέναι μετέβη εἰς τὴν μάθησιν, οὕτω πάλιν ἐνταῦθα ἀντὶ τῆς μαθήσεως μεταλαμβάνει τὴν ἐπιστήμην, ὥςτε μεμαθηκέναι, μάθησις, ἐπιστήμη λαμβάνονται ἐνταῦθα ὡς συνώνυμα. Ἐπειδὴ ἡ ἔννοια τῆς μαθήσεως εἶνε λίαν εὐρεῖα, διότι λέγεται μάθησις καὶ ἡ τῶν καθ' ἕκαστον γνώρισις, τῶν ἐφημέρων, τῶν ῥεόντων καὶ μεταβαλλομένων, καὶ θὰ ἠδύνατό τις ἄρα νὰ ἰσχυρισθῇ ὅτι ἔστι καὶ ψευδὴς μάθησις, διὰ τοῦτο μετέλαβε τὴν λέξιν ἐπιστήμην, ἥτις ἐστὶ τῶν καθόλου, τῶν αἰδίων, τῶν ἀμεταβλήτων, καὶ δὲν δύναταί ποτε νὰ εἶνε ψευδής, ἀλλ' ἢ ὑπάρχει ἐπιστήμη, ἢ δὲν ὑπάρχει τὸ παράπαν. Περὶ ἐπιστήμης ἔπιθι Ἀριστοτ. Ἀναλυτ. Ὑστ. Α', 2 καὶ Ἠθικ. Νικομ. Ζ', 3 καὶ 6.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πιστικὸς μόνον. οὐ γὰρ δήπου ὄχλον γ' ἂν δύναιτο τοσοῦτον ἐν ὀλίγῳ χρόνῳ διδάξαι οὕτω μεγάλα πράγματα.

ΓΟΡ. Οὐ δῆτα.

Ι'. ΣΩ. Φέρε δὴ ἴδωμεν τί ποτε καὶ λέγομεν περὶ τῆς ῥητορικῆς· ἐγὼ μὲν γάρ τοι οὐδ' αὐτός πω δύναμαι κατανοῆσαι B ὅτι λέγω. ὅταν περὶ ἰατρῶν αἱρέσεως ᾖ τῇ πόλει σύλλογος ἢ περὶ ναυπηγῶν ἢ περὶ ἄλλου τινὸς δημιουργικοῦ ἔθνους, ἄλλο τι ἢ τότε ὁ ῥητορικὸς οὐ συμβουλεύσει; δῆλον γὰρ ὅτι ἐν ἑκάστῃ αἱρέσει τὸν τεχνικώτατον δεῖ αἱρεῖσθαι. οὐδ' ὅταν τειχῶν περὶ οἰκοδομήσεως ἢ λιμένων κατασκευῆς ἢ νεωρίων, ἀλλ' οἱ ἀρχιτέκτονες; οὐδ' αὖ ὅταν στρατηγῶν αἱρέσεως πέρι ἢ τάξεώς τινος πρὸς πολεμίους ἢ χωρίων καταλήψεως συμβουλὴ ᾖ, ἀλλ' οἱ στρατηγικοὶ C τότε συμβουλεύσουσιν, οἱ ῥητορικοὶ δὲ οὔ; ἢ πῶς

4 *Φέρε δὴ ἴδωμεν* κ.τ.λ. Ὁ Γορ ὥρισε τὴν ῥητορικὴν δημιουργὸν πειθοῦς πιστικῆς περὶ δικαίων καὶ ἀδίκων. Ὁ ὁρισμός οὗτος ἀποκλείει τὴν περὶ παντός ἄλλου πράγματος πειθώ. Τὸν ἀποκλεισμὸν τοῦτον καταδεικνύει ὁ Σωκ. ἐν τοῖς ἑπομένοις· περὶ μὲν ἰατρικῆς θὰ συμβουλεύσωσιν οἱ ἰατροί, περὶ δὲ στρατηγικῆς οἱ στρατηγοί, περὶ ναυπηγικῆς δὲ οἱ ναυπηγοί· λείπεται ἄρα στάδιον τῶν ῥητόρων μόνον τὸ δικαστικόν. Ἀλλὰ τοῦτο δὲν εἶνε κατὰ γνώμην τοῦ Γοργίου, ὅτι ἡ τέχνη του ἐκτείνεται ἐπὶ τόσον στενὸν ἐνεργείας στάδιον. Ἐπειδὴ δὲ ὁ Σωκ. δὲν φέρεται ἐλεγκτικῶς, ἀλλὰ προσποιεῖται ὅτι καὶ αὐτός ἀγνοεῖ τὸ ἀληθὲς περὶ αὐτῶν, παράγει τὸν Γορ. εἰς τὸ νὰ ἐγκωμιάσῃ τὴν τέχνην του, ἀποδίδων αὐτῇ παντοδυναμίαν, χωρὶς νὰ συνορᾷ τὴν πρὸς τὸν δοθέντα ὁρισμὸν ἀντίφασιν.

*τί ποτε καὶ λέγομεν.* Ὁ *καὶ* ἐπιτείνει τὴν ἀπορίαν. Φαίδ. 61 e· «Τί γὰρ ἄν τις καὶ ποιοῖ;» Εὐθύφ. 6 b· «Τί γὰρ καὶ φήσομεν;» Καὶ ἡμεῖς σήμερον: Τί ἠμποροῦσα καὶ νὰ κάμω;

6 *Περὶ ἰατρῶν αἱρέσεως*. Αἱ πόλεις ἐμίσθουν δημοσίους ἰατροὺς ἐκλεγομένους ἐκ τῶν ὀνομαστοτάτων· καὶ ἀλλοδαποὶ δὲν ἀπεκλείοντο.

6 *ᾖ τῇ πόλει σύλλογος*. Ἐπειδὴ ὁ λόγος δὲν εἶνε περὶ τῶν Ἀθηνῶν μόνον ἀλλὰ περὶ πάσης Ἑλλ. πόλεως, δὲν εἶπεν ἐκκλησία, διότι τὸ ὄνομα τοῦτο δὲν ἦτο κοινὸν πάσης Ἑλλ. πόλεως, ἀλλὰ μετεχειρίσθη τὸ *σύλλογος* ὡς γενικόν. Πολιτ. 492 b· «Ὅταν ξυγκαθεζόμενοι ἀθρόοι οἱ πολλοὶ εἰς ἐκκλησίας ἢ εἰς δικαστήρια, ἢ θέατρα ἢ στρατόπεδα, ἤ τινα ἄλλον κοινὸν πλήθους ξύλλογον». Πρβλ. καὶ τὰ ἔμπροσθεν σελ. 452 e.

7 *δημιουργικοῦ ἔθνους*. Ἔθνος ἐνταῦθα ὅ τι λέγομεν σήμερον σῶμα ἢ συντεχνία.

8 *ἄλλο τι ἢ τότε ὁ ῥητορικὸς οὐ συμβουλεύσει;* = ἄλλο τι συμβήσεται, ἢ τοῦτο, ὅτι τότε ὁ ῥητορικὸς οὐ συμβουλεύσει; Ἡ ἐνδεικνυμένη ἀπόκρισις εἶνε: Οὐκ ἄλλο τι ἢ τοῦτο, ὁ ῥητορικὸς δηλ. οὐ συμβουλεύσει. Δῆλον γὰρ κ.τ.λ.

12 *ἢ τάξεώς τινος* = ἢ περὶ τάξεώς τινος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λέγεις, ὦ Γοργία, τὰ τοιαῦτα; ἐπειδὴ γὰρ αὐτός τε φῂς ῥήτωρ εἶναι καὶ ἄλλους ποιεῖν ῥητορικούς, εὖ ἔχει τὰ τῆς σῆς τέχνης παρὰ σοῦ πυνθάνεσθαι· καὶ ἐμὲ νῦν νόμισον καὶ τὸ σὸν σπεύδειν· ἴσως γὰρ καὶ τυγχάνει τις τῶν ἔνδον ὄντων μαθητής σου βουλόμενος γενέσθαι, ὡς ἐγώ τινας σχεδὸν καὶ συχνοὺς αἰσθάνομαι, οἳ ἴσως αἰσχύνοιντ'
D ἄν σε ἀνερέσθαι· ὑπ' ἐμοῦ οὖν ἀνερωτώμενος νόμισον καὶ ὑπ' ἐκείνων ἀνερωτᾶσθαι· «τί ἡμῖν, ὦ Γοργία, ἔσται, ἐάν σοι συνῶμεν; περὶ τίνων τῇ πόλει συμβουλεύειν οἷοί τε ἐσόμεθα; πότερον περὶ δικαίου μόνον καὶ ἀδίκου ἢ καὶ περὶ ὧν νῦν δὴ Σωκράτης ἔλεγε;» πειρῶ οὖν αὐτοῖς ἀποκρίνεσθαι.

ΓΟΡ. Ἀλλ' ἐγώ σοι πειράσομαι, ὦ Σώκρατες, σαφῶς ἀποκαλύψαι τὴν τῆς ῥητορικῆς δύναμιν ἅπασαν· αὐτὸς γὰρ καλῶς ὑφηγήσω. οἶσθα γὰρ δήπου ὅτι τὰ νεώρια ταῦτα
E καὶ τὰ τείχη τὰ Ἀθηναίων καὶ ἡ τῶν λιμένων κατασκευὴ

3 *Καὶ ἐμὲ νῦν νόμισον καὶ τὸ σὸν σπεύδειν.* Σωκρατικὴ πανουργία! ὑποβάλλει τῷ Γορ. τὸ δέλεαρ τοῦ χρηματικοῦ συμφέροντος, ἵνα παραγάγῃ αὐτὸν εἰς τὴν ἀντίφασιν. Σπεύδω τὸ σόν = ἐπιδιώκω τὸ συμφέρον σου.

5 *ὡς ἐγώ τινας σχεδὸν καὶ συχνοὺς αἰσθάνομαι.* Συμπλήρου: βουλομένους γενέσθαι σου μαθητάς. Τὸ *ὡς* αἰτιολ. Τὸ σχεδὸν καὶ συχνούς, ὡς ἀκριβέστερος προσδ. τοῦ *τινάς*· «οὐ μόνον τινές, ἀλλὰ καὶ κἄμποσοι εἶνε οὗτοι»· ἢ «δὲν εἶνε δὲ καὶ ὀλίγοι οὗτοι». Φαίδ. 58 d· «Παρῆσάν τινες, καὶ πολλοί γε». Τὸ *συχνὸς* διαφέρει τι τοῦ *πολύς*, καθ' ὅτι τοῦτο μὲν σημαίνει τὸ πλῆθος ἀθρόον, ἐκεῖνο δὲ κατ' ὀλίγον μέν, πολλάκις δὲ προστιθέμενον, ἢ ἐπαναλαμβανόμενον. Οὕτω λέγεται συχνὸς λόγος, χρόνος, συχνὰ χρήματα (κατὰ συχνὰς δόσεις), συχνὰ παραδείγματα· πολιτεία γέμουσα συχνῶν κακῶν κ.τ.λ.

14 *Αὐτὸς γὰρ καλῶς ὑφηγήσω.* Ηὐχαριστήθη ὁ Γορ. ἐξ ὧν εἶπεν ὁ Σωκ. περὶ τειχῶν καὶ λιμένων κ.τ.λ. Τὸ νὰ εἶνέ τις ἱκανὸς νὰ δημηγορῇ ἐν τῇ πόλει περὶ τοιούτων ἦτο τὸ λαμπρότατον καὶ ζηλωτότατον τοῖς νέοις στάδιον· καὶ ὁ Γορ. δράττεται τῆς εὐκαιρίας νὰ ἐπιδείξῃ τὴν δύναμιν τῆς τέχνης του ὡς περὶ τὰ τοιαῦτα κυρίως οὖσαν, λησμονῶν ὅτι προεῖπε περὶ δίκαια καὶ ἄδικα.

15 *τὰ νεώρια ταῦτα.* Τὰ περὶ τοὺς λιμένας τοῦ Πειραιῶς πολυτελῆ κτίσματα, ἐν οἷς αἱ νῆες ἐν ἀργίᾳ ἀνελκόμεναι ἐκ τῆς θαλάσσης διεφυλάττοντο ἀπὸ σήψεως, ἐκαθαρίζοντο, ἐπεσκευάζοντο κ.τ.τ. Ἕκαστον οἴκημα ἐν ᾧ ἐφυλάσσετο ἑκάστη ναῦς καὶ τὰ σκεύη αὐτῆς ἐκαλεῖτο νεώσοικος (= νεὼς οἶκος).

16 *τὰ τείχη τὰ τῶν Ἀθηναίων.* Τὰ τείχη ταῦτα ἦσαν Α', ὁ περίβολος τῆς πόλεως. Β', ὁ περίβολος τοῦ Πειραιῶς μετὰ τῶν τριῶν λιμένων αὐτοῦ, τοῦ Μεγάλου λιμένος, τοῦ τῆς Ζέας καὶ τοῦ τῆς Μουνιχίας, τῆς ὅλης ἀρχ Πει-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκ τῆς Θεμιστοκλέους συμβουλῆς γέγονε, τὰ δ' ἐκ τῆς Περικλέους, ἀλλ' οὐκ ἐκ τῶν δημιουργῶν.

ΣΩ. Λέγεται ταῦτα, ὦ Γοργία, περὶ Θεμιστοκλέους· Περικλέους δὲ καὶ αὐτὸς ἤκουον, ὅτε συνεβούλευεν ἡμῖν περὶ τοῦ διὰ μέσου τείχους.

ΓΟΡ. Καὶ ὅταν γέ τις αἵρεσις ᾖ ὧν δὴ σὺ ἔλεγες, ὦ 456 Σώκρατες, ὁρᾷς ὅτι οἱ ῥήτορές εἰσιν οἱ συμβουλεύοντες καὶ οἱ νικῶντες τὰς γνώμας περὶ τούτων.

ΣΩ. Ταῦτα καὶ θαυμάζων, ὦ Γοργία, πάλαι ἐρωτῶ, ἥτις ποτὲ ἡ δύναμίς ἐστι τῆς ῥητορικῆς. δαιμονία γάρ τις ἔμοιγε καταφαίνεται τὸ μέγεθος οὕτω σκοποῦντι.

Ι΄. ΓΟΡ. Εἰ πάντα γε εἰδείης, ὦ Σώκρατες, ὅτι ὡς ἔπος εἰπεῖν ἁπάσας τὰς δυνάμεις συλλαβοῦσα ὑφ' αὑτῇ

ραϊκῆς χερσονήσου. Γ', τὰ σκέλη ἢ μακρὰ τείχη, τὰ συνάπτοντα τὴν πόλιν μετὰ τῆς θαλάσσης. Ἦσαν δὲ ταῦτα τρία· ὧν τὸ μὲν ἔτεινε πρὸς τὸ (σήμερον καλούμενον παλαιὸν) Φάληρον, καὶ ἐκαλεῖτο τὸ Φαληρικόν· τὸ δὲ πρὸς τὴν βόρειον πλευρὰν τοῦ Μεγάλου λιμένος Πειραιῶς, τὴν καλουμένην Ἠετιώνειαν ἄκραν, καὶ ἐκαλεῖτο τὸ βόρειον· τὸ δὲ τρίτον ἦτο τὸ παραλλήλως πρὸς τὸ βόρειον περὶ τοὺς 600 πόδας (180 μέτρ.) ἀπ' αὐτοῦ ἀφιστάμενον νότιον τεῖχος. Τοῦτο εἶνε τὸ *διὰ μέσου τεῖχος*, περὶ οὗ κατωτέρω λέγει. Αἱ δύο πόλεις περιετειχίσθησαν ἤδη ἐπὶ Θεμιστοκλέους· τὰ δὲ μακρὰ ἠγέρθησαν ἐπὶ Κίμωνος καὶ Περικλέους.

1 *ἐκ τῆς Θεμιστοκλέους συμβουλῆς γέγονε*. Ἀνακριβὴς ἔκφρασις· ἀντὶ τὰ μὲν ἐκ τῆς Θεμ... τὰ δ' ἐκ τῆς Περ.

7 *καὶ οἱ νικῶντες τὰς γνώμας*. Νικᾶν γνώμην, βραχυλογικὴ φράσις, ἀντὶ ἀποφαίνεσθαι γνώμην καὶ νικᾶν τὰς τῶν ἐναντίων. Ἀριστφ. Νεφ. 452· «Ἐν τῷ δήμῳ γνώμας οὐδεὶς νικήσει ἢ σύ». Σφῆκ. 594· «Κἂν τῷ δήμῳ γνώμην οὐδεὶς πώποτε ἐνίκησεν».

9 *Ταῦτα καὶ θαυμάζων*. Εἶνε ἡ κορύφωσις τῆς χλεύης τοῦ Σωκρ. καὶ ὁ ἐπακολουθῶν λόγος τοῦ Γοργ. ἡ κορύφωσις τῆς γελοιοποιήσεως αὐτοῦ.

10 *δαιμονία* = ὑπερφυής, ὑπερβάλλουσα τὰ συνήθη μέτρα τῶν ἀνθρωπίνων δυνάμεων.

11 *οὕτω σκοποῦντι*· ὡς σὺ παριστᾷς τὸ πρᾶγμα. Εἶνε καὶ τοῦτο πανοῦργος ἐπιφύλαξις τοῦ Σωκ. ἵνα δυνηθῇ κατόπιν ἄνευ ἀντιφάσεως νὰ εἴπῃ πρὸς τὸν Πῶλον, ὅτι οὔτε τέχνη τῷ φαίνεται ἡ ῥητορικὴ οὖσα ἀλλ' ἐμπειρία τις κολακευτική, οὔτε δύναμίν τινα ἔχουσα.

12 *Εἰ πάντα γε εἰδείης*. Ἡ ἀπόδοσις παραλείπεται ὡς εὔδηλος. Ὁμοίως καὶ ἡμεῖς: Ἂν τὰ ἤξευρες ὅλα! ἢ Νὰ τὰ ἤξευρες ὅλα! ἢ Ποῦ νὰ τὰ ἤξευρες ὅλα! Ἐν τούτοις νοεῖται ἀπόδοσις: τί θὰ ἔλεγες! ἢ πόσῳ μᾶλλον θὰ ἐθαύμαζες!

13 *ἁπάσας τὰς δυνάμεις*. Λέγει τὰς τέχνας ἢ ἐπιτηδεύσεις, δι' ὧν κατορθοῖ τι ὁ ἄνθρωπος.

*συλλαβοῦσα ἔχει*. Δύναται νὰ θεωρηθῇ ὡς περίφρασις τοῦ μονολεκτικοῦ παρακ. συνείληφεν. Τὸ ἡμέτερον: ἔχει συλλάβει.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

B ἔχει· μέγα δέ σοι τεκμήριον ἐρῶ· πολλάκις γὰρ ἤδη ἔγωγε μετὰ τοῦ ἀδελφοῦ καὶ μετὰ τῶν ἄλλων ἰατρῶν εἰσελθὼν παρά τινα τῶν καμνόντων οὐχὶ ἐθέλοντα ἢ φάρμακον πιεῖν ἢ τεμεῖν ἢ καῦσαι παρασχεῖν τῷ ἰατρῷ, οὐ δυναμένου τοῦ ἰατροῦ πεῖσαι, ἐγὼ ἔπεισα, οὐκ ἄλλῃ τέχνῃ ἢ τῇ ῥητορικῇ. φημὶ δὲ καὶ εἰς πόλιν ὅποι βούλει ἐλθόντα ῥητορικὸν ἄνδρα καὶ ἰατρόν, εἰ δέοι λόγῳ διαγωνίζεσθαι ἐν ἐκκλησίᾳ ἢ ἐν ἄλλῳ τινὶ συλλόγῳ, ὁπότερον δεῖ αἱρεθῆναι
C ἰατρόν, οὐδαμοῦ ἂν φανῆναι τὸν ἰατρόν, ἀλλ' αἱρεθῆναι ἂν τὸν εἰπεῖν δυνατόν, εἰ βούλοιτο. καὶ εἰ πρὸς ἄλλον γε δημιουργὸν ὁντιναοῦν ἀγωνίζοιτο, πείσειεν ἂν αὑτὸν ἑλέσθαι ὁ ῥητορικὸς μᾶλλον ἢ ἄλλος ὁστισοῦν· οὐ γὰρ ἔστι περὶ ὅτου οὐκ ἂν πιθανώτερον εἴποι ὁ ῥητορικὸς ἢ ἄλλος ὁστισοῦν τῶν δημιουργῶν ἐν πλήθει. ἡ μὲν οὖν δύναμις τοσαύτη ἐστὶ καὶ τοιαύτη τῆς τέχνης· δεῖ μέντοι, ὦ Σώ-

1 *μέγα δέ σοι τεκμήριον ἐρῶ.* Τὸ μέγα τοῦτο τεκμήριον ὅπερ ὁ Γορ ἐκθέτει διὰ μακροῦ λόγου ἐγκαυχώμενος, εἶνέ τι πάνσμικρον καὶ ὅλως ἀνάξιον λόγου, ὅτι δηλ. διὰ τῆς ῥητορικῆς τέχνης ἔπεισε τὸν ἀσθενῆ νὰ στέρξῃ τὴν ἰατρικὴν θεραπείαν. Πρὸς μὲν ἐνήλικας νοσοῦντας τὸ σῶμα, ὑγιαίνοντας δὲ τὸν νοῦν, δὲν παρίσταται χρεία ῥητορικῆς πειθοῦς· πρὸς δὲ τὰ παιδία πολλάκις μέν, ἀλλὰ συνήθως ἐξαρκεῖ ἡ ῥητορικὴ τῶν γυναικῶν.

3 *παρά τινα τῶν καμνόντων.* Ἡ *παρὰ* μετὰ δοτ. παραμονὴν πλησίον τινός· μετ' αἰτιατ. δὲ κίνησιν πρός τι πρόσωπον μετὰ σκοποῦ παραμονῆς παρ' αὐτῷ

*οὐκ ἐθέλοντα — παρασχεῖν τῷ ἰατρῷ.* Σύμπλεκε ὧδε: οὐκ ἐθέλοντα ἢ φάρμακον πιεῖν, ἢ παρασχεῖν τῷ ἰατρῷ τεμεῖν ἢ καῦσαι.

6 *φημὶ δὲ*=ἰσχυρίζομαι, βάζω στοίχημα.

*ὅποι βούλει* = εἰς ἥν ινα βούλει ἐλθεῖν αὐτόν. Ὅρα πρκδλ.

9 *οὐδαμοῦ ἂν φανῆναι τὸν ἰατρὸν*= θὰ γείνῃ ἄφαντος ὁ ἰατρός· κανεὶς δὲν θὰ τὸν λογαριάσῃ. Φαίδ. 72 C· «οἶσθ' ὅτι τελευτῶντα πάντα λῆρον τὸν Ἐνδυμίωνα ἀποδείξειε, καὶ οὐδαμοῦ ἂν φαίνοιτο (ὁ Ἐνδυμίων) διὰ τὸ καὶ τἄλλα πάντα ταὐτὸν ἐκείνῳ πεπονθέναι, καθεύδειν.

10 *εἰ βούλοιτο.* Προεπιφύλαξις· διότι κατωτέρω ἀποδοκιμάζει τὴν τοιαύτην βούλησιν τοῦ ῥήτορος, νὰ ἀφαιρῇ τὴν δόξαν τῶν ἄλλων.

12 *οὐ γὰρ ἔστι.* Τὸ ὑποκ. πρᾶγμά τι.

15 *δεῖ μέντοι.* Μετὰ τὸ ἐγκώμιον τῆς παντοδυναμίας τῆς ῥητορικῆς, ὁ Γοργ. ἐπιλέγει τὰ ἑπόμενα, πρὸς μὲν τὴν ὑπόθεσιν ἀλλότρια, συνήθη δὲ εἰς τὸ στόμα τῶν σοφιστῶν, καὶ ἀναγκαῖα δέ, ὡς ἀπολογίαν καὶ ἄμυναν κατ' ἐχθρῶν πραγματικῶν ἢ φανταστικῶν· διότι ὅςτις νομίζει ὅτι ἔχει ἔν τινι κοινωνίᾳ μεγάλην τινὰ δύναμιν κινητικὴν τῶν καλῶς ἢ κακῶς καθεστώτων, οὗτος ὑποθέτει καὶ τὴν ὕπαρξιν πολλῶν δυσμενῶν ἀντιπραττόντων. Σκόπει καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κρατες, τῇ ῥητορικῇ χρῆσθαι ὥςπερ τῇ ἄλλῃ πάσῃ ἀγω-
νίᾳ. καὶ γὰρ τῇ ἄλλῃ ἀγωνίᾳ οὐ τούτου ἕνεκα δεῖ πρὸς D
ἅπαντας χρῆσθαι ἀνθρώπους· ὅτι ἔμαθε πυκτεύειν τε καὶ
παγκρατιάζειν καὶ ἐν ὅπλοις μάχεσθαι, ὥςτε κρείττων εἶ-
ναι καὶ φίλων καὶ ἐχθρῶν, οὐ τούτου ἕνεκα τοὺς φίλους
δεῖ τύπτειν οὐδὲ κεντεῖν τε καὶ ἀποκτιννύναι. οὐδέ γε μὰ
Δία ἐάν τις εἰς παλαίστραν φοιτήσας, εὖ ἔχων τὸ σῶμα καὶ
πυκτικὸς γενόμενος, ἔπειτα τὸν πατέρα τύπτῃ καὶ τὴν μη-
τέρα ἤ ἄλλον τινὰ τῶν οἰκείων ἢ τῶν φίλων, οὐ τούτου
ἕνεκα δεῖ τοὺς παιδοτρίβας καὶ τοὺς ἐν τοῖς ὅπλοις διδά- E
σκοντας μάχεσθαι μισεῖν τε καὶ ἐκβάλλειν ἐκ τῶν πόλεων.
ἐκεῖνοι μὲν γὰρ παρέδοσαν ἐπὶ τῷ δικαίως χρῆσθαι τού-
τοις πρὸς τοὺς πολεμίους καὶ τοὺς ἀδικοῦντας, ἀμυνομέ-
νους, μὴ ὑπάρχοντας· οἱ δὲ μεταστρέψαντες χρῶνται τῇ 457
ἰσχύϊ καὶ τῇ τέχνῃ οὐκ ὀρθῶς. οὔκουν οἱ διδάξαντες πονη-
ροί, οὐδὲ ἡ τέχνη οὔτε αἰτία οὔτε πονηρὰ τούτου ἕνεκά

παράβαλλε τὴν πολυτέλειαν καὶ μεγαλοπρέπειαν τῆς φράσεως τοῦ Γοργ. πρὸς τὴν πενιχρότητα τῶν νοημάτων του. Ὅτι θὰ ἠδύνατο νὰ εἴπῃ διὰ μιᾶς περιληπτικῆς προτάσεως, τοῦτο λέγει δι' ἀπαριθμήσεως τῶν καθ' ἕκαστον, καὶ ὅ τι ἤρκει νὰ ἐξενέγκῃ μόνον καταφατικῶς, τοῦτο ἐκφέρει καταφατικῶς τε καὶ ἀποφατικῶς· οἷον πυκτεύειν, παγκρατιάζειν, ἐν ὅπλοις μάχεσθαι· εὖ ἔχων τὸ σῶμα καὶ πυκτικὸς γενόμενος· τοὺς φίλους τύπτειν, κεντεῖν, ἀποκτιννύναι· τὸν πατέρα τύπτῃ, ἢ τὴν μητέρα, ἢ ἄλλον τινὰ τῶν οἰκείων καὶ φίλων. Ὁμοίως καὶ τὰ λοιπά. Ὡσαύτως ἐπίστησον ἐπὶ τὰς παλιλλογίας.

1 *τῇ ἄλλῃ ἀγωνίᾳ*=τῇ ἀγωνιστικῇ.

2 *οὐ τούτου ἕνεκα*. Ἀναγκαστ. αἴτιον οὐχὶ τελικόν. Τὸ *τούτου* ἀνάφερε εἰς τὴν ἐκ τῆς λέξεως *ἀγωνίᾳ* προκύπτουσαν ἔννοιαν τοῦ ἀγωνιστικὸν εἶναι.

3 *ὅτι ἔμαθε*=διότι δηλ. ἔμαθε. Ἡ αἰτιολ. αὕτη πρότασις διορίζει τὴν ἑπομένην: οὐ δεῖ τύπτειν τοὺς φίλους· ἀνακεφαλαιοῦται δὲ διὰ τοῦ δευτέρου: *τούτου ἕνεκα*.

*πυκτεύειν καὶ παγκρατιάζειν*. Τὸ μὲν πυκτεύειν=πὺξ (διὰ τῆς πυγμῆς) ἀγωνίζεσθαι, τὸ δὲ παγκρατιάζειν= διὰ πάλης ἅμα καὶ πυγμῆς. Τὸ παγκράτιον ἦτο ἀποκεκλεισμένον ἐκ τῆς Ἀθηναϊκῆς παλαίστρας· ἤσκουν δ' αὐτὸ οἱ ἐξ ἐπαγγέλματος ἀθληταί.

4 *ἐν ὅπλοις μάχεσθαι*=ἐν ἀληθινοῖς ὅπλοις· διότι ἐν τῇ γυμναστικῇ μετεχειρίζοντο τὰ καλούμενα ἐσφαιρωμένα ἀκόντια, ὡς ἀκίνδυνα.

12 *παρέδοσαν*· δηλ. τὸ μάθημα.

13 *ἀμυνομένους, μὴ ὑπάρχοντας*. Τροπ. μετοχαί, ἐπεξηγ. τοῦ δικαίως. Ὑποκ. αὐτῶν τὸ αὐτὸ καὶ τοῦ *χρῆσθαι*, ἐκείνους δηλ. οἷς παρεδόθη τὸ μάθημα. Τό: *μὴ ὑπάρχοντας* =μὴ ἄρχοντας πρῶτους τῆς ἀδικίας.

14 *μεταστρέψαντες*· δηλ. τὸ πρᾶγμα, ἢ τὴν χρῆσιν τῆς κτηθείσης δυνάμεως καὶ ἐμπειρίας.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐστιν, ἀλλ' οἱ μὴ χρώμενοι, οἶμαι, ὀρθῶς. ὁ αὐτὸς δὴ λόγος καὶ περὶ τῆς ῥητορικῆς. δυνατὸς μὲν γὰρ πρὸς ἅπαντάς ἐστιν ὁ ῥήτωρ καὶ περὶ παντὸς λέγειν, ὥςτε πιθανώτερος εἶναι ἐν τοῖς πλήθεσιν ἔμβραχυ περὶ ὅτου ἂν B βούληται· ἀλλ' οὐδέν τι μᾶλλον τούτου ἕνεκα δεῖ οὔτε τοὺς ἰατροὺς τὴν δόξαν ἀφαιρεῖσθαι — ὅτι δύναιτο ἂν τοῦτο ποιῆσαι — οὔτε τοὺς ἄλλους δημιουργούς, ἀλλὰ δικαίως καὶ τῇ ῥητορικῇ χρῆσθαι, ὥςπερ καὶ τῇ ἀγωνίᾳ. ἐὰν δέ, οἶμαι, ῥητορικὸς γενόμενός τις κᾆτα ταύτῃ τῇ δυνάμει καὶ τῇ τέχνῃ ἀδικῇ, οὐ τὸν διδάξαντα δεῖ μισεῖν τε καὶ C ἐκβάλλειν ἐκ τῶν πόλεων. ἐκεῖνος μὲν γὰρ ἐπὶ δικαίᾳ χρείᾳ παρέδωκεν, ὁ δ' ἐναντίως χρῆται. τὸν οὖν οὐκ ὀρθῶς χρώμενον μισεῖν δίκαιον καὶ ἐκβάλλειν καὶ ἀποκτιννύναι, ἀλλ' οὐ τὸν διδάξαντα.

ΙΒ'. ΣΩ. Οἶμαι, ὦ Γοργία, καὶ σὲ ἔμπειρον εἶναι πολλῶν λόγων καὶ καθεωρακέναι ἐν αὐτοῖς τὸ τοιόνδε, ὅτι οὐ ῥᾳδίως δύνανται περὶ ὧν ἂν ἐπιχειρήσωσι διαλέγεσθαι διορισάμενοι πρὸς ἀλλήλους καὶ μαθόντες καὶ διδάξαντες D ἑαυτοὺς οὕτω διαλύεσθαι τὰς συνουσίας, ἀλλ' ἐὰν περί του ἀμφισβητήσωσι καὶ μὴ φῇ ὁ ἕτερος τὸν ἕτερον ὀρθῶς λέ-

4 *ἔμβραχυ*· ἐπιρρημ. προσδιορισμὸς τοῦ *περὶ ὅτου ἂν βούληται* = διὰ βραχέων εἰπεῖν· μὲ ὀλίγας ἢ μὲ μίαν λέξιν.

9 *κᾆτα* = *καὶ εἶτα*. Περὶ τοῦ εἶτα καὶ ἔπειτα εἴπομεν ἐν Ἀπολ. σελ. 20 c. Ὁ *καὶ* ἐνταῦθα πλεονάζει. Ὁμοίως Ξνφ. Ἀπομν. Α', α', 5· «ἐδόκει δ' ἂν ἀμφότερα ταῦτα, εἰ προαγορεύων ὡς ὑπὸ θεοῦ φαινόμενα, κᾆτα ψευδόμενος ἐφαίνετο».

15 *πολλῶν λόγων* = διαλόγων, συζητήσεων.

16 *ὅτι οὐ ῥᾳδίως*. Σύμπλεκε ὧδε: ὅτι οὐ δύνανται ῥᾳδίως διαλύεσθαι τὰς συνουσίας, διορισάμενοι πρὸς ἀλλήλους (ἐκεῖνα) περὶ ὧν ἂν ἐπιχειρήσωσι διαλέγεσθαι, καὶ μαθόντες καὶ διδάξαντες ἑαυτούς. Διορισάμενοι = ὁρίσαντες ἀκριβῶς καὶ ἐκ συμφώνου τὸ θέμα τῆς συζητήσεως. Τὸ *οὕτω* μετὰ μετοχάς, ἢ δευτερευούσας προτάσεις, εἶνε ἀνακεφαλαιωτικὸν αὐτῶν. Ἂν καὶ σημαίνει κυρίως: *τοῦτον τὸν τρόπον*, ὅμως ἀνακεφαλαιοῖ οὐ μόνον τροπικάς, ἀλλὰ καὶ ὑποθετ. καὶ χρον. καὶ αἰτιολογ. προτάσεις. Πρωταγ. 310 d· «εὐθὺς ἀναστάς, οὕτω δεῦρο ἐπορευόμην». Ἀλκιβ. Α', 103 b· «Νῦν δ' ἐπειδὴ οὐκέτι ἐναντιοῦται, οὕτω προσελήλυθα» Ὁ Θουκ. μετεχειρίσθη τὸ *ἐκείνως* πρὸς ἀνακεφαλαίωσιν ὑποθ. λόγου. Α', 77.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γειν ἢ μὴ σαφῶς, χαλεπαίνουσί τε καὶ κατὰ φθόνον οἴον-
ται τὸν ἑαυτῶν λέγειν, φιλονικοῦντας ἀλλ' οὐ ζητοῦντας
τὸ προκείμενον ἐν τῷ λόγῳ· καὶ ἔνιοί γε τελευτῶντες αἴ-
σχιστα ἀπαλλάττονται, λοιδορηθέντες τε καὶ εἰπόντες καὶ
ἀκούσαντες περὶ σφῶν αὐτῶν τοιαῦτα, οἷα καὶ τοὺς παρόν-
τας ἄχθεσθαι ὑπὲρ σφῶν αὐτῶν, ὅτι τοιούτων ἀνθρώπων
ἠξίωσαν ἀκροαταὶ γενέσθαι. τοῦ δὴ ἕνεκα λέγω ταῦτα; E
ὅτι νῦν ἐμοὶ δοκεῖς σὺ οὐ πάνυ ἀκόλουθα λέγειν οὐδὲ σύμ-
φωνα οἷς τὸ πρῶτον ἔλεγες περὶ τῆς ῥητορικῆς. φοβοῦμαι
οὖν διελέγχειν σε, μή με ὑπολάβῃς οὐ πρὸς τὸ πρᾶγμα
φιλονικοῦντα λέγειν, τοῦ καταφανὲς γενέσθαι, ἀλλὰ πρὸς
σέ. ἐγὼ οὖν, εἰ μὲν καὶ σὺ εἶ τῶν ἀνθρώπων ὧνπερ καὶ
ἐγώ, ἡδέως ἄν σε διερωτῴην· εἰ δὲ μή, ἐῴην ἄν. ἐγὼ δὲ 458
τίνων εἰμί; τῶν ἡδέως μὲν ἂν ἐλεγχθέντων, εἴ τι μὴ ἀλη-
θὲς λέγω, ἡδέως δ' ἂν ἐλεγξάντων, εἴ τίς τι μὴ ἀληθὲς

1 *ἢ μὴ σαφῶς* = ἢ μὴ φῇ λέγειν σαφῶς. Τὸ μὲν *ὀρθῶς* περὶ τῆς διανοίας, τὸ δὲ *σαφῶς* περὶ τῆς φράσεως.

*καὶ κατὰ φθόνον οἴονται τὸν ἑαυτῶν λέγειν.* = Καὶ οἴονται ἑκάτεροι λέγειν τοὺς ἑτέρους κατὰ φθόνον τὸν ἑαυτῶν, δηλ. ὡς φθονοῦντας σφᾶς (τοὺς οἰομένους).

2 *φιλονικοῦντας* = προθυμουμένους νὰ φανῶσι νικηταὶ ὁπωσδήποτε μᾶλλον ἢ νὰ εὕρωσι τὸ ζητούμενον.

3 *τελευτῶντες* = τελευταῖον· ἐν τῷ τελευτᾶν τὴν συζήτησιν.

4 *ἀπαλλάττονται*· δηλ. ἀλλήλων· ἀποχωρίζονται.

*λοιδορηθέντες τε καί* . . . Μετοχ. ἐπεξηγ. τοῦ αἴσχιστα.

5 *οἷα καὶ τοὺς παρόντας ἄχθεσθαι.* Τὸ μὲν ἀπαρέμφ. δυνάμει τοῦ *οἷα*· ἡ δὲ αἰτιατ. *οἷα*, ἀντικείμενον τοῦ ἐκ τῶν προειρημένων ὑπονοουμένου *ἀκούσαντας*. Ὅρ. παραβλ. εἰς σελ. 501 e.

8 *ὅτι νῦν ἐμοὶ δοκεῖς.* Ἡ ἀντίφασις ἣν διορᾷ ὁ Σωκ. κεῖται ἐν τούτῳ, ὅτι ὁ Γοργ. ἐν μὲν σελ. 454 b, εἶπεν ὅτι ἡ ῥητορικὴ πραγματεύεται περὶ δικαίων καὶ ἀδίκων, ἀρτίως δὲ εἶπεν ὅτι ὁ ῥητορικὸς ἐνδέχεται νὰ κάμῃ καὶ ἄδικον χρῆσιν τῆς ῥητορικῆς. Ὅρα κατωτέρω 460 e.

10 *διελέγχειν σε.* Ἡ *διὰ* σημαίνει τὴν διέξοδον τοῦ ἐλέγχου διὰ τῶν καθ' ἕκαστον.

*μή με ὑπολάβῃς.* Σύμπλεκε ὧδε· μή με ὑπολάβῃς λέγειν (διελέγχειν) οὐ φιλονικοῦντα πρὸς τὸ πρᾶγμα, τοῦ γενέσθαι (αὐτὸ) καταφανές, ἀλλὰ πρὸς σέ. *Τοῦ καταφανὲς γενέσθαι*· διασάφησις τοῦ πρὸς τὸ πρᾶγμα. Τοιαύτας τελ. προτάσεις διὰ γενικῆς τελικοῦ ἀπαρεμφ. μεταχειρίζεται συχνότερον ὁ Θουκ. Α', 23· «Δι' ὅτι δ' ἔλυσαν (τὰς σπονδάς), τὰς αἰτίας προὔγραψα πρῶτον καὶ τὰς διαφοράς, τοῦ μή τινα ζητῆσαί ποτε ἐξ ὅτου τοσοῦτος πόλεμος τοῖς Ἕλλησι κατέστη».

11 *ἀλλὰ πρὸς σέ.* Ὅρα ἀνωτέρω 454 c.

14 *εἴ τι μὴ ἀληθὲς λέγω — εἴ τι μὴ ἀληθὲς λέγοι.* Ἐπίστησον ἐπὶ τὴν με-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λέγοι, οὐκ ἀηδέστερον μέντ' ἂν ἐλεγχθέντων ἢ ἐλεγξάντων· μεῖζον γὰρ αὐτὸ ἀγαθὸν ἡγοῦμαι, ὅσῳπερ μεῖζον ἀγαθόν ἐστιν αὐτὸν ἀπαλλαγῆναι κακοῦ τοῦ μεγίστου ἢ ἄλλον ἀπαλλάξαι. οὐδὲν γὰρ οἶμαι τοσοῦτον κακὸν εἶναι ἀνθρώπῳ, ὅσον δόξα ψευδὴς περὶ ὧν τυγχάνει νῦν ἡμῖν ὁ
B λόγος ὤν. εἰ μὲν οὖν καὶ σὺ φῂς τοιοῦτος εἶναι, διαλεγώμεθα. εἰ δὲ καὶ δοκεῖ χρῆναι ἐᾶν, ἐῶμεν ἤδη χαίρειν καὶ διαλύωμεν τὸν λόγον.

ΓΟΡ. Ἀλλὰ φημὶ μὲν ἔγωγε, ὦ Σώκρατες, καὶ αὐτὸς τοιοῦτος εἶναι οἷον σὺ ὑφηγεῖ· ἴσως μέντοι χρῆν ἐννοεῖν καὶ τὸ τῶν παρόντων. πάλαι γάρ τοι, πρὶν καὶ ὑμᾶς ἐλθεῖν, ἐγὼ τοῖς παροῦσι πολλὰ ἐπεδειξάμην, καὶ νῦν ἴσως
C πόρρω ἀποτενοῦμεν, ἢν διαλεγώμεθα. σκοπεῖν οὖν χρὴ καὶ τὸ τούτων, μή τινας αὐτῶν κατέχομεν βουλομένους τι καὶ ἄλλο πράττειν.

ΙΓ'. ΧΑΙ. Τοῦ μὲν θορύβου, ὦ Γοργία τε καὶ Σώκρατες, αὐτοὶ ἀκούετε τούτων τῶν ἀνδρῶν, βουλομένων ἀκούειν, ἐάν τι λέγητε· ἐμοὶ δ' οὖν καὶ αὐτῷ μὴ γένοιτο το-

ταβολὴν τῶν ἐγκλίσεων. Εἶνε ἀβροφροσύνη τοῦ Σωκ. περὶ μὲν ἑαυτοῦ μεταχειριζομένου τὴν ὁριστ. ἥτις σημαίνει καθαρὰν ὑπόθεσιν ἄνευ προσδηλώσεως τοῦ πιθανοῦ ἢ ἀπιθάνου· περὶ δὲ ἄλλου τινὸς (ὅςτις ἐν τῷ παρόντι εἶνε αὐτὸς ὁ Γοργ.) τὴν εὐκτικήν, ἥτις προσσημαίνει τὸ ἀπίθανον καὶ προβληματῶδες τοῦ ὑποτιθεμένου.

7 *εἰ δὲ καὶ δοκεῖ χρῆναι ἐᾶν*. Χάριν ἀβροφροσύνης ἀντὶ νὰ εἴπῃ: *εἰ δὲ μὴ φῂς τοιοῦτος εἶναι*.

*ἐῶμεν ἤδη χαίρειν* = τὸν ἀφίνομεν να ὑπάγῃ στὸ καλόν. Χαίρω, χαιρήσω, ἐχάρην· οὐχὶ χαίρομαι. Τοῦτο μετεχειρίσθη ποτὲ ὁ Πέρσης στρατηγὸς Δᾶτις, καὶ διακωμῳδεῖται ὑπ' Ἀριστοφ. Εἰρ. 291.
Ὡς ἥδομαι καὶ χαίρομαι κεὐφραίνομαι.

10 *οἷον σὺ ὑφηγεῖ*. Συμπλήρου: δεῖν εἶναι τὸν διαλεγόμενον.

*χρῆν ἐννοεῖν* = ἐν νῷ ἔχειν, ἐπιστροφὴν ποιεῖσθαι τῶν παρόντων.

13 *πόρρω ἀποτενοῦμεν*. Τὸ *ἀποτείνειν* συχνάκις μεταβατικῶς: μακρὸν ἢ συχνὸν λόγον. Ἐνταῦθα ἀμεταβάτως: θὰ προβῶμεν πολὺ μακρὰν ἐν τῷ λόγῳ. Ἡ κυρία σημασία τοῦ ῥήματος ἀναφαίνεται ἐν Πρωταγ. 329 a.

14 *μὴ κατέχομεν*. Τὸ μὴ μεθ' ὁριστ. Ὅρα πρκβλ.

16 *Τοῦ μὲν θορύβου*. Ἐπειδὴ ὁ Γοργ. ἤθελε νὰ διακόψῃ τὸν διάλογον δῆθεν χάριν τῶν παρόντων, ὑποτίθεται ἐνταῦθα ὅτι οὗτοι ἀνεθορύβησαν σημαίνοντες ὅτι ἐπεθύμουν νὰ ἐξακολουθήσῃ. Τοῦτο διαγγέλλει ὁ Χαιρεφῶν, ἐκφράζων ἅμα καὶ τὴν ἑαυτοῦ ἐπιθυμίαν κατὰ τὸν ἰδιάζοντα αὐτῷ τρόπον.

18 *ἐμοὶ δ' οὖν*. Περὶ τοῦ *δ' οὖν* ὅρα Ἀπολογ. σελ. 17 a. Σύμπλεκε ὧδε:

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σαύτη ἀσχολία, ὥςτε τοιούτων λόγων καὶ οὕτω λεγομένων ἀφεμένῳ προὐργιαίτερόν τι γενέσθαι ἄλλο πράττειν.

ΚΑΛ. Νὴ τοὺς θεούς, ὦ Χαιρεφῶν, καὶ μὲν δὴ καὶ αὐ- D
τὸς πολλοῖς ἤδη λόγοις παραγενόμενος οὐκ οἶδ' εἰ πώποτε ἥσθην οὕτως ὥςπερ νυνί· ὥςτ' ἔμοιγε, κἂν τὴν ἡμέραν ὅλην ἐθέλητε διαλέγεσθαι, χαριεῖσθε.

ΣΩ. Ἀλλὰ μήν, ὦ Καλλίκλεις, τό γ' ἐμὸν οὐδὲν κωλύει, εἴπερ ἐθέλει Γοργίας.

ΓΟΡ. Αἰσχρὸν δὴ τὸ λοιπόν, ὦ Σώκρατες, γίγνεται ἐμέ γε μὴ ἐθέλειν, αὐτὸν ἐπαγγειλάμενον ἐρωτᾶν ὅ τι τις βού-
λεται· ἀλλ' εἰ δοκεῖ τουτοισί, διαλέγου τε καὶ ἐρώτα ὅ τι E
βούλει.

*ἐμοὶ δ' οὖν καὶ αὐτῷ μὴ γένοιτο τοσαύτη ἀσχολία, ὥςτε γενέσθαι (μοι) προὐργιαίτερον πράττειν ἄλλο τι, ἀφεμένῳ τοιούτων λόγων καὶ οὕτω λεγομένων.* Φαῖδρ. 227 b· «Οὐκ ἂν οἴει με κατὰ Πίνδαρον καὶ ἀσχολίας ὑπέρτερον πρᾶγμα ποιήσασθαι τὴν σήν τε καὶ Λυσίου διατριβὴν ἀκοῦσαι;» Σχολὴ μὲν ἦτο ἡ ἀργία, ἡ ἀπαλλαγὴ ἀπὸ βιωτικῶν φροντίδων καὶ ἐνασχόλησις περὶ λόγους καὶ ἐν γένει διανοητικὰ ἔργα· ἀσχολία δὲ ἡ ἕνεκα βιωτικῶν φροντίδων στέρησις τοιαύτης σχολῆς.

2 *προὐργιαίτερον.* Συγκριτικ. τοῦ προὔργου (=πρὸ ἔργου), ὅπερ μὴ προσλαβὸν ὀνοματ. καταλήξεις διέμεινεν ἄκλιτον. Προὔργου μὲν τὸ πρὸ παντὸς ἄλλου ἔργου, τὸ σπουδαιότατον· πάρεργον δέ, τὸ παρὰ τὸ (κύριον) ἔργον· περίεργον δὲ τὸ περὶ τὸ (κύριον) ἔργον· πάρεργον ἄρα καὶ αὐτό, ἀλλὰ μετὰ πλείονος τοῦ δέοντος ἐπιμελείας πραττόμενον, καὶ διὰ τοῦτο τὸ περιεργάζεσθαι καὶ ἡ περιεργία ψεκτόν.

3 *καὶ μὲν δὴ καὶ αὐτός.* Ὁ β' *καὶ* δὲν ἀνήκει εἰς τὸ σύμπλεγμα, εἶνε προσθετικὸς εἰς τὸ αὐτός. Τὸ σύμπλεγμα εἶνε *καὶ μὲν δή,* σημαῖνον ἰσχυρὰν βεβαίωσιν: ἀλήθεια, ἢ μὰ τὴν ἀλήθειαν, τῷ ὄντι.

*καὶ αὐτὸς* = καὶ ἐγώ, ὅπως καὶ σὺ λέγεις.

7 *τό γ' ἐμὸν οὐδὲν κωλύει* = ἀπὸ μέρους μου δὲν κωλύει τίποτε.

8 *εἴπερ ἐθέλει Γοργίας* = φθάνει μόνον νὰ θέλῃ ὁ Γορ. Τὸ μὲν ἐθέλω συνήθως σημαίνει τὴν ἀλόγιστον θέλησιν οἵαν καὶ τὰ ζῷα ἔχουσιν· τὸ δὲ βούλομαι τὴν κατόπιν λογισμοῦ καὶ κρίσεως ὅτι ἀγαθὸν βούλησίν τινος, ἧς μετέχει μόνος ὁ ἄνθρωπος.

9 ***Αἰσχρὸν δὴ τὸ λοιπόν. Τὸ λοιπὸν*** ἐνταῦθα ἐγγίζει εἰς τὴν σημασίαν τοῦ ἡμετέρου. = Ὕστερον ἀπὸ ὅλα αὐτὰ καταντᾷ αἰσχρὸν νὰ μὴ θέλω ἐγώ.

10 ***αὐτὸν ἐπαγγειλάμενον ἐρωτᾶν ὅ τι τις βούλεται.*** Τὸ ἐπαγγέλλομαι ἐνταῦθα μετὰ τελ. ἀπαρεμφ. = παρέχω ἐμαυτόν, συγχωρῶ, προκαλῶ τινα ποιεῖν τι. Πρβλ. Λάχ. 189 b.

11 *διαλέγου τε καὶ ἐρώτα ὅ τι βούλει.* Ὁ Γοργ. ἔχεται ἔτι ἀπρὶξ τοῦ ἀξιώματός του, ὡς διδασκάλου παντεπιστήμονος λύοντος ἀπορίας μαθητῶν· ἐν ᾧ κατ' ἀλήθειαν οἱ ὅροι μετεστράφησαν ἤδη καὶ κατέλαβεν αὐτὸς τὴν θέσιν μαθητοῦ ἐλεγχομένου ὑπὸ τοῦ διδασκάλου, ὡς κακῶς μαθόντος τὸ μά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΩ. Ἄκουε δή, ὦ Γοργία, ἃ θαυμάζω ἐν τοῖς λεγομένοις ὑπὸ σοῦ· ἴσως γάρ τοι σοῦ ὀρθῶς λέγοντος ἐγὼ οὐκ ὀρθῶς ὑπολαμβάνω. ῥητορικὸν φῂς ποιεῖν οἷός τ' εἶναι, ἐάν τις βούληται παρὰ σοῦ μανθάνειν.

ΓΟΡ. Ναί.

ΣΩ. Οὐκοῦν περὶ πάντων, ὥςτ' ἐν ὄχλῳ πιθανὸν εἶναι, οὐ διδάσκοντα ἀλλὰ πείθοντα.

459 ΓΟΡ. Πάνυ μὲν οὖν.

ΣΩ. Ἔλεγές τοι νῦν δὴ ὅτι καὶ περὶ τοῦ ὑγιεινοῦ τοῦ ἰατροῦ πιθανώτερος ἔσται ὁ ῥήτωρ.

ΓΟΡ. Καὶ γὰρ ἔλεγον, ἔν γε ὄχλῳ.

ΣΩ. Οὐκοῦν τὸ ἐν ὄχλῳ τοῦτό ἐστιν, ἐν τοῖς μὴ εἰδόσιν· οὐ γὰρ δήπου ἔν γε τοῖς εἰδόσι τοῦ ἰατροῦ πιθανώτερος ἔσται.

ΓΟΡ. Ἀληθῆ λέγεις.

ΣΩ. Οὐκοῦν εἴπερ τοῦ ἰατροῦ πιθανώτερος ἔσται, τοῦ εἰδότος πιθανώτερος γίγνεται.

θημά του. Προϊόντος τοῦ λόγου ἀποθέτει τὰ προσχήματα καὶ ἐκφράζει τὴν ἐπιθυμίαν του νὰ μάθῃ παρὰ Σωκ. πῶς νοεῖ τὴν ῥητορικὴν ἄνευ διαθέσεως ἐλεγκτικῆς (Σελ. 463 καὶ ἑξ. Ἔπιθι καὶ σελ. 506 a, b.)

2 *Ἴσως γάρ τοι*. Ὁ Σωκ. μετριοπαθῶς προσποιεῖται ὅτι καὶ αὐτὸς δὲν εἶνε σοφώτερος τοῦ Γοργ., ἀλλὰ τοὐναντίον διὰ δυσμάθειαν ἴσως διαφωνεῖ πρὸς τὸν ὀρθὰ λέγοντα Γοργίαν.

3 *ῥητορικὸν φῄς*. Σύμπλ. ὧδε· Φῂς οἷός τ' εἶναι ποιεῖν ῥητορικόν, ἐάν τις κ.τ.λ. Ἡ ὑποθ. πρότασι, εἶνε τὸ ἀντικ. τοῦ ποιεῖν, τὸ δέ: ῥητορικόν, τὸ κατηγορ.

6 *Οὐκοῦν περὶ πάντων*. Σύμπλ. ῥητορικὸν φῂς ποιεῖν = ἐπιτήδειον νὰ ῥητορεύῃ περὶ πάντων.

7 *οὐ διδάσκοντα ἀλλὰ πείθοντα*. Ὅπως ὥρισεν ἀνωτέρω (453 d) τὴν ἔννοιαν τοῦ διδάσκειν ὅτι καὶ αὐτό ἐστι πείθειν, ἐνταῦθα δὲν ἔχει λογικὴν ὀρθότητα ἡ ἀντίθεσις τοῦ διδάσκειν καὶ πείθειν· διότι εἶνε τὸ αὐτὸ ὡς νὰ ἔλεγεν: οὐ πείθοντα, ἀλλὰ πείθοντα. Ἀλλ' ὁ Πλ. μετεχειρίσθη ἐνταῦθα τὸ *πείθοντα* = ποιοῦντα πιστεύειν· ὥςτε τὸ οὐ διδάσκοντα, ἀλλὰ πείθοντα = οὐχ ἐμποιοῦντα πειθὼ διδασκαλικήν, ἀλλὰ πειθὼ πιστικήν. Τοῦτο δὲ διὰ τὴν ἔνδειαν τῆς γλώσσης μὴ ἐχούσης ἓν ῥῆμα ἐκ τοῦ *πίστις* σημαῖνον *πίστιν ποιοῦντα*.

11 *ἔν γε ὄχλῳ*. Εὐλαβούμενος ὁ Γορ. μὴ ἐξελεγχθῇ, ἐπιφέρει μετ' ἐμφάσεως τὸ *ἔν γε ὄχλῳ*, ἀποκλείων τοὺς φρονίμους καὶ ἐπιστήμονας.

12 *Οὐκοῦν τὸ ἐν ὄχλῳ τοῦτό ἐστιν* Σύμπλεκε οὐχί: *τὸ ἐν ὄχλῳ τοῦτο*, ἀλλά: *τὸ ἐν ὄχλῳ ἐστὶ τοῦτο*, (σημαίνει τοῦτο), *ἐν τοῖς μὴ εἰδόσι*.

16 *τοῦ εἰδότος πιθανώτερος γίγνεται*. Τὸ γίγνεται ἐνταῦθα σημαίνει τὸ προκῦπτον ἢ ἀποβαῖνον ἔκ τινος ὑποθέσεως ἢ συλλογισμοῦ· ὅπως καὶ ἐν τῇ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΓΟΓ. Πάνυ γε.

ΣΩ. Οὐκ ἰατρός γε ὤν· ἦ γάρ;

ΓΟΡ. Ναί. B

ΣΩ. Ὁ δὲ μὴ ἰατρός γε δήπου ἀνεπιστήμων ὧν ὁ ἰατρὸς ἐπιστήμων.

ΓΟΡ. Δῆλον ὅτι.

ΣΩ. Ὁ οὐκ εἰδὼς ἄρα τοῦ εἰδότος ἐν οὐκ εἰδόσι πιθανώτερος ἔσται, ὅταν ὁ ῥήτωρ τοῦ ἰατροῦ πιθανώτερος ᾖ. τοῦτο συμβαίνει ἢ ἄλλο τι;

ΓΟΡ. Τοῦτο ἐνταῦθά γε συμβαίνει.

ΣΩ. Οὐκοῦν καὶ περὶ τὰς ἄλλας ἁπάσας τέχνας ὡςαύτως ἔχει ὁ ῥήτωρ καὶ ἡ ῥητορική· αὐτὰ μὲν τὰ πράγματα οὐδὲν δεῖ αὐτὴν εἰδέναι ὅπως ἔχει, μηχανὴν δέ τινα C πειθοῦς εὑρηκέναι, ὥςτε φαίνεσθαι τοῖς οὐκ εἰδόσι μᾶλλον εἰδέναι τῶν εἰδότων.

ΙΔ΄. ΓΟΡ. Οὔκουν πολλὴ ῥᾳστώνη, ὦ Σώκρατες, γίγνεται, μὴ μαθόντα τὰς ἄλλας τέχνας, ἀλλὰ μίαν ταύτην, μηδὲν ἐλαττοῦσθαι τῶν δημιουργῶν;

ΣΩ. Εἰ μὲν ἐλαττοῦται ἢ μὴ ἐλαττοῦται ὁ ῥήτωρ τῶν ἄλλων διὰ τὸ οὕτως ἔχειν, αὐτίκα ἐπισκεψόμεθα, ἐάν τι ἡμῖν πρὸς λόγον ᾖ· νῦν δὲ τόδε πρότερον σκεψώμεθα, ἆρα τυγχάνει περὶ τὸ δίκαιον καὶ τὸ ἄδικον καὶ τὸ αἰσχρὸν καὶ D τὸ καλὸν καὶ ἀγαθὸν καὶ κακὸν οὕτως ἔχων ὁ ῥητορικὸς ὡς περὶ τὸ ὑγιεινὸν καὶ περὶ τὰ ἄλλα ὧν αἱ ἄλλαι τέχναι, αὐτὰ μὲν οὐκ εἰδώς, τί ἀγαθὸν ἢ τί κακόν ἐστιν ἢ τί κα-

ἀριθμητικῇ λέγεται ὅτι γίγνεται ὁ δεῖνα ἀριθμὸς ὁ ἐκ τῆς προσθέσεως ἢ τοῦ πολλαπλασιασμοῦ ἄλλων προκύπτων. Γορ. 512 d· «Τὸ δὲ βέλτιον, εἰ μή ἐστιν ὃ ἐγὼ λέγω, καταγέλαστός σοι ὁ ψόγος γίγνεται». Πολ. 354 c· «ὥςτε μοι νυνὶ γέγονεν ἐκ τοῦ διαλόγου μηδὲν εἰδέναι».

16 *ῥᾳστώνη*: *ἐκ τοῦ ῥᾷστον*=εὐκολία, κέρδος, πλεονέκτημα. Ὁ Γοργ. δὲν συζητεῖ πλέον, ἀλλ' ἀμύνεται τὸν Σωκ. δύσνουν ἀποδειχθέντα πρὸς τὴν τέχνην του.

20 *ἐάν τι ἡμῖν πρὸς λόγον ᾖ*=ἐὰν τὸ ἐπισκέψασθαι, ἢ τὸ σκέμμα, ᾖ ἡμῖν πρὸς λόγον· ἐὰν τὸ ἀπαιτῇ ἡ σειρὰ τοῦ λόγου.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λὸν ἢ τί αἰσχρὸν ἢ δίκαιον ἢ ἄδικον, πειθὼ δὲ περὶ αὐτῶν μεμηχανημένος, ὥςτε δοκεῖν εἰδέναι οὐκ εἰδὼς ἐν οὐκ εἰδόσι μᾶλλον τοῦ εἰδότος; ἢ ἀνάγκη εἰδέναι καὶ δεῖ προ-
E επιστάμενον ταῦτα ἀφικέσθαι παρὰ σὲ τὸν μέλλοντα μαθήσεσθαι τὴν ῥητορικήν; εἰ δὲ μή, σὺ ὁ τῆς ῥητορικῆς διδάσκαλος τούτων μὲν οὐδὲν διδάξεις τὸν ἀφικνούμενον, οὐ γὰρ σὸν ἔργον, ποιήσεις δ' ἐν τοῖς πολλοῖς δοκεῖν εἰδέναι αὐτὸν τὰ τοιαῦτα οὐκ εἰδότα καὶ δοκεῖν ἀγαθὸν εἶναι οὐκ ὄντα; ἢ τὸ παράπαν οὐχ οἷός τε ἔσει διδάξαι αὐτὸν τὴν ῥητορικήν, ἐὰν μὴ προειδῇ περὶ τούτων τὴν ἀλήθειαν; ἢ
460 πῶς τὰ τοιαῦτα ἔχει, ὦ Γοργία; καὶ πρὸς Διός, ὥςπερ ἄρτι εἶπες, ἀποκαλύψας τῆς ῥητορικῆς εἰπὲ τίς ποθ' ἡ δύναμίς ἐστιν.

3 ***ἢ ἀνάγκη εἰδέναι.*** Τὸ β' κῶλον τῆς διαζευκτικῆς ἐρωτήσεως, τοῦ α' ὄντος ***ἆρα τυγχάνει περὶ τὸ δίκαιον*** κ.τ.λ.; Ἐνταῦθα ὁ Σωκ. περιάγει τὸν Γορ. εἰς δίλημμα. Ἐὰν μὲν καταφήσῃ τὸ α' κῶλον τῆς διαζεύξεως, λέγει μὲν ὁμόλογα πρὸς τὰ προειρημένα, ἀλλὰ καταβιβάζει τὴν τέχνην του εἰς πανουργίαν τινά, δι' ἧς ἐξαπατᾷ τὸν ἀμαθῆ ὄχλον· ἐὰν δὲ καταφήσῃ τὸ β' κῶλον, περιπίπτει εἰς ἀντίφασιν, ὅπερ καὶ ἔπαθεν, ὡς δειχθήσεται κατωτέρω. Ἡ ὑπὸ Γοργ. κατάφασις τοῦ β' κώλου γεννᾷ νέας ἀπορίας καὶ δυσχερείας εἰς τὸν Γοργ. Ὁ μαθητὴς ἀφικνεῖται πρὸς τὸν Γοργ. ἢ προεπιστάμενος, ἢ μὴ προεπιστάμενος τὰ δίκαια· ἐν τῇ β' ταύτῃ περιπτώσει ἀπορεῖται, ἂν θὰ διδαχθῇ τὴν ῥητορικὴν ὑπὸ Γοργ. καίπερ ἀγνοῶν αὐτά· ἢ εἶνε ἀδύνατος ἡ διδασκαλία τῆς ῥητορικῆς ἄνευ προμαθήσεως τῶν δικαίων. Ὁ Γοργ. οὐδέτερον τούτων καταφάσκει, ἀλλὰ καταφεύγει εἴς τι τρίτον, ὡς σωστικὴν σανίδα. Δύναται, λέγει, ἐν τοιαύτῃ περιπτώσει νὰ διδάξῃ τὸν μαθητὴν ἅμα τήν τε ῥητορικὴν καὶ τὰ δίκαια. Διὰ πασῶν τούτων τῶν καταφάσεων ὁ Γορ. βεβαιοῖ ὅτι ὁ ῥητορικὸς ὁπωςδήποτε ὀφείλει νὰ γινώσκῃ τὰ δίκαια· ἐν ᾧ τὰς ἄλλας τέχνας, κατὰ τὰ προειρημένα, δὲν ὀφείλει νὰ γινώσκῃ. Ταῦτα ἤδη ἀποτελοῦσιν ἀντίφασιν καὶ μαρτυροῦσιν ὅτι ὁ Γοργ. οὐδεμίαν εἶχεν ἐπιστημονικὴν ἔννοιαν τῆς τέχνης του. Ἀλλ' ὁ Σωκ. δὲν ἐλέγχει ταύτην τὴν ἀντίφασιν, οὐδὲν πρὸς τὸ κύριον θέμα τοῦ διαλόγου συμβαλλομένην, ἀλλὰ τήνδε, ὅτι ὁ τὰ δίκαια γινώσκων ἀνάγκη νὰ εἶνε δίκαιος, ὁ δὲ δίκαιος ῥήτωρ δὲν δύναται νὰ κάμῃ ποτὲ ἄδικον χρῆσιν τῆς ῥητορικῆς. Ὁ Γοργ. δ' ὅμως εἶπε πρότερον, ὅτι ὁ ῥήτωρ δύναται, ἂν θέλῃ, νὰ ἀδικήσῃ πάντα ἄνθρωπον διὰ τῆς ῥητορικῆς του δυνάμεως. Ταύτην τὴν ἀντίφασιν ἐλέγχει ὁ Σωκ.

12 *ἀποκαλύψας τῆς ῥητορικῆς* κ.τ.λ. Ὀλίγον ἀνώμαλος ἡ φράσις διὰ βραχυλογίαν. Ὁμαλῶς θὰ εἶχεν ὧδε: ἀποκαλύψας τῆς ῥητορικῆς τὴν δύναμιν, εἰπὲ τίς ποτ' ἐστὶν αὕτη. Διὰ τούτων αἰνίττεται εἰς τὴν 455 d καὶ 456 a κομπορρημοσύνην τοῦ Γορ. Ἡ εἰρωνεία εἶνε τόσον κατάδηλος, ὥςτε ἀδύνατον νὰ μὴ ᾐσθάνθη αὐτὴν ὁ Γορ., διὰ τοῦτο ἀποκρίνεται ἤδη λίαν συν-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΓΟΡ. Ἀλλ' ἐγὼ μὲν οἶμαι, ὦ Σώκρατες, ἐὰν τύχῃ μὴ εἰδώς, καὶ ταῦτα παρ' ἐμοῦ μαθήσεται.

ΣΩ. Ἔχε δή· καλῶς γὰρ λέγεις. ἐάνπερ ῥητορικὸν σύ τινα ποιήσῃς, ἀνάγκη αὐτὸν εἰδέναι τὰ δίκαια καὶ τὰ ἄδικα ἤτοι πρότερόν γε ἢ ὕστερον μαθόντα παρὰ σοῦ.

ΓΟΡ. Πάνυ γε.

ΣΩ. Τί οὖν; ὁ τὰ τεκτονικὰ μεμαθηκὼς τεκτονικός, B ἢ οὔ;

ΓΟΡ. Ναί.

ΣΩ. Οὐκοῦν καὶ ὁ τὰ μουσικὰ μουσικός;

ΓΟΡ. Ναί.

ΣΩ. Καὶ ὁ τὰ ἰατρικὰ ἰατρικός, καὶ τἆλλα οὕτω κατὰ τὸν αὐτὸν λόγον, ὁ μεμαθηκὼς ἕκαστα τοιοῦτός ἐστιν οἷον ἡ ἐπιστήμη ἕκαστον ἀπεργάζεται;

ΓΟΡ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν κατὰ τοῦτον τὸν λόγον καὶ ὁ τὰ δίκαια μεμαθηκὼς δίκαιος.

ΓΟΡ. Πάντως δήπου.

ΣΩ. Ὁ δὲ δίκαιος δίκαιά που πράττει.

ΓΟΡ. Ναί.

[ΣΩ. Οὐκοῦν ἀνάγκη τὸν ῥητορικὸν δίκαιον εἶναι· τὸν C δὲ δίκαιον βούλεσθαι δίκαια πράττειν;]

εσταλμένως, μεταχειριζόμενος τὸ οἶμαι.

3 *Ἔχε δή*. Ὁμοίως σελ. 490 b· «Ἔχε δὴ αὐτοῦ»=στάσου ἐδῶ. Πολλὰ ῥήματα ἐνεργητικά, κατὰ τὰς ἄλλας ἐγκλίσεις δεχόμενα συνήθως τὸ οἰκεῖον ἀντικείμενον, ἐν τῇ προστακτικῇ παραλείπουσιν αὐτὸ καὶ καταντῶσιν ἀμετάβατα. Τοῦτο δὲ διότι ἡ προσταγὴ ἀπαιτεῖ συντομίαν. Τοιαῦτα ἦσαν τὰ εἰς ἐπιρρήματα μεταπεσόντα ἄγε, φέρε, ἔα, ἄφες, παῦε. Ἐνταῦθα τὸ *ἔχε* νομίζω ὅτι προῆλθεν ἐκ τῆς πρὸς ἱππεῖς ἢ ἡνιόχους παρακελεύσεως νὰ ἐπίσχωσι τοὺς ἵππους, δηλ. νὰ σταματήσωσιν. Ὁμοίως καὶ ἡμεῖς: Βάστ', ἀμαξᾶ! δηλ. τοὺς ἵππους, ὅθεν=στάσου ἢ σταμάτα! Ὅτι δὲ καὶ τῶν λόγων ὁ δρόμος ἀπεικάζετο πρὸς τὸν τῶν ἵππων φαίνεται ἐκ Πρωταγ. 338 a «μήτε σὲ τὸ ἀκριβὲς τοῦτο εἶδος τῶ διαλόγων ζητεῖν τὸ κατὰ βραχὺ λίαν, εἰ μὴ ἡδὺ Πρωταγόρᾳ, ἀλλ' ἐφεῖναι καὶ χαλάσαι τὰς ἡνίας τοῖς λόγοις».

*καλῶς γὰρ λέγεις*. Ταῦτα λέγει ὁ Σωκ. ἄνευ εἰρωνείας· τῷ ἐφάνη τῷ ὄντι καλὸν ὅτι ὁ ῥητορικὸς πρέπει να γινώσκῃ καὶ τὰ δίκαια. Ἂν ταῦτα λέγων ὁ Γορ. ἀντιφάσκει πρὸς ἑαυτόν, αὐτὸς ὄψεται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

[ΓΟΡ. Φαίνεταί γε.]

ΣΩ. Οὐδέποτε ἄρα βουλήσεται ὅ γε δίκαιος ἀδικεῖν.

ΓΟΡ. Ἀνάγκη.

ΣΩ. Τὸν δὲ ῥητορικὸν ἀνάγκη ἐκ τοῦ λόγου δίκαιον εἶναι.

ΓΟΡ. Ναί.

ΣΩ. Οὐδέποτε ἄρα βουλήσεται ὁ ῥητορικὸς ἀδικεῖν.

ΓΟΡ. Οὐ φαίνεταί γε.

ΙΕ'. ΣΩ. Μέμνησαι οὖν λέγων ὀλίγῳ πρότερον, ὅτι οὐ
D δεῖ τοῖς παιδοτρίβαις ἐγκαλεῖν οὐδ' ἐκβάλλειν ἐκ τῶν πόλεων, ἐὰν ὁ πύκτης τῇ πυκτικῇ μὴ καλῶς χρῆταί τε καὶ ἀδικῇ; ὡςαύτως δ' οὕτω καὶ ἐὰν ὁ ῥήτωρ τῇ ῥητορικῇ ἀδίκως χρῆται, μὴ τῷ διδάξαντι ἐγκαλεῖν μηδὲ ἐξελαύνειν ἐκ τῆς πόλεως, ἀλλὰ τῷ ἀδικοῦντι καὶ οὐκ ὀρθῶς χρωμένῳ τῇ ῥητορικῇ; ἐρρήθη ταῦτα ἢ οὔ;

ΓΟΡ. Ἐρρήθη.

E ΣΩ. Νῦν δέ γε ὁ αὐτὸς οὗτος φαίνεται, ὁ ῥητορικός, οὐκ ἄν ποτε ἀδικήσας· ἢ οὔ;

ΓΟΡ. Φαίνεται.

ΣΩ. Καὶ ἐν τοῖς πρώτοις γε, ὦ Γοργία, λόγοις ἐλέγετο, ὅτι ἡ ῥητορικὴ περὶ λόγους εἴη οὐ τοὺς τοῦ ἀρτίου καὶ περιττοῦ, ἀλλὰ τοὺς τοῦ δικαίου καὶ ἀδίκου· ἦ γάρ;

ΓΟΡ. Ναί.

ΣΩ. Ἐγὼ τοίνυν, σοῦ τότε ταῦτα λέγοντος, ὑπέλαβον ὡς οὐδέποτ' ἂν εἴη ἡ ῥητορικὴ ἄδικον πρᾶγμα, ὅ γ' ἀεὶ περὶ δικαιοσύνης τοὺς λόγους ποιεῖται· ἐπειδὴ δὲ ὀλίγον ὕστερον ἔλεγες ὅτι ὁ ῥήτωρ τῇ ῥητορικῇ κἂν ἀδίκως χρῷτο,
461 οὕτω θαυμάσας καὶ ἡγησάμενος οὐ συνᾴδειν τὰ λεγόμενα,

8 *ὀλίγῳ πρότερον*. Σελ. 456 e.

10 *ὡςαύτως δ' οὕτω*. Ὅπως λέγεται: ὁ αὐτὸς οὗτος, τὰ αὐτὰ ταῦτα, οὕτω καί: ὡςαύτως οὕτως.

16 *φαίνεται οὐκ ἄν ποτε ἀδικήσας* = ἀποδείκνυται ἐκ τοῦ λόγου ὅτι οὐκ ἄν ποτε ἀδικήσειε. Ταῦτά εἰσιν ὁ ἔλεγχος τῆς κυρίας ἀντιφάσεως τοῦ Γοργ. τῆς μεταξὺ τῶν ἀρτίως ὑπ' αὐτοῦ ὁμολογηθέντων καὶ τῶν ἐν σελ. 456 e λεχθέντων.

19 *Καὶ ἐν τοῖς πρώτοις γε λόγοις* τοῖς ἐν σελ. 454 b. Διὰ τούτων μεταβαίνει εἰς τὸν β' ἔλεγχον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκείνους εἶπον τοὺς λόγους ὅτι, εἰ μὲν κέρδος ἡγοῖο εἶναι τὸ ἐλέγχεσθαι ὥσπερ ἐγώ, ἄξιον εἴη διαλέγεσθαι, εἰ δὲ μή, ἐᾶν χαίρειν· ὕστερον δὲ ἡμῶν ἐπισκοπουμένων ὁρᾷς δὴ καὶ αὐτὸς ὅτι αὖ ὁμολογεῖται τὸν ῥητορικὸν ἀδύνατον εἶναι ἀδίκως χρῆσθαι τῇ ῥητορικῇ καὶ ἐθέλειν ἀδικεῖν. ταῦτα οὖν ὅπῃ ποτὲ ἔχει, μὰ τὸν κύνα, ὦ Γοργία, οὐκ ὀλίγης B
συνουσίας ἐστὶν ὥστε ἱκανῶς διασκέψασθαι.

ΙϚ'. ΠΩΛ. Τί δαί, ὦ Σώκρατες; οὕτω καὶ σὺ περὶ τῆς ῥητορικῆς δοξάζεις, ὥσπερ νῦν λέγεις, ἀεί; ἢ ὅτι Γοργίας ᾐσχύνθη σοι μὴ προσομολογῆσαι τὸν ῥητορικὸν ἄνδρα μὴ οὐχὶ καὶ τὰ δίκαια εἰδέναι καὶ τὰ καλὰ καὶ τὰ ἀγαθά, καὶ ἐὰν μὴ ἔλθῃ ταῦτα εἰδὼς παρ' αὐτόν, αὐτὸς διδάξειν, ἔπειτα ἐκ ταύτης ἴσως τῆς ὁμολογίας ἐναντίον τι συνέβη ἐν τοῖς λόγοις, τοῦτο δὴ ἀγαπᾷς, αὐτὸς ἀγαγὼν ἐπὶ τὰ τοι- C

1 *ὅτι, εἰ μὲν κέρδος ἡγοῖο — ἄξιον εἴη διαλέγεσθαι.* Αἱ εὐκτ. οὐχὶ διότι ἀπαιτεῖ αὐτὰς τὸ προκείμενον εἶδος τοῦ ὑποθ. λόγου, ἀλλὰ διότι τὸ ὅλον εἶνε εἰδ. λόγος ἐξαρτώμενος ἐκ παρῳχ. χρόνου (ἐκείνους εἶπον τοὺς λόγους)· διὰ τοῦτο ἄρα δὲν ἐτέθη ὁ *ἂν* ἐν τῇ ἀποδόσει. Ἂν δὲν ἦτο πλάγιος ὁ λόγος, θὰ μετεχειρίζετο ἐν ἀμφοτέροις ὁριστικήν.

5 *Ταῦτα οὖν* κ. τ. λ Καὶ ἐνταῦθα μετριοφροσύνη τοῦ Σωκρ. προσποιουμένου ὅτι δὲν ἤλεγξε τὸν Γοργίαν, ὡς εἰδὼς μὴ εἰδότα, ἀλλ᾽ ὅτι ἀμφότεροι ἐν τῇ αὐτῇ ἀγνοίᾳ διατελοῦσι, καὶ ὅτι δῆθεν ἀπαιτεῖται μακρὰ συζήτησις, ὅπως εὑρεθῇ τὸ ἀληθές, ἣν ὅμως ὁ παρὼν καιρὸς δὲν ἐπιτρέπει, κατὰ τὴν ἐν σελ. 458 ἑξ. ἐκδηλωθεῖσαν γνώμην καὶ διάθεσιν τοῦ Γοργ.

Ἐνταῦθα σιγήσαντος τοῦ Γοργ. ὡς μὴ ἔχοντός τι κρεῖσσον τῆς σιγῆς νὰ εἴπῃ, ἀναδέχεται τὸν λόγον ὁ θρασὺς Πῶλος.

8 *οὕτω καὶ σὺ περὶ τῆς ῥητορικῆς δοξάζεις.* Ὁ *καὶ* οὐχὶ εἰς τὸ σύ, ἀλλ᾽ εἰς τὸ *δοξάζεις*.

9 *ἀεί; ἢ ὅτι Γοργίας* κ.τ.λ. Ὅρα πρκδλ.

10 *ᾐσχύνθη σοι μὴ προσομολογῆσαι ... μὴ οὐχὶ καὶ τὰ δίκαια εἰδέναι.* Τὸ μέν: ᾐσχύνθη προσομολογῆσαι, θὰ ἐσήμαινεν: ὑπ᾽ αἰσχύνης οὐ προσωμολόγησεν· τὸ δὲ προκείμενον: ὑπ' αἰσχύνης προσωμολόγησε. Ὥστε ὁ νοῦς εἶνε οὕτως· ὁ Γορ. ᾐσχύνθη νὰ μὴ ὁμολογήσῃ πῶς ὁ ῥητορικὸς δὲν γνωρίζει τὰ δίκαια κ. τ. λ. καὶ αἰσχυνθεὶς ὡμολόγησε τὰ ἐναντία, ὅτι ὁ ῥητορικὸς γινώσκει (ἢ πρέπει νὰ γινώσκῃ) τὰ δίκαια, καὶ ὅτι, ἂν προέλθῃ τις μαθητὴς ἀγνοῶν αὐτά, αὐτὸς θὰ τὸν διδάξῃ.

11 *καὶ ἐὰν μὴ ἔλθῃ ταῦτα εἰδὼς παρ' αὐτόν.* Τὸ *μή*, οὐχὶ εἰς τὸ *ἔλθῃ*, ἀλλ' εἰς τὸ *εἰδώς*· ὑπὸ τῆς σφοδρότητος μεθ' ἧς λέγει ταῦτα ὁ Πῶλος, παρέλιπε τὸ ὑποκ. τοῦ *ἔλθῃ*, ὅπερ νοεῖται μὲν εὐκόλως, ἀλλ' ἡ τοιαύτη παράλειψις ἐγένετο παρὰ τοὺς κανόνας τῆς γλώσσης.

12 *αὐτὸς διδάξειν*· ἐξαρτᾶται ἐκ τῆς ἐννοίας τοῦ ὡμολόγησεν, πρὸς ὃ ἰσοδυναμεῖ τὸ ἀνωτέρω προσομολογῆσαι,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὖτα ἐρωτήματα; ἐπεὶ τίνα οἴει ἀπαρνήσεσθαι μὴ οὐχὶ καὶ αὐτὸν ἐπίστασθαι τὰ δίκαια καὶ ἄλλους διδάξειν; ἀλλ' εἰς τὰ τοιαῦτα ἄγειν πολλὴ ἀγροικία ἐστὶ τοὺς λόγους.

ΣΩ. Ὦ κάλλιστε Πῶλε, ἀλλά τοι ἐξεπίτηδες κτώμεθα ἑταίρους καὶ υἱεῖς, ἵνα ἐπειδὰν αὐτοὶ πρεσβύτεροι γιγνόμενοι σφαλλώμεθα, παρόντες ὑμεῖς οἱ νεώτεροι ἐπανορθοῖτε ἡμῶν τὸν βίον καὶ ἐν ἔργοις καὶ ἐν λόγοις· καὶ νῦν εἴ τι
D ἐγὼ καὶ Γοργίας ἐν τοῖς λόγοις σφαλλόμεθα, σὺ παρὼν ἐπανόρθου· δίκαιος δ' εἶ· καὶ ἐγὼ ἐθέλω τῶν ὡμολογημένων εἴ τί σοι δοκεῖ μὴ καλῶς ὡμολογῆσθαι, ἀναθέσθαι ὅ τι ἂν σὺ βούλῃ, ἐάν μοι ἓν μόνον φυλάττῃς.

ΠΩΛ. Τί τοῦτο λέγεις;

ΣΩ. Τὴν μακρολογίαν, ὦ Πῶλε, ἣν καθείρξῃς, ᾗ τὸ πρῶτον ἐπεχείρησας χρῆσθαι.

ἀποκαθαιρόμενον ἀπὸ τῶν ἀρνήσεων καὶ τῶν ἄλλων σχημάτων τοῦ λόγου.

1 *μὴ οὐχί.* Διπλῆ ἄρνησις πρὸ ἀπαρεμφ. τιθεμένη συνήθως ὅταν ἐκ ῥήματος ἐνέχοντος ἀρνητ. ἔννοιαν καὶ ἔξωθεν ἄλλην ἄρνησιν, ἐξαρτᾶται ἀπαρέμφ. Ἀπαρνοῦμαι μὴ ἐπίστασθαι = Φημὶ οὐκ ἐπίστασθαι. Οὐκ ἀπαρνοῦμαι μὴ οὐχὶ ἐπίστασθαι = Φημὶ ἐπίστασθαι. Ὁ γνωστὸς στίχος τῆς Ἀντιγόνης τοῦ Σοφοκλέους
Καὶ φημὶ δρᾶσαι κοὐκ ἀπαρνοῦμαι τὸ μὴ·
θὰ συνεπληροῦτο ὀρθῶς διὰ τῶν: τὸ *μὴ οὐ δρᾶσαι.* Ἐν τῷ προκειμένῳ ἡ ἔξωθεν ἄρνησις λανθάνει ἐν τῇ ἐρωτήσει. Τὰ αὐτὰ καὶ περὶ τοῦ ἀνωτέρω: *μὴ οὐχὶ καὶ τὰ δίκαια.*

6 *σφαλλώμεθα — ἐπανορθοῖτε.* Αἱ λέξεις ἔχουσιν ἐνταῦθα κυρίαν τε καὶ μεταφορ. σημασίαν, κατὰ μὲν τὴν κυρίαν σπουδαστικῶς εἰρημέναι, κατὰ δὲ τὴν μεταφορικὴν χλευαστικῶς. Εἶνε μὲν τῷ ὄντι καλὸν καὶ ἐπαινετόν, οἱ νεώτεροι, υἱοὶ ἢ ἑταῖροι, νὰ ἐπανορθῶσι (νὰ ἀνιστῶσιν ὀρθίους) τοὺς πρεσβυτέρους σφαλλομένους (παραπατοῦντας καὶ πίπτοντας διὰ τὸ γῆρας)· εἶνε δὲ αἰσχρὸν καὶ ἐπονείδιστον νὰ ἐπιχειρῶσι τοιοῦτόν τι πρὸς τοὺς πρεσβυτέρους οἱ νεώτεροι ἐν τοῖς λόγοις· διότι φύσει, ὅταν παρακμάζῃ τὸ σῶμα, τότε ἀκμάζει ἡ διάνοια. Συμπ. 219 a· «Ἥ τοι τῆς διανοίας ὄψις ἄρχεται ὀξὺ βλέπειν, ὅταν ἡ τῶν ὀμμάτων τῆς ἀκμῆς λήγειν ἐπιχειρῇ». Νόμ. 715 d· «Νέος μὲν γὰρ ὢν πᾶς ἄνθρωπος τὰ τοιαῦτα ἀμβλύτατα αὐτὸς ἑαυτοῦ ὁρᾷ, γέρων δὲ ὀξύτατα».

9 *δίκαιος δ' εἶ* = δίκαιον δ' ἐστί σε ἐπανορθοῦν ἡμᾶς, ἅτε νεώτερον ὄντα. Μετὰ χλεύης εἰρημένον.

*ἐθέλω ἀναθέσθαι* = εἶμαι πρόθυμος νὰ μετακινήσω ὅ τι σοι φαίνεται ὅτι δὲν ὡμολογήθη καλῶς. Ἡ μεταφορὰ ἐκ τῶν πεσσῶν. Ἐν Ἱππάρχ. 229 e δηλοῦται τοῦτο σαφῶς· «Ἀλλὰ μὴν καὶ ὥσπερ πεττεύων ἐθέλω σοι ἐν τοῖς λόγοις ἀναθέσθαι ὅ τι βούλει τῶν εἰρημένων». Καὶ παρ' αὐτῷ ὁ Σχολ. «Ἀναθέσθαι ἐπὶ τῶν πεσσῶν ἔλεγον οἱ παίζοντες· οὓς γὰρ μὴ κατὰ τὸ δέον ἐκίνησαν, τούτους ἀνετίθεσαν».

13 *Τὴν μακρολογίαν, ᾗ τὸ πρῶτον.* Ἐν σελ. 448 c.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΩΛ. Τί δέ; οὐκ ἐξέσται μοι λέγειν ὁπόσα ἂν βούλωμαι;

ΣΩ. Δεινὰ μέντ' ἂν πάθοις, ὦ βέλτιστε, εἰ Ἀθήναζε ἀφι- E κόμενος, οὗ τῆς Ἑλλάδος πλείστη ἐστὶν ἐξουσία τοῦ λέγειν, ἔπειτα σὺ ἐνταῦθα τούτου μόνος ἀτυχήσαις. ἀλλὰ ἀντίθες τοι· σοῦ μακρὰ λέγοντος καὶ μὴ ἐθέλοντος τὸ ἐρωτώμενον ἀποκρίνεσθαι, οὐ δεινὰ ἂν αὖ ἐγὼ πάθοιμι, εἰ μὴ ἐξέσται μοι ἀπιέναι καὶ μὴ ἀκούειν σου; ἀλλ' εἴ τι κήδει 462 τοῦ λόγου τοῦ εἰρημένου καὶ ἐπανορθώσασθαι αὐτὸν βούλει, ὥςπερ νῦν δὴ ἔλεγον, ἀναθέμενος ὅ τι σοι δοκεῖ, ἐν τῷ μέρει ἐρωτῶν τε καὶ ἐρωτώμενος, ὥςπερ ἐγώ τε καὶ Γοργίας, ἔλεγχέ τε καὶ ἐλέγχου· φῂς γὰρ δήπου καὶ σὺ ἐπίστασθαι ἅπερ Γοργίας· ἢ οὔ;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Οὐκοῦν καὶ σὺ κελεύεις σαυτὸν ἐρωτᾶν ἑκάστοτε ὅ τι ἄν τις βούληται, ὡς ἐπιστάμενος ἀποκρίνεσθαι;

ΠΩΛ. Πάνυ μὲν οὖν.

ΣΩ. Καὶ νῦν δὴ τούτων ὁπότερον βούλει ποίει, ἐρώτα B ἢ ἀποκρίνου.

ΙΖ'. ΠΩΛ. Ἀλλὰ ποιήσω ταῦτα. καί μοι ἀπόκριναι, ὦ Σώκρατες· ἐπειδὴ Γοργίας ἀπορεῖν σοι δοκεῖ περὶ τῆς ῥητορικῆς, σὺ αὐτὴν τίνα φῂς εἶναι;

ΣΩ. Ἆρα ἐρωτᾷς ἥντινα τέχνην φημὶ εἶναι;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Οὐδεμία ἔμοιγε δοκεῖ, ὦ Πῶλε, ὥς γε πρὸς σὲ τἀληθῆ εἰρῆσθαι.

ΠΩΛ. Ἀλλὰ τί σοι δοκεῖ ἡ ῥητορικὴ εἶναι;

4 *οὗ τῆς Ἑλλάδος*=ἐν ᾧ τόπῳ τῆς Ἑλλάδος. Ἡ γενικὴ κτητικὴ ἅμα καὶ διαιρετική, ὡς τὸ *ποῦ γῆς*.

5 *Ἀλλὰ ἀντίθες τοι*. Πρὸς ταῦτα τὰ δεινά, ἅπερ θὰ ἔπασχες σὺ ἐκ τοῦ περιορισμοῦ τοῦ λόγου σου, θὲς ἀντισήκωμα εἰς τὴν ἑτέραν πλάστιγγα τό: τί δεινὰ θὰ ἔπασχον ἐγώ, ἂν σοῦ μακρολογοῦντος καὶ μὴ ἀποκρινομένου τὸ ἐρωτώμενον δὲν εἶχον τὴν ἐξουσίαν νὰ ἀπέλθω καὶ νὰ μή σε ἀκούω.

10 *ἐν τῷ μέρει*=διαδοχικῶς· ὁσάκις ἔρχεται ἡ σειρά σου. Πρβλ. Πρωταγ. 347 d.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΩ. Πρᾶγμα ὃ φῂς σὺ ποιῆσαι τέχνην ἐν τῷ συγγράμ-
C ματι ὃ ἐγὼ ἔναγχος ἀνέγνων.

ΠΩΛ. Τί τοῦτο λέγεις;

ΣΩ. Ἐμπειρίαν ἔγωγέ τινα.

ΠΩΛ. Ἐμπειρία ἄρα σοι δοκεῖ ἡ ῥητορικὴ εἶναι;

ΣΩ. Ἔμοιγε, εἰ μή τι σὺ ἄλλο λέγεις.

ΠΩΛ. Τίνος ἐμπειρία;

ΣΩ. Χάριτός τινος καὶ ἡδονῆς ἀπεργασίας.

ΠΩΛ. Οὔκουν καλόν σοι δοκεῖ ἡ ῥητορικὴ εἶναι, χαρίζεσθαι οἷόν τ' εἶναι ἀνθρώποις;

ΣΩ. Τί δέ, ὦ Πῶλε; ἤδη πέπυσαι παρ' ἐμοῦ, ὅτι φημὶ
D αὐτὴν εἶναι, ὥστε τὸ μετὰ τοῦτο ἐρωτᾷς, εἰ οὐ καλή μοι δοκεῖ εἶναι;

ΠΩΛ. Οὐ γὰρ πέπυσμαι ὅτι ἐμπειρίαν τινὰ αὐτὴν φῂς εἶναι;

ΣΩ. Βούλει οὖν, ἐπειδὴ τιμᾷς τὸ χαρίζεσθαι, σμικρόν τί μοι χαρίσασθαι;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Ἐροῦ νῦν με, ὀψοποιία ἥτις μοι δοκεῖ τέχνη εἶναι.

ΠΩΛ. Ἐρωτῶ δή· τίς τέχνη ὀψοποιία;

ΣΩ. Οὐδεμία, ὦ Πῶλε.

ΠΩΛ. Ἀλλὰ τί; φάθι.

ΣΩ. Φημί δή· ἐμπειρία τις.

1 *ὃ φῂς σὺ ποιῆσαι τέχνην*. Κατὰ τὴν προεξενεχθεῖσαν γνώμην τοῦ Πώλου (σελ. 448 c), αἱ τέχναι προῆλθον ἐκ τῶν ἐμπειριῶν. Ταῦτα αἰνιττόμενος ὁ Σωκ. λέγει ὅτι ἡ ῥητορικὴ εἶνε ἐμπειρία τις, ἣν σὺ ὁ Πῶλος ὑπισχνεῖσαι ὅτι θὰ ἀναδείξῃς τέχνην. Τί νοεῖ ὁ Σωκ. λέγων τέχνην καὶ πῶς διαστέλλει αὐτὴν τῆς ἐμπειρίας, ὅρα κατωτέρω εἰς σελ. 465 a.

8 *Χάριτός τινος*. Σύμπλεκε ὧδε: ἐμπειρία ἀπεργασίας χάριτός τινος καὶ ἡδονῆς = ἐμπειρία στοχαζομένη χάριτος καὶ ἡδονῆς καὶ ταῦτα ἀπεργαζομένη.

9 *Χαρίζεσθαι οἷόν τ' εἶναι ἀνθρώποις*. Ἐπεξηγ. τοῦ *ῥητορική*. Ἡ ῥητορική, δηλ. τὸ οἷόν τε εἶναί τινα χαρίζεσθαι ἀνθρώποις, οὐ δοκεῖ σοι καλὸν εἶναι; Ὁ Πῶλος σπεύδει εἰς τὴν περὶ τῆς ποιότητος ἐρώτησιν, πρὶν λάβῃ ὁρισμὸν τῆς οὐσίας τῆς ῥητορικῆς. Διὸ καὶ ἐπιλαμβάνεται αὐτοῦ ὁ Σωκρ.

16 *ἐπειδὴ τιμᾷς τὸ χαρίζεσθαι*. Ταῦτα ἐπειδὴ προεῖπεν ὁ Πῶλος ὅτι καλὸν τὸ χαρίζεσθαι ἀνθρώποις.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΩΛ. Τίνος; φάθι.

ΣΩ. Φημὶ δή· χάριτος καὶ ἡδονῆς ἀπεργασίας, ὦ Πῶλε. E

ΠΩΛ. Ταὐτὸν δ' ἐστὶν ὀψοποιία καὶ ῥητορική;

ΣΩ. Οὐδαμῶς γε, ἀλλὰ τῆς αὐτῆς μὲν ἐπιτηδεύσεως μόριον.

ΠΩΛ. Τίνος λέγεις ταύτης;

ΣΩ. Μὴ ἀγροικότερον ᾖ τὸ ἀληθὲς εἰπεῖν· ὀκνῶ Γοργίου ἕνεκα λέγειν, μὴ οἴηταί με διακωμῳδεῖν τὸ ἑαυτοῦ ἐπιτήδευμα· ἐγὼ δέ, εἰ μὲν τοῦτό ἐστιν ἡ ῥητορικὴ ἣν Γοργίας ἐπιτηδεύει, οὐκ οἶδα· καὶ γὰρ ἄρτι ἐκ τοῦ λόγου 463 οὐδὲν ἡμῖν καταφανὲς ἐγένετο, τί ποτε οὗτος ἡγεῖται· ὃ δ' ἐγὼ καλῶ τὴν ῥητορικήν, πράγματός τινός ἐστι μόριον οὐδενὸς τῶν καλῶν.

ΓΟΡ. Τίνος, ὦ Σώκρατες; εἰπὲ μηδὲν ἐμὲ αἰσχυνθείς.

ΙΗ'. ΣΩ. Δοκεῖ τοίνυν μοι, ὦ Γοργία, εἶναί τι ἐπιτή-

3 *Ταὐτὸν δ' ἐστὶν ὀψοποιΐα καὶ ῥητορική;* Διὰ τὴν εὐρύτητ καὶ ἀοριστίαν τοῦ ὁρισμοῦ τῆς ῥητορικῆς, ὡς ἐμπειρίας χάριτος καὶ ἡδονῆς ἀπεργασίας, εὑρέθη καὶ ἡ ὀψοποιΐα χωροῦσα ἐν αὐτῷ, καὶ ἄλλαι δὲ πολλαὶ ἐμπειρίαι. Ἀλλ' εἰς τοῦτο πταίει ὁ Πῶλος ὅςτις δὲν ἤξευρε νὰ ἀπαιτήσῃ ἀκριβῆ τὸν ὁρισμόν.

4 *τῆς αὐτῆς ἐπιτηδεύσεως μόριον.* Ὥςτε ὀψοποιΐα καὶ ῥητορικὴ εἰσι μέρη ἢ εἴδη τοῦ αὐτοῦ γένους (τῆς αὐτῆς ἐπιτηδεύσεως). Ἡ ἐπιτήδευσις αὕτη εἶνε ἡ κολακεία.

6 *Τίνος λέγεις ταύτης;* = Λέγεις μόρια τῆς αὐτῆς ἐπιτηδεύσεως, οὔσης ταύτης τίνος; Τὸ *ταύτης* ὑποκ., τὸ *τίνος* κατηγ.

7 *Μὴ ἀγροικότερον ᾖ.* Φοβοῦμαι μήπως εἶνε ἀγροικότερον τοῦ πρέποντος τὸ εἰπεῖν τὸ ἀληθές. Τρόπον τινὰ ὁ Σωκ. αἰτεῖ συγγνώμην ὅτι ἀναγκάζεται νὰ εἴπῃ ἐνώπιον τοῦ Γοργίου τὴν περὶ τῆς ῥητορικῆς γνώμης του ὡς λίαν εὐτελοῦς ἐπιτηδεύματος.

9 *εἰ μὲν τοῦτό ἐστιν ἡ ῥητορική.* Πλαγ. ἐρωτ. ἐκ τοῦ *οὐκ οἶδα*, εἰ ἡ ῥητορική, ἣν Γοργίας ἐπιτηδεύει, ἐστὶ τοῦτο (ὃ ἐγὼ ὑπολαμβάνω εἶναι τὴν ῥητορικήν). *Ἡ ῥητορικὴ* ὑποκ., *τοῦτο* κατηγορ.

11 *οὐδὲν ἡμῖν καταφανὲς ἐγένετο, τί ποτε* κ.τ.λ. Ἡ ἐρωτ. πρότ. *τί ποτε* ὑποκ. τοῦ: οὐκ ἐγένετο καταφανές. Τὸ *οὐδὲν* ἰσοδυναμεῖ σχεδὸν ἐνταῦθα πρὸς τὸ ἁπλοῦν *οὐ*, καὶ τὸ ἡμέτερον *δέν*.

*ὃ δ' ἐγὼ καλῶ τὴν ῥητορικήν.* Τὴν ῥητορ. ἀντικ. τὸ *ὃ* κατηγορ.

12 *πράγματός τινος οὐδενὸς τῶν καλῶν* = πράγματός τινος ὄντος οὐδενὸς τῶν καλῶν· ὅπερ ἐστὶν οὐδὲν τῶν καλῶν, ὅπερ οὐκ ἔστι τῶν καλῶν.

15 *Δοκεῖ τοίνυν μοι* κ.τ.λ. Ἐκλάμβανε τὸ *δοκεῖ* ὡς ἀπρόσωπον· τὸ *εἶναι* ὡς ὑπαρκτικόν· τὸ *ἐπιτήδευμα* ὑποκ. τοῦ εἶναι. = Μοὶ φαίνεται ὅτι ἔστι τι ἐπιτήδευμα· οὐχὶ δέ· «Ἡ ῥητορικὴ δοκεῖ μοι εἶναί τι ἐπιτήδευμα». Ὁ λόγος περὶ τῆς κολακείας ἐν γένει, οὐχὶ περὶ τῆς ῥητορικῆς μόνης.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δευμα τεχνικὸν μὲν οὔ, ψυχῆς δὲ στοχαστικῆς καὶ ἀνδρείας καὶ φύσει δεινῆς προσομιλεῖν τοῖς ἀνθρώποις· καλῶ
B δὲ αὐτοῦ ἐγὼ τὸ κεφάλαιον κολακείαν. ταύτης μοι δοκεῖ τῆς ἐπιτηδεύσεως πολλὰ μὲν καὶ ἄλλα μόρια εἶναι, ἓν δὲ καὶ ὀψοποιική· ὃ δοκεῖ μὲν εἶναι τέχνη, ὡς δὲ ὁ ἐμὸς λόγος, οὐκ ἔστι τέχνη, ἀλλ' ἐμπειρία καὶ τριβή. ταύτης μόριον καὶ τὴν ῥητορικὴν ἐγὼ καλῶ καὶ τήν γε κομμωτικὴν καὶ τὴν σοφιστικήν, τέτταρα ταῦτα μόρια ἐπὶ τέτταρσι πράγμασιν. εἰ οὖν βούλεται Πῶλος πυνθάνεσθαι, πυνθα-
C νέσθω· οὐ γάρ πω πέπυσται, ὁποῖόν φημι ἐγὼ τῆς κολακείας μόριον εἶναι τὴν ῥητορικήν, ἀλλ' αὐτὸν λέληθα οὔπω ἀποκεκριμένος. ὁ δὲ ἐπανερωτᾷ, εἰ οὐ καλὸν ἡγοῦμαι εἶναι. ἐγὼ δὲ αὐτῷ οὐκ ἀποκρινοῦμαι πρότερον, εἴτε καλὸν εἴτε αἰσχρὸν ἡγοῦμαι εἶναι τὴν ῥητορικήν, πρὶν ἂν πρῶτον ἀποκρίνωμαι ὅ τι ἐστίν. οὐ γὰρ δίκαιον, ὦ

1 *ψυχῆς δὲ στοχαστικῆς*. Τρεῖς ἀγαθὰς ἰδιότητας ἀποδίδει εἰς τὸν κόλακα. Α', ὅτι εἶνε στοχαστικὸς τῶν ἀνθρωπίνων παθῶν καὶ ὀρέξεων, οἷα τὸ φιλοκερδές, τὸ φιλότιμον, ὁ ἔλεος, ἡ ὀργή, ἡ ἐκδίκησις κ.τ.τ. Β', ἀνδρείαν, τουτέστι θάρρος καὶ τόλμην, ἅτινα κατὰ τὰς περιστάσεις μεταπίπτουσιν εἰς θράσος καὶ ἀναισχυντίαν. Γ', φυσικὴν δεινότητα νὰ μεταχειρίζηται τοὺς ἀνθρώπους οὕτως ὥςτε νὰ γίνηται αὐτοῖς εὐάρεστος, νὰ τοὺς ὑποχρεώνῃ. Ἂν καὶ ὑπὸ τὴν γενικὴν ἔννοιαν τῆς κολακείας ὑπάγει καὶ τὴν ὀψοποιϊκὴν καὶ τὴν κομμωτικήν, ὅμως ἐκθέτων τὰς ἀνωτέρω ἰδιότητας τοῦ κόλακος ἀπέβλεπε μᾶλλον εἰς τὸν ῥήτορα καὶ τὸν σοφιστὴν ἢ εἰς τὸν ὀψοποιὸν καὶ κομμωτήν.

3 *Ταύτης μοι δοκεῖ*. Ἀσυνδέτως· ὅπερ συμβαίνει συχνάκις, ὁσάκις ἐπὶ κεφαλῆς τῆς προτάσεως ὑπάρχει δεικτ. ἀντωνυμία ἢ ἐπίρρημα.

5 *ὡς δὲ ὁ ἐμὸς λόγος*. Συμπλ: φησίν, μηνύει, σημαίνει κ.τ.τ. Σ,φιστ. 238 b «ὡς φησιν ὁ λόγος». Φαίδ. 87 a «Τί οὖν ἂν φαίη ὁ λόγος; ἔτι ἀπιστεῖς;» Πολιτ. 366 b «ὡς ὁ τῶν πολλῶν τε καὶ ἄκρων λεγόμενος λόγος». Θεαίτ. 204 b «ὡς ὁ νῦν λόγος».

6 *ἐμπειρία καὶ τριβή*. Ἐκ παραλλήλου, ἀλλὰ καὶ μετά τινος διαφορᾶς· ἡ τριβὴ εἶνέ τι ἀλογώτερον καὶ χυδαιότερον τῆς ἐμπειρίας· σημαίνει τὴν ἕξιν ἣν προσκτᾶται ὁ ἄνθρωπος ἐκ τῆς συχνῆς ἐπαναλήψεως τοῦ αὐτοῦ πράγματος, καθ' ἣν τὰ ὄργανα τοῦ σώματος, χεῖρες, πόδες, γλῶσσα κ.τ.λ. δοθείσης ἀφορμῆς κινοῦνται τρόπον τινὰ αὐτομάτως καὶ ἄνευ συνειδήσεως πρὸς ἐπιτέλεσίν τινος ἔργου.

8 *ἐπὶ τέτταρσι πράγμασιν*. Τέσσαρα πράγματα λέγει τὰς τέσσ,ρας κεφαλαιώδεις χρείας τοῦ ἀνθρώπου, ὧν τὴν πλήρωσιν ἐπαγγέλλονται αἱ ἐμπειρίαι ἐκεῖναι. Κατωτέρω σαφέστερον.

9 *Εἰ οὖν βούλεται Πῶλος*. Ἀφίνει τὸν Γοργ. καὶ ἀπευθύνει τὰς ἑπομένας νουθεσίας πρὸς τὸν Πῶλον.

15 *ὅ τι ἐστίν*. Ιlρὶν δώσω πλήρη τὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πῶλε· ἀλλ' εἴπερ βούλει πυθέσθαι, ἐρώτα, ὁποῖον μόριον τῆς κολακείας φημὶ εἶναι τὴν ῥητορικήν.

ΠΩΛ. Ἐρωτῶ δή, καὶ ἀπόκριναι, ὁποῖον μόριον.

ΣΩ. Ἆρ' οὖν ἂν μάθοις ἀποκριναμένου; ἔστι γὰρ ἡ ῥητορικὴ κατὰ τὸν ἐμὸν λόγον πολιτικῆς μορίου εἴδωλον. D

ΠΩΛ. Τί οὖν; καλὸν ἢ αἰσχρὸν λέγεις αὐτὴν εἶναι;

ΣΩ. Αἰσχρὸν ἔγωγε· τὰ γὰρ κακὰ αἰσχρὰ καλῶ· ἐπειδὴ δεῖ σοι ἀποκρίνασθαι ὡς ἤδη εἰδότι ἃ ἐγὼ λέγω.

ΓΟΡ. Μὰ τὸν Δία, ὦ Σώκρατες, ἀλλ' ἐγὼ οὐδὲ αὐτὸς συνίημι ὅ τι λέγεις. E

ΣΩ. Εἰκότως γε, ὦ Γοργία· οὐδὲν γάρ πω σαφὲς λέγω, Πῶλος δὲ ὅδε νέος ἐστὶ καὶ ὀξύς.

ΓΟΡ. Ἀλλὰ τοῦτον μὲν ἔα, ἐμοὶ δ' εἰπέ, πῶς λέγεις πολιτικῆς μορίου εἴδωλον εἶναι τὴν ῥητορικήν.

ΣΩ. Ἀλλ' ἐγὼ πειράσομαι φράσαι, ὅ γέ μοι φαίνεται

ὁρισμὸν τῆς οὐσίας τῆς ῥητορικῆς (τί ἐστιν ἡ ῥ.) δὲν εἶνε ὀρθὸν νὰ εἴπω περὶ τοῦ ποιοῦ αὐτῆς (ποῖόν ἐστιν, ἂν καλὸν ἢ αἰσχρόν). Πρβλ. Μέν. 71 b.

4 *Ἆρ' οὖν ἂν μάθοις ἀποκριναμένου.* Τινὰ ῥήματα συντασσόμενα μετὰ αἰτιατικῆς, ἐὰν ἡ αἰτ. εἶνε *λόγος, φωνή, ᾆσμα, φθέγμα* κ. τ. τ. παραλείπουσι τὴν αἰτιατ. καὶ δέχονται τὴν γεν. τοῦ λέγοντος προσώπου, συνεπιφέρουσαν συνήθως καὶ τὴν μετοχὴν τοῦ λεκτικοῦ ῥήματος. Τοιαῦτα ῥήματά εἰσι τὰ ἀκούειν, μανθάνειν, ἀγνοεῖν, συνιέναι, ἀνέχεσθαι, ἀποδέχεσθαι. Πρβλ. Ἀπολ. 27 a, Λάχ. 189 e, Πρωτγ. 323 a, Πολ. 564 d Φαίδ. 92 e, Γοργ. 517 d.

*ἔστι γὰρ ἡ ῥητορικὴ — πολιτικῆς μορίου εἴδωλον.* Ἡ ἀπόκρισις εἶνε ὀρθὴ ἀλλ' ἔτι ἀσαφής, μὴ δηλωθέντων τῶν κατὰ τὴν πολιτικὴν καὶ τὰ μόρια ἢ εἴδη αὐτῆς, ἵνα κατανοηθῇ ἡ σχέσις ταύτης πρὸς ἐκείνην. Ὁ δὲ Πῶλος ἀντὶ νὰ ζητήσῃ τὴν τούτων διασάφησιν, ὡς θὰ ἔκαμνε πᾶς φιλεπιστήμων, περὶ μὲν τούτου ἀδιαφορεῖ, ζητεῖ δὲ καὶ πάλιν νὰ μάθῃ περὶ τοῦ ποιοῦ αὐτῆς.

7 *Αἰσχρὸν ἔγωγε· τὰ γὰρ κακὰ* κ. τ. λ. Ὁ Σωκ. ἀναγκαζόμενος ὑπὸ τοῦ ἀμεθόδου Πώλου, καταλείπει καὶ αὐτὸς τὴν ὀρθὴν μέθοδον καὶ ἀποκρίνεται εἰς τὴν περὶ τοῦ ποιοῦ ἐρώτησιν τοῦ Πώλου. Νομίζει δὲ ἀναγκαῖον νὰ ἐπενέγκῃ καὶ αἰτιολογίαν τῆς ἀποκρίσεώς του διὰ τὸ παράδοξον. Ἡ αἰτιολογία στηρίζεται ἐπὶ τῆς δόξης τοῦ Σωκ. ὅτι ἀγαθὸν καὶ καλόν, καὶ κακὸν καὶ αἰσχρὸν ταυτίζονται. Περὶ τούτου γίνεται κατωτέρω, 474 c ἑξ. ἐκτενὴς λόγος.

12 *Πῶλος δὲ ὅδε νέος ἐστὶ καὶ ὀξύς.* Προφορικῶς λεγόμενα ταῦτα ἐμποιοῦσι τοιάνδε ἔννοιαν τοῖς ἀκούουσιν: ὅδε ἐστὶ πῶλος νέος καὶ ὀξύς· ὅπερ θὰ ἐκίνησε τὸν γέλωτα τῶν ἀκροατῶν (ἂν ὁ διάλογος εἶχε πράγματι λάβει χώραν). Ὡς σπουδαίως δὲ εἰρημένα σημαίνουσιν ὅτι ὁ Πῶλος ὡς νέος εἶνε ἄπειρος καὶ προπετὴς ἢ βιαστικός.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἶναι ἡ ῥητορική· εἰ δὲ μὴ τυγχάνει ὂν τοῦτο, Πῶλος ὅδε ἐλέγξει· σῶμά που καλεῖς τι καὶ ψυχήν ;

464 ΓΟΡ. Πῶς γὰρ οὔ ;

ΣΩ. Οὐκοῦν καὶ τούτων οἴει τινὰ εἶναι ἑκατέρου εὐεξίαν ;

ΓΟΡ. Ἔγωγε.

ΣΩ. Τί δέ ; δοκοῦσαν μὲν εὐεξίαν, οὖσαν δ' οὔ ; οἷον τοιόνδε λέγω· πολλοὶ δοκοῦσιν εὖ ἔχειν τὰ σώματα, οὓς οὐκ ἂν ῥᾳδίως αἴσθοιτό τις, ὅτι οὐκ εὖ ἔχουσιν, ἄλλος ἢ ἰατρός τε καὶ τῶν γυμναστικῶν τις.

ΓΟΡ. Ἀληθῆ λέγεις.

ΣΩ. Τὸ τοιοῦτον λέγω καὶ ἐν σώματι εἶναι καὶ ἐν ψυχῇ, ὅτι ποιεῖ μὲν δοκεῖν εὖ ἔχειν τὸ σῶμα καὶ τὴν ψυχήν, ἔχει δὲ οὐδὲν μᾶλλον.

B ΓΟΡ. Ἔστι ταῦτα.

ΙΘ'. ΣΩ. Φέρε δή σοι, ἐὰν δύνωμαι, σαφέστερον ἐπιδείξω ὃ λέγω. δυοῖν ὄντοιν τοῖν πραγμάτοιν δύο λέγω τέχνας· τὴν μὲν ἐπὶ τῇ ψυχῇ πολιτικὴν καλῶ, τὴν δὲ ἐπὶ σώματι μίαν μὲν οὕτως ὀνομάσαι οὐκ ἔχω σοι, μιᾶς δὲ οὔσης τῆς τοῦ σώματος θεραπείας δύο μόρια λέγω, τὴν μὲν γυμναστικήν, τὴν δὲ ἰατρικήν· τῆς δὲ πολιτικῆς ἀντίστροφον μὲν τῇ γυμναστικῇ τὴν νομοθετικήν, ἀντίστροφον δὲ τῇ
C ἰατρικῇ τὴν δικαιοσύνην. ἐπικοινωνοῦσι μὲν δὴ ἀλλήλαις,

6 *Τί δέ; δοκοῦσαν μὲν εὐεξίαν* κ.τ.λ. Παραλάμβανε τό: *οἴει εἶναι* ἐκ τῶν προηγουμένων.

12 *ὅτι ποιεῖ δοκεῖν* κ.τ.λ. Συμπλήρου ὧδε: ὅτι ποιεῖ (τινα) δοκεῖν μὲν εὖ ἔχειν (κατὰ) τὸ σῶμα καὶ τὴν ψυχήν, ἔχει δὲ (ὁ τὶς) οὐδὲν μᾶλλον (εὖ).

17 *τὴν δ' ἐπὶ σώματι*, οὐκ ἔχω σοι ὀνομάσαι μίαν (ἑνὶ ὀνόματι) οὕτως (ὡς τὴν ἐπὶ τῇ ψυχῇ).

20 *ἀντίστροφον μὲν τῇ γυμναστικῇ τὴν νομοθετικήν*. Τὰ δύο μόρια τῆς τοῦ σώματος θεραπείας δὲν εἶνε ἄσχετα πρὸς τὰ δύο τῆς ψυχῆς, ἀλλ' ἔχουσιν ἀναλογίαν πρὸς ἄλληλα· ἐπὶ τῇ ψυχῇ ἡ νομοθετικὴ ἀπεργάζεται ὅ τι ἡ γυμναστικὴ ἐπὶ τῷ σώματι, καὶ πάλιν ἡ δικαιοσύνη ἐπὶ τῇ ψυχῇ ὅ τι ἡ ἰατρικὴ ἐπὶ τῷ σώματι. Τροπικῶς θὰ ἠδύνατό τις νὰ εἴπῃ ὅτι, ἡ μὲν νομοθετικὴ εἶνε ἡ γυμναστικὴ τῆς ψυχῆς, ἡ δὲ δικαιοσύνη ἡ ἰατρικὴ αὐτῆς.

22 *ἐπικοινωνοῦσι μὲν δὴ ἀλλήλαις*. Ὁ κύκλος τῶν ἐνεργειῶν τῆς ἰατρικῆς δὲν κεῖται ὅλος ἐκτὸς τοῦ τῆς γυμναστικῆς, οὐδ' ὁ τῆς δικαιοσύνης ἐκτὸς τοῦ τῆς νομοθετικῆς, ἀλλ' ἐν πολλοῖς συμπίπτουσι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἅτε περὶ τὸ αὐτὸ οὖσαι, ἑκάτεραι τούτων, ἥ τε ἰατρικὴ τῇ γυμναστικῇ καὶ ἡ δικαιοσύνη τῇ νομοθετικῇ· ὅμως δὲ διαφέρουσί τι ἀλλήλων. τεττάρων δὴ τούτων οὐσῶν, καὶ ἀεὶ πρὸς τὸ βέλτιστον θεραπευουσῶν τῶν μὲν τὸ σῶμα τῶν δὲ τὴν ψυχήν, ἡ κολακευτικὴ αἰσθομένη, οὐ γνοῦσα λέγω, ἀλλὰ στοχασαμένη, τέτραχα ἑαυτὴν διανείμασα, ὑποδῦσα ὑπὸ ἕκαστον τῶν μορίων, προσποιεῖται εἶναι τοῦτο ὅπερ ὑπέδυ, καὶ τοῦ μὲν βελτίστου οὐδὲν φροντίζει, τῷ δὲ ἀεὶ D ἡδίστῳ θηρεύεται τὴν ἄνοιαν καὶ ἐξαπατᾷ, ὥστε δοκεῖ πλείστου ἀξία εἶναι· ὑπὸ μὲν οὖν τὴν ἰατρικὴν ἡ ὀψοποιικὴ ὑποδέδυκε, καὶ προσποιεῖται τὰ βέλτιστα σιτία τῷ σώματι εἰδέναι, ὥστ' εἰ δέοι ἐν παισὶ διαγωνίζεσθαι ὀψοποιόν τε καὶ ἰατρὸν ἢ ἐν ἀνδράσιν οὕτως ἀνοήτοις ὥσπερ οἱ παῖδες, πότερος ἐπαΐει περὶ τῶν χρηστῶν σιτίων καὶ πονηρῶν, ὁ ἰατρὸς ἢ ὁ ὀψοποιός, λιμῷ ἂν ἀποθανεῖν τὸν ἰατρόν. κολα- E

4 *πρὸς τὸ βέλτιστον θεραπευουσῶν*. Δέχεται ὁ Σωκ. περὶ τῶν τεσσάρων τούτων τεχνῶν ὅτι γινώσκουσι τὸ ἀγαθὸν καὶ τοῦτο ἐπιδιώκουσιν, ἀδιαφοροῦσαι ἂν ἡ πρὸς τοῦτο ὁδὸς ἄγει διὰ ῥᾳστώνης καὶ ἡδονῆς, ἢ διὰ μόχθων καὶ ἀλγηδόνων.

5 *ἡ κολακευτικὴ αἰσθομένη*, κ.τ.λ. Ὁ Σωκ. μὴ εὑρίσκων ἐν τῇ γλώσσῃ μίαν κατάλληλον λέξιν ἀκριβῶς ἐκφράζουσαν τὸ νόημά του, πειρᾶται νὰ δηλώσῃ αὐτὸ διὰ συνδυασμοῦ πλειόνων. Τὸ οὐσιῶδες τῆς κολακευτικῆς εἶνε ὅτι δὲν ἔχει γνῶσιν ἢ ἐπιστήμην τοῦ ἀγαθοῦ, ἀλλ' αἴσθησιν οἵαν καὶ τὰ ἄλογα ζῶα καὶ οἱ ἄλογοι τῶν ἀνθρώπων, οἱ ὑπὸ τῶν αἰσθήσεων ἐλαυνόμενοι· καὶ στοχασμόν, οἷον ἔχουσί τινα τῶν τελειοτέρων ζώων καὶ οἱ ἄνθρωποι οἱ ἐκμεταλλευόμενοι τὰς παρατυγχανούσας περιστάσεις πρὸς τὸ ἴδιον αὐτῶν (ὑλικὸν συμφέρον) ἄνευ εὐγενεστέρων ἢ ἐλατηρίων ἢ χαλινῶν, ὁποῖά εἰσιν ἡ φιλανθρωπία, ἡ δικαιοσύνη, ἡ σωφροσύνη.

*οὐ γνοῦσα λέγω, ἀλλὰ στοχασαμένη*: Τὸ *λέγω* παρενθετικῶς. Αἱ μετοχαὶ *οὐ γνοῦσα, στοχασαμένη* ἐπεξηγ. τοῦ αἰσθομένη. *Αἰσθομένη, διανείμασα, ὑποδῦσα, προσποιεῖται*. Ἑκάστη προηγουμένη προσδιορίζει τὴν ἑπομένην ὡς κυρίαν της· ἐντεῦθεν τὸ ἀσύνδετον αὐτῶν.

7 *προσποιεῖται*· οὐχὶ *ὑποκρίνεται*, ἀλλὰ ἔχει τὴν ἀξίωσιν, ἰσχυρίζεται.

*ὅπερ ὑπέδυ*. Λέγεται ὑποδύομαι ὑπό τι, καὶ ὑποδύομαί τι. Οἱ συστοιχοῦντες χρόνοι (οἱ τῆς αὐτῆς διαθέσεως) εἰσίν· Ὑποδύομαι, ὑποδύσομαι, ὑπέδυν, ὑποδέδυκα.

8 *τῷ δὲ ἀεὶ ἡδίστῳ* = τῷ ἑκάστοτε ἡδίστῳ. Τὸ μὲν ἀγαθὸν διατελεῖ ὂν ἀεὶ τὸ αὐτό, ἀμετάστατον· τὸ δὲ ἡδὺ ἄλλοτε ἄλλο.

9 *θηρεύεται τὴν ἄνοιαν* = τοὺς ἀνοήτους.

15 *λιμῷ ἂν ἀποθανεῖν τὸν ἰατρόν*· ὡς μὴ εὑρίσκοντα ἐργασίαν καὶ πόρον ζωῆς. Πρβλ. σ. 521 e. Λέγεται: ἀποθνήσκω, ἀποθανοῦμαι, ἀπέθανον, τέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

465 κείαν μὲν οὖν αὐτὸ καλῶ, καὶ αἰσχρόν φημι εἶναι τὸ τοιοῦτον, ὦ Πῶλε,—τοῦτο γὰρ πρὸς σὲ λέγω,—ὅτι τοῦ ἡδέος στοχάζεται ἄνευ τοῦ βελτίστου· τέχνην δὲ αὐτὴν οὔ φημι εἶναι ἀλλ' ἐμπειρίαν, ὅτι οὐκ ἔχει λόγον οὐδένα ὧν προσφέρει, ὁποῖ' ἄττα τὴν φύσιν ἐστίν, ὥςτε τὴν αἰτίαν ἑκάστου μὴ ἔχειν εἰπεῖν. ἐγὼ δὲ τέχνην οὐ καλῶ, ὃ ἂν ᾖ ἄλογον πρᾶγμα· τούτων δὲ πέρι εἰ ἀμφισβητεῖς, ἐθέλω ὑποσχεῖν λόγον.

B Κ΄. Τῇ μὲν οὖν ἰατρικῇ, ὥςπερ λέγω, ἡ ὀψοποιικὴ κολακεία ὑπόκειται· τῇ δὲ γυμναστικῇ κατὰ τὸν αὐτὸν τρόπον τοῦτον ἡ κομμωτική, κακοῦργός τε οὖσα καὶ ἀπατηλὴ καὶ ἀγεννὴς καὶ ἀνελεύθερος, σχήμασι καὶ χρώμασι καὶ λειότητι καὶ ἐσθήσει ἀπατῶσα, ὥςτε ποιεῖν ἀλλότριον κάλλος ἐφελκομένους τοῦ οἰκείου τοῦ διὰ τῆς γυμναστικῆς ἀμελεῖν. ἵνα οὖν μὴ μακρολογῶ, ἐθέλω σοι εἰπεῖν ὥςπερ οἱ γεωμέτραι· ἤδη γὰρ ἂν ἴσως ἀκολουθήσαις· ὅτι ὃ κομμωτικὴ πρὸς γυμναστικήν, τοῦτο ὀψοποιικὴ πρὸς ἰατρικήν·

θνηκα, τεθνήξω. Τὸ ἁπλοῦν θνήσκω, ἔθανον εἶνε ποιητικὸν καὶ σπανιώτατα ἀπαντᾷ παρὰ τοῖς Ἀττ. λογογράφοις.

1 *καὶ αἰσχρόν φημι — ὦ Πῶλε.* Ἐν ᾧ τὰ μέχρι τοῦδε ἔλεγε πρὸς τὸν Γοργ. αἴφνης ἀποστρέφεται πρὸς τὸν Πῶλον, ἵνα μὴ ἀπευθύνῃ πρὸς τὸν Γοργ. αὐτὸν οὕτω τραχείας καὶ πικρὰς λέξεις. Ἔχει δὲ εὐπρόσωπον ἀφορμὴν πρὸς τοιαύτην ἀποστροφήν, διότι ὁ Πῶλος ἐγλίχετο νὰ μάθῃ ἂν ἡ ῥητορικὴ εἶνε καλὸν ἢ αἰσχρόν.

4 *ὅτι οὐκ ἔχει λόγον — εἰπεῖν.* Σύμπλεκε ὧδε· ὅτι οὐκ ἔχει λόγον οὐδένα, ὁποῖα ἄττα ἐστὶ τὴν φύσιν ἃ προσφέρει, ὥςτε μὴ ἔχειν εἰπεῖν τὴν αἰτίαν ἑκάστου.

6 *τέχνην οὐ καλῶ, ὃ ἂν ᾖ ἄλογον πρᾶγμα.* Κατὰ Πλ. ἡ ἐμπειρία εἶνε ἄλογον πρᾶγμα, ἡ δὲ τέχνη ἔλλογον. Ὁ μὲν ἐμπειρικὸς ἰατρὸς γινώσκει μόνον τὸ *τί*, ὅτι τὴν δεῖνα νόσον θεραπεύει τὸ δεῖνα φάρμακον· ὁ δὲ τεχνικὸς (ὁ ἐπιστήμων) πρὸς τῷ *τί* γινώσκει καὶ τὸ *διατί*· διότι ἡ νόσος εἶνε τοιάδε πάθησις τοῦ δεῖνος ὀργάνου τοῦ σώματος· ἡ δὲ πάθησις αὕτη προῆλθεν ἐκ τοιᾶςδε αἰτίας· τὸ δὲ φάρμακον τόδε ἔχει τοιάδε συστατικά, ἅτινα ἐπιδρῶσιν ὧδε ἐπὶ τοῦ νοσοῦντος ὀργάνου καὶ ἐπιφέρουσι τὴν ἴασιν.

13 *καὶ ἐσθήσει.* Ἔσθησις ὁ ἱματισμός. Ὅρα πρχδλ.

16 *ὃ κομμωτικὴ πρὸς γυμναστικήν.* Αἱ θεραπεῖαι αὗται ἔχουσι πρὸς ἀλλήλας ὧδε·

***Θεραπεῖαι σώματος***

| ψευδεῖς | ἀληθεῖς |
|---|---|
| κομμωτική: | γυμναστική |
| ὀψοποιΐα: | ἰατρική |

***Θεραπεῖαι ψυχῆς***

| ψευδεῖς | ἀληθεῖς |
|---|---|
| σοφιστική: | νομοθετική |
| ῥητορική: | δικαιοσύνη |

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μᾶλλον δὲ ὧδε, ὅτι ὁ κομμωτικὴ πρὸς γυμναστικήν, τοῦτο
σοφιστικὴ πρὸς νομοθετικήν, καὶ ὅτι ὁ ὀψοποιικὴ πρὸς ἰα-
τρικήν, τοῦτο ῥητορικὴ πρὸς δικαιοσύνην. ὅπερ μέντοι C
λέγω, διέστηκε μὲν οὕτω φύσει· ἅτε δ' ἐγγὺς ὄντων φύ-
ρονται ἐν τῷ αὐτῷ καὶ περὶ ταὐτὰ σοφισταὶ καὶ ῥήτορες,
καὶ οὐκ ἔχουσιν ὅ τι χρήσονται οὔτε αὐτοὶ ἑαυτοῖς οὔτε
οἱ ἄλλοι ἄνθρωποι τούτοις. καὶ γὰρ ἄν, εἰ μὴ ἡ ψυχὴ τῷ
σώματι ἐπεστάτει, ἀλλ' αὐτὸ αὑτῷ, καὶ μὴ ὑπὸ ταύτης
κατεθεωρεῖτο καὶ διεκρίνετο ἥ τε ὀψοποιικὴ καὶ ἡ ἰατρική, D
ἀλλ' αὐτὸ τὸ σῶμα ἔκρινε σταθμώμενον ταῖς χάρισι ταῖς
πρὸς αὑτό, τὸ τοῦ Ἀναξαγόρου ἂν πολὺ ἦν, ὦ φίλε Πῶλε·
— σὺ γὰρ τούτων ἔμπειρος· — ὁμοῦ ἂν πάντα χρήματα
ἐφύρετο ἐν τῷ αὐτῷ, ἀκρίτων ὄντων τῶν τε ἰατρικῶν καὶ
ὑγιεινῶν καὶ ὀψοποιικῶν. ὃ μὲν οὖν ἐγώ φημι τὴν ῥητο-
ρικὴν εἶναι, ἀκήκοας· ἀντίστροφον ὀψοποιίας ἐν ψυχῇ, ὡς
ἐκεῖνο ἐν σώματι. ἴσως μὲν οὖν ἄτοπον πεποίηκα, ὅτι σε
οὐκ ἐῶν μακροὺς λόγους λέγειν αὐτὸς συχνὸν λόγον ἀπο- E
τέτακα· ἄξιον μὲν οὖν ἐμοὶ συγγνώμην ἔχειν ἐστί· λέγον-
τος γάρ μου βραχέα οὐκ ἐμάνθανες, οὐδὲ χρῆσθαι τῇ ἀπο-
κρίσει, ἥν σοι ἀπεκρινάμην, οὐδὲν οἷός τ' ἦσθα, ἀλλ' ἐδέου
διηγήσεως. ἐὰν μὲν οὖν καὶ ἐγώ, σοῦ ἀποκρινομένου, μὴ
ἔχω ὅ τι χρήσωμαι, ἀπότεινε καὶ σὺ λόγον, ἐὰν δὲ ἔχω,
ἔα με χρῆσθαι· δίκαιον γάρ. καὶ νῦν ταύτῃ τῇ ἀποκρίσει 466
εἴ τι ἔχεις χρῆσθαι, χρῶ.

6 *καὶ οὐκ ἔχουσιν ὅ τι χρήσονται κ.τ.λ.* Δὲν ἠξεύρουν οὔτε αὐτοὶ τί κυρίως εἶνε, ἢ ποῦ νὰ κατατάξωσιν ἑαυτούς, οὔτε οἱ ἄλλοι ἄνθρωποι. Διότι καὶ οἱ ἐπαγγελλόμενοι τὸν σοφιστήν, ὡς ὁ Πρωταγόρας (Πρωταγ. 319 a) καὶ ὁ Ἱππίας, ἤσχουν τὴν ῥητορικήν, καὶ πάλιν ὁ Γοργίας, ὅστις κατεγέλα τῶν σοφιστῶν (Μέν. 95 c), ἦτο οὐδὲν ἧττον σοφιστής.

11 *τὸ τοῦ Ἀναξαγόρου ἂν πολὺ ἦν* = θὰ ἦτο πολὺ διαδεδομένον καὶ πραγματοποιούμενον ἐν τῷ κόσμῳ. Νόμ. 633 b· «Καὶ τὸ τέταρτον ἔγωγε πειρῴμην ἂν λέγειν τὸ περὶ τὰς καρτερήσεις τῶν ἀλγηδόνων πολὺ παρ' ἡμῖν γιγνόμενον». Τὸ Ἀναξαγόρειον ῥῆμα, ὃ αἰνίττεται, εἶχεν ὧδε· «Πάντα χρήματα ἦν ὁμοῦ· εἶτα νοῦς ἐλθὼν αὐτὰ διεκόσμησε».

12 *σὺ γὰρ τούτων ἔμπειρος.* Ὅρα πρχδλ.

20 *ἐδέου διηγήσεως* = μακρᾶς ἀναπτύξεως.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΚΑ΄. ΠΩΛ. Τί οὖν φῄς; κολακεία δοκεῖ σοι εἶναι ἡ ῥητορική;

ΣΩ. Κολακείας μὲν οὖν ἔγωγε εἶπον μόριον. ἀλλ᾽ οὐ μνημονεύεις τηλικοῦτος ὤν, ὦ Πῶλε, τί τάχα δράσεις;

ΠΩΛ. Ἆρ᾽ οὖν δοκοῦσί σοι ὡς κόλακες ἐν ταῖς πόλεσι φαῦλοι νομίζεσθαι οἱ ἀγαθοὶ ῥήτορες;

B ΣΩ. Ἐρώτημα τοῦτ᾽ ἐρωτᾷς ἢ λόγου τινὸς ἀρχὴν λέγεις;

ΠΩΛ. Ἐρωτῶ ἔγωγε.

ΣΩ. Οὐδὲ νομίζεσθαι ἔμοιγε δοκοῦσιν.

ΠΩΛ. Πῶς οὐ νομίζεσθαι; οὐ μέγιστον δύνανται ἐν ταῖς πόλεσιν;

ΣΩ. Οὔκ, εἰ τὸ δύνασθαί γε λέγεις ἀγαθόν τι εἶναι τῷ δυναμένῳ.

ΠΩΛ. Ἀλλὰ μὲν δὴ λέγω γε.

ΣΩ. Ἐλάχιστον τοίνυν μοι δοκοῦσι τῶν ἐν τῇ πόλει δύνασθαι οἱ ῥήτορες.

ΠΩΛ. Τί δέ; οὐχ, ὥςπερ οἱ τύραννοι, ἀποκτιννύασί τε
C ὃν ἂν βούλωνται, καὶ ἀφαιροῦνται χρήματα καὶ ἐκβάλλουσιν ἐκ τῶν πόλεων ὃν ἂν δοκῇ αὐτοῖς;

3 *Κολακείας — μόριον*. Διὰ τούτων διορθοῖ τὸν Πῶλον, καὶ προϊὼν ὀνειδίζει αὐτὸν ὡς ἐπιλήσμονα ὄντα κατ᾽ αὐτὴν τὴν πωλικὴν ἡλικίαν του. Διότι τοιοῦτον, μοὶ φαίνεται, ὑπαινιγμὸν ἔχει ἡ μετὰ τό: *τηλικοῦτος ὤν*, ἐπιφορὰ τοῦ: *ὦ Πῶλε*.

4 *τί τάχα δράσεις*. Τὸ *τάχα* ἐνταῦθα εἶνε τὸ ἡμέτερον ταχιά, σημαῖνον τὸ αὔριον, καὶ ἀορίστως τὸ ἐν μέλλοντι χρόνῳ γενησόμενον. Φαῖδρ. 228 c· «Σὺ οὖν αὐτοῦ δεήθητι, ὅπερ τάχα πάντως ποιήσει, νῦν ἤδη ποιεῖν.» Γοργ. 450 c· «τάχα δ᾽ εἴσομαι σαφέστερον». Κρατ. 410 e· «τάχα μᾶλλον φήσεις».

7 *Ἐρώτημα τοῦτ᾽ ἐρωτᾷς*. Τὸ ἐπιλήψιμον τῆς ἐρωτήσεως τοῦ Πώλου κεῖται ἐν τούτῳ, ὅτι διατυποῖ οὕτως αὐτήν, ὥςτε ἐν ταὐτῷ νὰ δηλοῖ τὴν ἰδίαν αὐτοῦ γνώμην, ὅπερ κατ᾽ οὐσίαν δὲν εἶνε ἐρώτησις ἀλλὰ γνώμης ἀπόφανσις.

10 *Οὐδὲ νομίζεσθαι* κ.τ.λ. Οὐδὲ λογαριάζονται διόλου οὔτε ὡς ἀγαθοὶ οὔτε ὡς φαῦλοι. Ἀριστφ. Νεφ. 962· «ὅτε ἐγὼ τὰ δίκαια λέγων ἤνθουν, καὶ σωφροσύνη νενόμιστο».

11 *Πῶς οὐ νομίζεσθαι;* Πῶς φῄς, ἢ πῶς οὐ δοκοῦσί σοι νομίζεσθαι;

18 *Τί δέ; οὐχ, ὥςπερ οἱ τύραννοι*. Πάλιν τὸ αὐτὸ πταῖσμα τοῦ Πώλου, καὶ πάλιν ἐπιλαμβάνεται αὐτοῦ ὁ Σωκ, διὰ τῶν: Ἀμφιγνοῶ κ.τ.λ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΩ. Νὴ τὸν κύνα, ἀμφιγνοῶ μέντοι, ὦ Πῶλε, ἐφ' ἑκάστου ὧν λέγεις, πότερον αὐτὸς ταῦτα λέγεις καὶ γνώμην σαυτοῦ ἀποφαίνει, ἢ ἐμὲ ἐρωτᾷς;

ΠΩΛ. Ἀλλ' ἔγωγε σὲ ἐρωτῶ.

ΣΩ. Εἶεν, ὦ φίλε· ἔπειτα δύο ἅμα με ἐρωτᾷς.

ΠΩΛ. Πῶς δύο;

ΣΩ. Οὐκ ἄρτι οὕτω πως ἔλεγες, εἰ οὐχὶ ἀποκτιννύασιν οἱ ῥήτορες οὓς ἂν βούλωνται, ὥςπερ οἱ τύραννοι, καὶ χρή- D
ματα ἀφαιροῦνται καὶ ἐξελαύνουσιν ἐκ τῶν πόλεων ὃν ἂν δοκῇ αὐτοῖς;

ΠΩΛ. Ἔγωγε.

ΚΒ'. ΣΩ. Λέγω τοίνυν σοι, ὅτι δύο ταῦτ' ἔστι τὰ ἐρωτήματα, καὶ ἀποκρινοῦμαί γέ σοι πρὸς ἀμφότερα. φημὶ γάρ, ὦ Πῶλε, ἐγὼ καὶ τοὺς ῥήτορας καὶ τοὺς τυράννους δύνασθαι μὲν ἐν ταῖς πόλεσι σμικρότατον, ὥςπερ νῦν δὴ ἔλεγον· οὐδὲν γὰρ ποιεῖν ὧν βούλονται, ὡς ἔπος εἰπεῖν· E
ποιεῖν μέντοι ὅ τι ἂν αὐτοῖς δόξῃ βέλτιστον εἶναι.

ΠΩΛ. Οὔκουν τοῦτο ἔστι τὸ μέγα δύνασθαι;

ΣΩ. Οὔχ, ὥς γέ φησι Πῶλος.

ΠΩΛ. Ἐγὼ οὔ φημι; φημὶ μὲν οὖν ἔγωγε.

ΣΩ. Μὰ τόν, οὐ σύ γε, ἐπεὶ τὸ μέγα δύνασθαι ἔφης ἀγαθὸν εἶναι τῷ δυναμένῳ.

ΠΩΛ. Φημὶ γὰρ οὖν.

ΣΩ. Ἀγαθὸν οὖν οἴει εἶναι, ἐάν τις ποιῇ ταῦτα, ἃ ἂν

12 *Λέγω τοίνυν σοι, ὅτι δύο.* Ὁ Πῶλος ὅςτις ἠγνόει ὅτι πρὶν εἰσέλθῃ εἰς διαλεκτικὴν συζήτησιν ὤφειλε πρῶτον νὰ μάθῃ, κατὰ Πρόδικον, περὶ ὀνομάτων ὀρθότητος, λαμβάνει ἀδιαφόρως, ὡς συνώνυμα, τὸ βούλεσθαι καὶ τὸ δοκεῖν. Ἀλλ' ὁ Σωκ. τὰ ἐκλαμβάνει ὡς δύο διάφορα πράγματα. Ἐντεῦθεν ἡ ἀπορία τοῦ Πώλου.

16 *οὐδὲν γὰρ ποιεῖν ὧν βούλονται.* Πρότασις αἰτιολ. ἔχουσα βάσιν ἀπαρέμφατον! Ἐξυπακουστέον τὸ ἐν τῇ κυρίᾳ προτάσει *φημί.*

20 *Ἐγὼ οὔ φημι;* κ. τ. λ. Δηλωτικὰ ἐκπλήξεως καὶ θαυμασμοῦ.

21 *Μὰ τόν.* Παρέλιπε τὸ ὄνομα τοῦ θεοῦ. Σχολ. «Ἐλλιπῶς ὄμνυσι πρός τε εὐλαβείας καὶ πρᾳότητος ἔνδειξιν». Ὁμοίως σχολ. εἰς Ἀριστφ. Βατρ. 1421· «Ἐλλειπτικῶς ὀμνύει· καὶ οὕτως ἔθος ἐστὶν ἀρχαίοις ἐνίοτε μὴ προστιθέναι τὸν θεὸν εὐλαβείας χάριν».

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δοκῇ αὐτῷ βέλτιστα εἶναι, νοῦν μὴ ἔχων, καὶ τοῦτο καλεῖς μέγα δύνασθαι;

ΠΩΛ. Οὐκ ἔγωγε.

ΣΩ. Οὐκοῦν ἀποδείξεις τοὺς ῥήτορας νοῦν ἔχοντας καὶ
467 τέχνην τὴν ῥητορικὴν ἀλλὰ μὴ κολακείαν, ἐμὲ ἐξελέγξας· εἰ δέ με ἐάσεις ἀνέλεγκτον, οἱ ῥήτορες οἱ ποιοῦντες ἐν ταῖς πόλεσιν ἃ δοκεῖ αὐτοῖς καὶ οἱ τύραννοι οὐδὲν ἀγαθὸν τοῦτο κεκτήσονται, εἰ δὴ δύναμίς ἐστιν, ὡς σὺ φῄς, ἀγαθόν, τὸ δὲ ποιεῖν ἄνευ νοῦ ἃ δοκεῖ καὶ σὺ ὁμολογεῖς κακὸν εἶναι· ἢ οὔ;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Πῶς ἂν οὖν οἱ ῥήτορες μέγα δύναιντο ἢ οἱ τύραννοι ἐν ταῖς πόλεσιν, ἐὰν μὴ Σωκράτης ἐξελεγχθῇ ὑπὸ Πώλου ὅτι ποιοῦσιν ἃ βούλονται;

B ΠΩΛ. Οὗτος ἀνήρ!

ΣΩ. Οὔ φημι ποιεῖν αὐτοὺς ἃ βούλονται· ἀλλά μ' ἔλεγχε.

ΠΩΛ. Οὐκ ἄρτι ὡμολόγεις ποιεῖν ἃ δοκεῖ αὐτοῖς βέλτιστα εἶναι, τούτου πρόσθεν;

ΣΩ. Καὶ γὰρ νῦν ὁμολογῶ.

ΠΩΛ. Οὐκ οὖν ποιοῦσιν ἃ βούλονται;

ΣΩ. Οὔ φημι.

ΠΩΛ. Ποιοῦντες δὲ ἃ δοκεῖ αὐτοῖς;

ΣΩ. Φημί.

ΠΩΛ. Σχέτλια λέγεις καὶ ὑπερφυῆ, ὦ Σώκρατες.

ΣΩ. Μὴ κατηγόρει, ὦ λῷστε Πῶλε, ἵνα προσείπω σε

15 *Οὗτος ἀνήρ!..* Μετ' ἀποσιωπήσεως. Ὁμοίως καὶ ἡμεῖς: Αὐτὸς ὁ ἄνθρωπος! ἢ Τί ἄνθρωπος! Κατωτέρω ἄνευ ἀποσιωπήσεως (489 b)· «Οὑτοσὶ ἀνήρ! οὐ παύσεται φλυαρῶν;» καὶ 505 c· «Οὗτος ἀνήρ! οὐχ ὑπομένει ὠφελούμενος».

26 *Μὴ κατηγόρει.* Κατηγορίαν ὀνομάζει τὰς ὀνειδιστικὰς λέξεις: *σχέτλια καὶ ὑπερφυῆ.*

*ἵνα προσείπω σε κατὰ σέ.* Ἵνα σε προσαγορεύσω διὰ παρίσων λέξεων, (λῷστε Πῶλε) ὡς σὺ συνειθίζεις.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κατὰ σέ· ἀλλ' εἰ μὲν ἔχεις ἐμὲ ἐρωτᾶν, ἐπίδειξον ὅτι ψεύδομαι, εἰ δὲ μή, αὐτὸς ἀποκρίνου. C

ΠΩΛ. Ἀλλ' ἐθέλω ἀποκρίνεσθαι, ἵνα καὶ εἰδῶ ὅτι λέγεις.

ΚΓ'. ΣΩ. Πότερον οὖν σοι δοκοῦσιν οἱ ἄνθρωποι τοῦτο βούλεσθαι, ὃ ἂν πράττωσιν ἑκάστοτε, ἢ ἐκεῖνο, οὗ ἕνεκα πράττουσι τοῦθ' ὃ πράττουσιν; οἷον οἱ τὰ φάρμακα πίνοντες παρὰ τῶν ἰατρῶν πότερόν σοι δοκοῦσι τοῦτο βούλεσθαι, ὅπερ ποιοῦσι, πίνειν τὸ φάρμακον καὶ ἀλγεῖν, ἢ ἐκεῖνο, τὸ ὑγιαίνειν, οὗ ἕνεκα πίνουσιν; D

ΠΩΛ. Δῆλον ὅτι τὸ ὑγιαίνειν [οὗ ἕνεκα πίνουσιν].

ΣΩ. Οὐκοῦν καὶ οἱ πλέοντές τε καὶ τὸν ἄλλον χρηματισμὸν χρηματιζόμενοι οὐ τοῦτό ἐστιν ὃ βούλονται, ὃ ποιοῦσιν ἑκάστοτε· τίς γὰρ βούλεται πλεῖν τε καὶ κινδυνεύειν καὶ πράγματ' ἔχειν; ἀλλ' ἐκεῖνο, οἶμαι, οὗ ἕνεκα πλέουσι, πλουτεῖν· πλούτου γὰρ ἕνεκα πλέουσιν.

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Ἄλλο τι οὖν οὕτω καὶ περὶ πάντων, ἐάν τίς τι πράττῃ ἕνεκά του, οὐ τοῦτο βούλεται, ὃ πράττει, ἀλλ' ἐκεῖνο, οὗ ἕνεκα πράττει;

ΠΩΛ. Ναί. E

ΣΩ. Ἆρ' οὖν ἔστι τι τῶν ὄντων, ὃ οὐχὶ ἤτοι ἀγαθόν γ' ἐστὶν ἢ κακὸν ἢ μεταξὺ τούτων οὔτε ἀγαθὸν οὔτε κακόν;

ΠΩΛ. Πολλὴ ἀνάγκη, ὦ Σώκρατες.

3 *ἵνα καὶ εἰδῶ*. Ὁ *καὶ* χαρακτηρίζει τὸ πεῖσμα τοῦ Πώλου. Ὁμοίως καὶ ἡμεῖς· Γιὰ νὰ ἰδῶ καὶ τί θὰ πῆς.

5 *τοῦτο βούλεσθαι*. Διαστέλλει τὴν πρᾶξιν αὐτὴν ἀπὸ τοῦ τέλους, οὗ στοχαζόμενος ὁ ἄνθρωπος πράττει πᾶν ὅ τι πράττει· καὶ δεικνύει ὅτι βούλεταί τις οὐχὶ αὐτὸ ὃ πράττει ἑκάστοτε, ἀλλὰ τὸ τέλος τῶν πράξεων· τοῦτο δ' ἐστὶ τὸ ἀγαθόν. Ἡ βούλησις λοιπὸν εἶνε οὐχὶ παντὸς πραττομένου, ἀλλὰ μόνον τοῦ ἀγαθοῦ. Ἂν τὸ πραττόμενον εἶνε ἀγαθόν, τότε ὁ ἄνθρωπος πράττει ὃ βούλεται, ἂν δὲ εἶνε κακόν, τότε πράττει ὃ δοκεῖ αὐτῷ (ἀγαθὸν εἶναι), οὐχὶ δὲ ὃ βούλεται.

22 *Ἆρ' οὖν ἔστι τι τῶν ὄντων*. Πάντα τὰ ὄντα, κατὰ τὴν πρὸς τὸν ἄνθρωπον σχέσιν αὐτῶν, ὑπάγει ὑπὸ τρεῖς κατηγορίας· ἢ εἶνε ἀγαθά, ἢ κακά, ἢ οὐδέτερα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΩ. Οὐκοῦν λέγεις εἶναι ἀγαθὸν μὲν σοφίαν τε καὶ ὑγίειαν καὶ πλοῦτον καὶ τἆλλα τὰ τοιαῦτα, κακὰ δὲ τἀναντία τούτων;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Τὰ δὲ μήτε ἀγαθὰ μήτε κακὰ ἆρα τοιάδε λέγεις,
468 ἃ ἐνίοτε μὲν μετέχει τοῦ ἀγαθοῦ, ἐνίοτε δὲ τοῦ κακοῦ, ἐνίοτε δὲ οὐδετέρου, οἷον καθῆσθαι καὶ βαδίζειν καὶ τρέχειν καὶ πλεῖν, καὶ οἷον αὖ λίθους καὶ ξύλα καὶ τἆλλα τὰ τοιαῦτα; οὐ ταῦτα λέγεις; ἢ ἄλλ' ἄττα καλεῖς τὰ μήτε ἀγαθὰ μήτε κακά;

ΠΩΛ. Οὔκ, ἀλλὰ ταῦτα.

ΣΩ. Πότερον οὖν τὰ μεταξὺ ταῦτα ἕνεκεν τῶν ἀγαθῶν πράττουσιν, ὅταν πράττωσιν, ἢ τἀγαθὰ τῶν μεταξύ;

ΠΩΛ. Τὰ μεταξὺ δήπου τῶν ἀγαθῶν.

B ΣΩ. Τὸ ἀγαθὸν ἄρα διώκοντες καὶ βαδίζομεν, ὅταν βαδίζωμεν, οἰόμενοι βέλτιον εἶναι, καὶ τὸ ἐναντίον ἕσταμεν, ὅταν ἑστῶμεν, τοῦ αὐτοῦ ἕνεκα, τοῦ ἀγαθοῦ· ἢ οὔ;

ΠΩΛ. Ναί.

ΣΩ. Οὐκοῦν καὶ ἀποκτίννυμεν, εἴ τινα ἀποκτίννυμεν, καὶ ἐκβάλλομεν καὶ ἀφαιρούμεθα χρήματα, οἰόμενοι ἄμεινον εἶναι ἡμῖν ταῦτα ποιεῖν ἢ μή.

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Ἕνεκ' ἄρα τοῦ ἀγαθοῦ ἅπαντα ταῦτα ποιοῦσιν οἱ ποιοῦντες.

ΠΩΛ. Φημί.

ΚΔ'. ΣΩ. Οὐκοῦν ὡμολογήσαμεν, ἃ ἕνεκά του ποιοῦμεν, μὴ ἐκεῖνα βούλεσθαι, ἀλλ' ἐκεῖνο, οὗ ἕνεκα ταῦτα
C ποιοῦμεν.

1 *Οὐκοῦν λέγεις* κ. τ. λ. Ὁ Σωκ. δὲν προτίθεται νὰ ἀπαριθμήσῃ πάντα τὰ ἀνθρώπινα ἀγαθά· ἀλλ' ἐξ ἑκάστης τῶν τριῶν ταξεων εἰς ἃς συνήθως διήρουν αὐτὰ (ἀγαθὰ τῆς ψυχῆς, ἀγαθὰ τοῦ σώματος καὶ ἐξωτερικὰ ἀγαθά, πρβλ. Νόμ. 697 b. Ἐπιστολ. Η', 355 b) ἐκφέρει ἓν ὡς δεῖγμα, ὁμολογούμενον καὶ ὑπὸ τοῦ Πώλου.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΩΛ. Μάλιστα.

ΣΩ. Οὐκ ἄρα σφάττειν βουλόμεθα οὐδ' ἐκβάλλειν ἐκ τῶν πόλεων οὐδὲ χρήματα ἀφαιρεῖσθαι ἁπλῶς οὕτως, ἀλλ' ἐὰν μὲν ὠφέλιμα ᾖ ταῦτα, βουλόμεθα πράττειν αὐτά, βλαβερὰ δὲ ὄντα οὐ βουλόμεθα. τὰ γὰρ ἀγαθὰ βουλόμεθα, ὡς φῂς σύ, τὰ δὲ μήτε ἀγαθὰ μήτε κακὰ οὐ βουλόμεθα, οὐδὲ τὰ κακά. ἦ γάρ; — ἀληθῆ σοι δοκῶ λέγειν, ὦ Πῶλε, ἢ οὔ; — τί οὐκ ἀποκρίνει;

ΠΩΛ. 'Αληθῆ.

ΣΩ. Οὐκοῦν εἴπερ ταῦτα ὁμολογοῦμεν, εἴ τις ἀποκτεί- D
νει τινὰ ἢ ἐκβάλλει ἐκ πόλεως ἢ ἀφαιρεῖται χρήματα, εἴτε τύραννος ὢν εἴτε ῥήτωρ, οἰόμενος ἄμεινον εἶναι αὐτῷ, τυγχάνει δὲ ὂν κάκιον, οὗτος δήπου ποιεῖ ἃ δοκεῖ αὐτῷ· ἦ γάρ;

ΠΩΛ. Ναί.

ΣΩ. Ἆρ' οὖν καὶ ἃ βούλεται, εἴπερ τυγχάνει ταῦτα κακὰ ὄντα; — τί οὐκ ἀποκρίνει;

ΠΩΛ. 'Αλλ' οὔ μοι δοκεῖ ποιεῖν ἃ βούλεται.

ΣΩ. Ἔστιν οὖν ὅπως ὁ τοιοῦτος μέγα δύναται ἐν τῇ E
πόλει ταύτῃ, εἴπερ ἐστὶ τὸ μέγα δύνασθαι ἀγαθόν τι κατὰ τὴν σὴν ὁμολογίαν;

ΠΩΛ. Οὐκ ἔστιν.

ΣΩ. 'Αληθῆ ἄρα ἐγὼ ἔλεγον, λέγων ὅτι ἔστιν ἄνθρωπον ποιοῦντα ἐν πόλει ἃ δοκεῖ αὐτῷ μὴ μέγα δύνασθαι μηδὲ ποιεῖν ἃ βούλεται.

ΠΩΛ. Ὡς δὴ σύ, ὦ Σώκρατες, οὐκ ἂν δέξαιο ἐξεῖναί

3 *ἁπλῶς οὕτως*=ἔτσι μοναχά, χωρὶς τίποτε ἄλλο. Τὸ ἁπλῶς ἐν τῇ φιλοσοφ. γλώσσῃ τοῦ Πλ. καὶ 'Αριστοτ. σημαίνει τὸ ἄνευ ὅρου ἢ περιορισμοῦ τινος· τὸ τῶν Γερμανῶν unbedingt. Παρ' ἡμῖν σήμερον εἰσήχθη τὸ *ἀπολύτως* ἐκ τοῦ Γαλλ. absolument.

8 *Τί οὐκ ἀποκρίνει;* 'Ομοίως καὶ κατωτέρω (d) πάλιν. 'Υποτίθεται ὅτι ὁ Πῶλος διορῶν ἤδη τὸ σφάλμα του δὲν εἶνε πολὺ πρόθυμος εἰς τὸ ἀποκρίνεσθαι.

23 *ὅτι ἔστιν ἄνθρωπον* κ. τ. λ.= ὅτι ἐνδέχεται.

26 *'Ως δὴ σύ, ὦ Σώκ.*=Λέγεις ταῦτα, ὡσὰν νὰ μὴ ἐδέχεσο σύ... καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σοι ποιεῖν ὅ τι δοκεῖ σοι ἐν τῇ πόλει μᾶλλον ἢ μή, οὐδὲ ζηλοῖς ὅταν ἴδῃς τινὰ ἢ ἀποκτείναντα ὃν ἔδοξεν αὐτῷ ἢ ἀφελόμενον χρήματα ἢ δήσαντα.

ΣΩ. Δικαίως λέγεις ἢ ἀδίκως;

469 ΠΩΛ. Ὁπότερ' ἂν ποιῇ, οὐκ ἀμφοτέρως ζηλωτόν ἐστιν;

ΣΩ. Εὐφήμει, ὦ Πῶλε.

ΠΩΛ. Τί δή;

ΣΩ. Ὅτι οὐ χρὴ οὔτε τοὺς ἀζηλώτους ζηλοῦν οὔτε τοὺς ἀθλίους, ἀλλ' ἐλεεῖν.

ΠΩΛ. Τί δέ; οὕτω σοι δοκεῖ ἔχειν περὶ ὧν ἐγὼ λέγω τῶν ἀνθρώπων;

ΣΩ. Πῶς γὰρ οὔ;

ΠΩΛ. Ὅστις οὖν ἀποκτίννυσιν ὃν ἂν δόξῃ αὐτῷ δικαίως, ἀποκτιννύς, ἄθλιος δοκεῖ σοι εἶναι καὶ ἐλεεινός;

ΣΩ. Οὐκ ἔμοιγε, οὐδὲ μέντοι ζηλωτός.

ΠΩΛ. Οὐκ ἄρτι ἄθλιον ἔφησθα εἶναι;

B ΣΩ. Τὸν ἀδίκως γε, ὦ ἑταῖρε, ἀποκτείναντα, καὶ ἐλεεινόν γε πρός· τὸν δὲ δικαίως ἀζήλωτον.

ΠΩΛ. Οὔ που ὅ γε ἀποθνήσκων ἀδίκως ἐλεεινός τε καὶ ἄθλιός ἐστιν;

ὡσὰν νὰ μὴ ζηλεύῃς, ὅταν κ.τ.λ. Ὁ Πῶλος μὴ ἔχων νὰ ἀντείπῃ διὰ διαλεκτικῶν ἐπιχειρημάτων κατὰ τῆς διαπερανθείσης ἀποδείξεως ὅτι οἱ ῥήτορες καὶ οἱ τύραννοι οὐδὲν μέγα δύνανται, ἐνίσταται ὑποφέρων τὴν τῶν πολλῶν δόξαν, θαυμαζόντων καὶ ζηλούντων τοὺς τοιούτους, κατειρωνευόμενος τοῦ Σωκράτους.

1 *οὐδὲ ζηλοῖς* = ὡς δὴ σὺ οὐ ζηλοῖς. Τὸ ζηλοῖς ὁριστ.

4 *Δικαίως λέγεις ἢ ἀδίκως;* Σύμπλεκε: ποιήσαντα ταῦτα.

5 *Ὁπότερ' ἂν ποιῇ.* Ἀντὶ ἐπιρρ. ὁποτέρως. Συχνάκις τὰ οὐδέτερα τῶν ἀντωνυμιῶν, ἀμφότερα, ἑκάτερα, οὐδέτερα λαμβάνονται ἐπιρρηματικῶς.

6 *Εὐφήμει, ὦ Πῶλε.* = Εὔφημα λέγε· ἔνθα ὑπονοεῖται πολλάκις τό: ἢ σιώπα· ὥςτε τὸ *εὐφήμει* καταντᾷ = σιώπα.

8 *οὔτε τοὺς ἀζηλώτους ζηλοῦν οὔτε τοὺς ἀθλίους.* Ἀζηλώτους μὲν ὀνομάζει τοὺς δικαίως ἀποκτείνοντας ἢ ἄλλην τιμωρίαν ἐπιβάλλοντας, ἐκτελοῦντας καθῆκον ἐπιβεβλημένον, οἷοι οἱ δικασταὶ καὶ οἱ δήμιοι· ἀθλίους δὲ τοὺς παντοδαποὺς φονεῖς καὶ λῃστάς. Ὁ Πῶλος μὴ κατανοήσας τὴν διαφορὰν ταύτην, πειρᾶται κατωτέρω νὰ ἐλέγξῃ τὸν Σωκ. ἀντιφάσκοντα.

17 *καὶ ἐλεεινόν γε πρός.* Ἡ *πρὸς* ἐπιρρηματικῶς. 513 b «καὶ τῷ Πυριλάμπους γε πρός». Μέν. 90 e «καὶ ἀμαθίᾳ γε πρός».

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΩ. Ἧττον ἢ ὁ ἀποκτιννύς, ὦ Πῶλε, καὶ ἧττον ἢ ὁ δικαίως ἀποθνήσκων.

ΠΩΛ. Πῶς δῆτα, ὦ Σώκρατες;

ΣΩ. Οὕτως, ὡς μέγιστον τῶν κακῶν τυγχάνει ὂν τὸ ἀδικεῖν.

ΠΩΛ. Ἦ γὰρ τοῦτο μέγιστον; οὐ τὸ ἀδικεῖσθαι μεῖζον;

ΣΩ. Ἥκιστά γε.

ΠΩΛ. Σὺ ἄρα βούλοιο ἂν ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν.

ΣΩ. Βουλοίμην μὲν ἂν ἔγωγε οὐδέτερα· εἰ δ' ἀναγκαῖον C
εἴη ἀδικεῖν ἢ ἀδικεῖσθαι, ἑλοίμην ἂν μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖν.

ΠΩΛ. Σὺ ἄρα τυραννεῖν οὐκ ἂν δέξαιο.

ΣΩ. Οὔκ, εἰ τὸ τυραννεῖν γε λέγεις ὅπερ ἐγώ.

ΠΩΛ. Ἀλλ' ἔγωγε τοῦτο λέγω ὅπερ ἄρτι, ἐξεῖναι ἐν τῇ πόλει, ὃ ἂν δοκεῖ αὐτῷ, ποιεῖν τοῦτο, καὶ ἀποκτιννύντι καὶ ἐκβάλλοντι καὶ πάντα πράττοντι κατὰ τὴν αὑτοῦ δόξαν.

ΚΕ'. ΣΩ. Ὦ μακάριε, ἐμοῦ δὴ λέγοντος τῷ λόγῳ ἐπιλαβοῦ. εἰ γὰρ ἐγὼ ἐν ἀγορᾷ πληθούσῃ λαβὼν ὑπὸ μάλης D

1 *Ἧττον ἢ ὁ ἀποκτιννύς*. Τρεῖς βαθμοὺς ἀθλιότητος καθιστᾷ ὁ Σωκ. πάντων μὲν ἀθλιώτατον ἀποφαίνει τὸν ἀδίκως ἀποκτείνοντα· δευτέρως δὲ τὸν δικαίως ἀποθνήσκοντα, καὶ τρίτως, τὸν ἀδίκως ἀποθνήσκοντα.

3 *Πῶς δῆτα, ὦ Σώκ.;* Δὲν ἐρωτᾷ ὡρισμένον τι, διότι πάντα τὰ ὑπὸ Σωκ. λεγόμενα τῷ εἶνε ἄπορα. Συμπληρωτέον: «Πῶς λέγεις ταῦτα, ὦ Σώκ.; οὐ γὰρ ἐννοῶ». — Σωκ. «Οὕτω λέγω ταῦτα, ὡς ἔχων τὴν γνώμην ὅτι τὸ ἀδικεῖν τυγχάνει τὸ μέγιστον τῶν κακῶν».

15 *καὶ ἀποκτιννύντι* κ.τ.λ. Ἐτέθησαν αἱ τρεῖς μετοχαὶ ὡς τροπικαὶ τοῦ ποιεῖν.

17 *ἐμοῦ δὴ λέγοντος τῷ λόγῳ ἐπιλαβοῦ*. Ὁ Σωκ. προαγγέλλει ὅτι θὰ εἴπῃ μακρὸν λόγον ἢ διήγησιν, καὶ προσκαλεῖ τὸν Πῶλον, νὰ τὸν διακόψῃ ὅπου δὲν τῷ φαίνεται ὅτι λέγει ἀκόλουθα πρὸς τὰ προαποφανθέντα. Ὁ λόγος τοῦ Σωκ. εἶνε διὰ παραδειγμάτων ἔλεγχος τῶν ἰσχυρισμῶν τοῦ Πώλου.

*τῷ λόγῳ ἐπιλαβοῦ*. Δοτ. ὀργαν. *Κράτησέ με διὰ τοῦ λόγου*.

18 *Εἰ γὰρ ἐγώ . . . οὕτω μέγα ἐγὼ δύναμαι ἐν τῇδε τῇ πόλει* Ὅλος ὁ λόγος οὗτος εἶνε τὸ ἡγούμενον ὑποθετ. λόγου. Διττῶς δὲ δυνάμεθα νὰ τὸν συντάξωμεν μετὰ τῶν ἑπομένων· ἢ νὰ τὸν θεωρήσωμεν ὡς ἀναπόδοτον, λίαν δεδικαιολογημένον διὰ τὸ μῆκος, καὶ τότε πρέπει νὰ στίξωμεν τελείαν στιγμὴν μετὰ τό: *τῇ πόλει*, ἢ νὰ ἐκλάβωμεν τὴν ἑπομένην ὑπόθεσιν ὡς ἀπόδοσιν τοῦ πρώτου ἐκείνου ὑποθετ. λόγου, ὅτε θὰ συμβαίνῃ ἡ γνωστὴ ἤδη ὑπόθεσις ὑποθέσεως. Ἐγὼ προτιμῶ τὴν α' ἐκδοχήν. Σημαίνει δὲ καὶ τὸ *οὖν* (εἰ οὖν) ὅτι γίνεται μετάβασις εἰς νέον λόγον.

*ἐν ἀγορᾷ πληθούσῃ*. Τὸ ἐν ἀγορᾷ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐγχειρίδιον λέγοιμι πρὸς σὲ ὅτι, Ὦ Πῶλε, ἐμοὶ δύναμίς τις καὶ τυραννὶς θαυμασία ἄρτι προσγέγονεν· ἐὰν γὰρ ἄρα ἐμοὶ δόξῃ τινὰ τουτωνὶ τῶν ἀνθρώπων ὧν σὺ ὁρᾷς αὐτίκα μάλα δεῖν τεθνάναι, τεθνήξει οὗτος, ὃν ἂν δόξῃ· κἄν τινα δόξῃ μοι τῆς κεφαλῆς αὐτῶν κατεαγέναι δεῖν, κατεαγὼς ἔσται αὐτίκα μάλα, κἂν θοἰμάτιον διεσχίσθαι, διεσχισμένον ἔσται·
E οὕτω μέγα ἐγὼ δύναμαι ἐν τῇδε τῇ πόλει. εἰ οὖν ἀπιστοῦντί σοι δείξαιμι τὸ ἐγχειρίδιον, ἴσως ἂν εἴποις ἰδὼν ὅτι, ὦ Σώκρατες, οὕτω μὲν πάντες ἂν μέγα δύναιντο, ἐπεὶ κἂν ἐμπρησθείη οἰκία τούτῳ τῷ τρόπῳ ἥντινά σοι δοκοῖ, καὶ τά γε Ἀθηναίων νεώρια καὶ τριήρεις, καὶ τὰ πλοῖα πάντα καὶ τὰ δημόσια καὶ τὰ ἴδια· ἀλλ᾽ οὐκ ἄρα τοῦτ᾽ ἐστὶ τὸ μέγα δύνασθαι, τὸ ποιεῖν ἃ δοκεῖ αὐτῷ· ἢ δοκεῖ σοι;

ΠΩΛ. Οὐ δῆτα οὕτω γε.

470 ΣΩ. Ἔχεις οὖν εἰπεῖν δι᾽ ὅ τι μέμφει τὴν τοιαύτην δύναμιν;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Τί δή; λέγε.

ΠΩΛ. Ὅτι ἀναγκαῖον τὸν οὕτω πράττοντα ζημιοῦσθαί ἐστιν.

μὲν δηλοῖ τὸν τόπον, τὸ δὲ *πληθούσῃ* τὴν ὥραν τε καὶ τὸ πῶς ἐχούσης τῆς ἀγορᾶς. Ἡ ἀγορὰ ἔπληθε περὶ τὴν 10ην ὥραν· ἐλλείψει δὲ ὡρολογίων μετεχειρίζοντο τὴν φράσιν «περὶ ἢ ἀμφὶ πλήθουσαν ἀγορὰν» πρὸς δήλωσιν τῆς ὥρας. Ξνφ. Κ. Ἀν. Α΄, 8, 1· «Καὶ ἤδη τε ἦν ἀμφὶ ἀγορὰν πλήθουσαν».

4 *τεθνήξει*. Ὁ λεγόμενος τετελεσμένος μέλλων ἀντὶ τοῦ ἁπλοῦ: *ἀποθανεῖται*· ἐτέθη κατὰ τὸν αὐτὸν λόγον καθ᾽ ὃν καὶ τό: *τεθνάναι*, ἀντὶ τοῦ *ἀποθανεῖν*· καὶ κατωτέρω *κατεαγέναι* καὶ κατεαγὼς ἔσται. Παριστᾷ δηλ. ἐναργέστερον τὴν ταχύτητα καὶ βεβαιότητα τῆς ἐκτελέσεως. Ὁμοίως καὶ ἡμεῖς: Ὅταν διατάξῃς νὰ τὸν σκοτώσωμεν, θὰ εἶνε σκοτωμένος. Ἐὰν θέλῃς νὰ τοῦ σπάσω τὸ κεφάλι, θὰ εἶνε σπασμένο.

5 *κατεαγέναι τῆς κεφαλῆς*. Ὑποκ. τοῦ *κατεαγέναι*, *τινά*· τὸ *αὐτῶν* γεν. διαιρ.· *τῆς κεφαλῆς* γεν. σημαίνουσα τὸ *κατά τι*. Οὕτω καὶ Ἀριστφ. Σφῆκ. 1428·

Ἀνὴρ Συβαρίτης ἐξέπεσεν ἐξ ἅρμα-
[τος,
καί πως κατεάγη τῆς κεφαλῆς μέγα
[σφόδρα· καὶ Ἀχαρν. 1180.

10 *ἥν τινά σοι δοκοῖ*. Σύμπλ. δεῖν ἐμπρησθῆναι.

11 *καὶ τριήρεις καὶ τὰ πλοῖα*. Νῆες, καὶ τούτων τὸ κυριώτατον εἶδος, τριήρεις, ἦσαν τὰ πολεμικὰ πλοῖα· πλοῖα δὲ ὠνομάζοντο τὰ ἐμπορικὰ ἢ φορτηγά.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΩ. Τὸ δὲ ζημιοῦσθαι οὐ κακόν;

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν, ὦ θαυμάσιε, τὸ μέγα δύνασθαι πάλιν αὖ σοι φαίνεται, ἐὰν μὲν πράττοντι ἃ δοκεῖ ἕπηται τὸ ὠφελίμως πράττειν, ἀγαθόν [τε] εἶναι, καὶ τοῦτο, ὡς ἔοικεν, ἐστὶ τὸ μέγα δύνασθαι· εἰ δὲ μή, κακόν, καὶ σμικρὸν δύνασθαι; σκεψώμεθα δὲ καὶ τόδε· ἄλλο τι [ἢ] ὁμολογοῦμεν B
ἐνίοτε μὲν ἄμεινον εἶναι ταῦτα ποιεῖν ἃ νῦν δὴ ἐλέγομεν, ἀποκτιννύναι τε καὶ ἐξελαύνειν ἀνθρώπους καὶ ἀφαιρεῖσθαι χρήματα, ἐνίοτε δὲ οὔ;

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Τοῦτο μὲν δή, ὡς ἔοικε, καὶ παρὰ σοῦ καὶ παρ' ἐμοῦ ὁμολογεῖται.

ΠΩΛ. Ναί.

ΣΩ. Πότε οὖν σὺ φῂς ἄμεινον εἶναι ταῦτα ποιεῖν; εἰπέ, τίνα ὅρον ὁρίζει;

ΠΩΛ. Σὺ μὲν οὖν, ὦ Σώκρατες, ἀπόκριναι αὐτὸς τοῦτο.

ΣΩ. Ἐγὼ μὲν τοίνυν φημί, ὦ Πῶλε, εἴ σοι παρ' ἐμοῦ C
ἥδιόν ἐστιν ἀκούειν, ὅταν μὲν δικαίως τις ταῦτα ποιῇ, ἄμεινον εἶναι, ὅταν δὲ ἀδίκως, κάκιον.

ΚϚ'. ΠΩΛ. Χαλεπόν γέ σε ἐλέγξαι, ὦ Σώκρατες! ἀλλ' οὐχὶ κἂν παῖς σε ἐλέγξειεν, ὅτι οὐκ ἀληθῆ λέγεις;

ΣΩ. Πολλὴν ἄρα ἐγὼ τῷ παιδὶ χάριν ἕξω, ἴσην δὲ καὶ

1 *ζημιοῦσθαι*. Ζημία ἐλέγετο ἡ ποινὴ (συνήθως ἡ χρηματική), ἣν κατεδικάζοντο νὰ ἀποτίσωσιν οἱ κακουργοῦντες.

3 *Οὐκοῦν, ὦ θαυμάσιε* κ.τ.λ. Σύμπλεκε καὶ συμπλήρου ὧδε· Τὸ μέγα δύνασθαι πάλιν αὖ σοι φαίνεται, ἐὰν μὲν πράττοντι ἃ δοκεῖ ἕπηται τὸ ὠφελίμως πράττειν, ἀγαθὸν εἶναι, καὶ τοῦτο (τὸ δύνασθαι ὠφελίμως πράττειν) ἐστίν, ὡς ἔοικε, τὸ μέγα δύνασθαι· εἰ δὲ μὴ (ἐὰν δὲ μὴ ἕπηται τὸ ὠφελίμως πράττειν), τὸ μέγα δύνασθαί σοι φαίνεται κακὸν εἶναι καὶ (ἄρα) μικρὸν δύνασθαι.

8 *ἐνίοτε μὲν ἄμεινον*. Τὸ ἄμεινον οὐχὶ = μᾶλλον ἀγαθόν, ἀλλὰ = ἧττον κακόν. Διότι καθ' ἃ προεῖπε, καὶ ὁ δικαίως ἀποκτιννύς ἐστιν ἀζήλωτος.

15 *Πότε οὖν;* Ἡ ἐρώτησις εἶνε ἀσαφής· δια τοῦτο ἐπιφέρει: τίνα ὅρον ὁρίζει;

21 *Χαλεπόν γέ σε ἐλέγξαι*! Εἰρωνικὸς θαυμασμός.

23 *ἴσην δὲ καὶ σοί*. Εἰρωνικὴ ἀνταπόδοσις τῆς χυδαιότητος τοῦ Πώλου.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σοί, ἐάν με ἐλέγξῃς καὶ ἀπαλλάξῃς φλυαρίας. ἀλλὰ μὴ κάμῃς φίλον ἄνδρα εὐεργετῶν, ἀλλ' ἔλεγχε.

D ΠΩΛ. Ἀλλὰ μήν, ὦ Σώκρατες, οὐδέν γέ σε δεῖ παλαιοῖς πράγμασιν ἐλέγχειν· τὰ γὰρ ἐχθὲς καὶ πρώην γεγονότα ταῦτα ἱκανά σε ἐξελέγξαι ἐστὶ καὶ ἀποδεῖξαι, ὡς πολλοὶ ἀδικοῦντες ἄνθρωποι εὐδαίμονές εἰσιν.

ΣΩ. Τὰ ποῖα ταῦτα;

ΠΩΛ. Ἀρχέλαον δήπου τοῦτον τὸν Περδίκκου ὁρᾷς ἄρχοντα Μακεδονίας;

ΣΩ. Εἰ δὲ μή, ἀλλ' ἀκούω γε.

ΠΩΛ. Εὐδαίμων οὖν σοι δοκεῖ εἶναι ἢ ἄθλιος;

ΣΩ. Οὐκ οἶδα, ὦ Πῶλε· οὐ γάρ πω συγγέγονα τῷ ἀνδρί.

E ΠΩΛ. Τί δέ; συγγενόμενος ἂν γνοίης, ἄλλως δὲ αὐτόθεν οὐ γιγνώσκεις ὅτι εὐδαιμονεῖ;

ΣΩ. Μὰ Δί' οὐ δῆτα.

Ἀφ' οὗ λέγω τόσον μωρά, ὥςτε καὶ παῖς νὰ δύναται νά με ἐλέγξῃ, καὶ σὺ ἄρα, ὦ Πῶλε, ἐλέγχων με θὰ εἶσαι ἄξιος ἴσης καὶ ὁ παῖς χάριτος.

1 *μὴ κάμῃς = μὴ βαρυνθῇς καὶ παύσῃς νά με εὐεργετῇς*. Ἡ διάθεσις αὕτη τοῦ Σωκ. συνᾴδει πρὸς τὴν ἐν σελ. 458 a ἐξενεχθεῖσαν γνώμην του.

8 *Ἀρχέλαον δήπου τοῦτον τὸν Περδίκκου*. Περδίκκας εἶνε ὁ ἐκ τοῦ Θουκ. λίαν γνωστὸς παλίμβουλος καὶ παλίντροπος βασιλεὺς τῆς Μακεδονίας. Ἀποθανὼν (περὶ τὸ 414 π. Χ.) κατέλιπεν ἐκ μὲν τῆς γυναικός του Κλεοπάτρας υἱὸν ἑπταετῆ, μὴ ὀνομαζόμενον ἐνταῦθα· ἐκ δὲ παλλακῆς, δούλης τοῦ ἀδελφοῦ του Ἀλκέτου, νόθον υἱὸν τοῦτον δὰ τὸν Ἀρχέλαον. Μετὰ τὸν θάνατον τοῦ Περδίκκου ὁ Ἀρχέλαος οὗτος ἐξεπόδισε τόν τε γνήσιον υἱὸν τοῦ Περδίκκου, τόν τε ἀδελφὸν αὐτοῦ καὶ δεσπότην τῆς μητρός του Ἀλκέταν, καὶ τὸν τούτου υἱὸν Ἀλέξανδρον, δηλ. πάντας ὅσοι εἶχον νομίμους ἀξιώσεις νὰ καταλάβωσι τὸν θρόνον, καὶ οὕτω τὸν κατέλαβεν αὐτός. Ὡς βασιλεὺς ἀπεδείχθη φιλοπρόοδος, καὶ ὡς τοιοῦτος ἐπαινεῖται ὑπὸ Θουκ. Β', 100· ἦτο δὲ καὶ φιλόμουσος καὶ φιλόκαλος, καὶ ἐκάλεσε παρ' ἑαυτῷ πολλοὺς τῶν ἐλλογίμων Ἀθηναίων, ἐν οἷς ἦν Εὐριπίδης καὶ Ἀγάθων οἱ ποιηταί. Ἐκάλεσε δὲ καὶ τὸν Σωκράτην· ἀλλ' οὗτος δὲν ἀπεδέχθη τὴν πρόσκλησιν.

*τοῦτον τὸν Περδίκκου ὁρᾷς* κ.τ.λ.; Ῥητορικὸς χρωματισμὸς τοῦ λόγου, ὡς νὰ ἦτο πρὸ τῶν ὀφθαλμῶν του. Ὁμοίως καὶ ὁ Γοργ. ἀνωτέρω (456 a) «ὁρᾷς ὅτι οἱ ῥήτορές εἰσι».

10 *Εἰ δὲ μή, ἀλλ' ἀκούω γε*. Ὁ Σωκ. ἀποκρίνεται κυριολεκτῶν καὶ δίδει πλαγίαν νύξιν εἰς τον Πῶλον, ὅτι ἐν ἐπιστημονικῇ ζητήσει δὲν ἁρμόζουσι τὰ καλλωπίσματα τοῦ λόγου καὶ αἱ ὑπερβολαί.

13 *ἄλλως δὲ αὐτόθεν* = ἔτσι ὅπως εὑρίσκεσθε σὺ μὲν ἐδῶ ἐκεῖνος δ' ἐκεῖ, ἄνευ τοῦ συγγενέσθαι. Ἔπιθι παρεκβολάς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΩΛ. Δῆλον δή, ὦ Σώκρατες, ὅτι οὐδὲ τὸν μέγαν βασιλέα γιγνώσκειν φήσεις εὐδαίμονα ὄντα.

ΣΩ. Καὶ ἀληθῆ γε ἐρῶ· οὐ γὰρ οἶδα παιδείας ὅπως ἔχει καὶ δικαιοσύνης.

ΠΩΛ. Τί δέ; ἐν τούτῳ ἡ πᾶσα εὐδαιμονία ἐστίν;

ΣΩ. Ὥς γε ἐγὼ λέγω, ὦ Πῶλε· τὸν μὲν γὰρ καλὸν κἀγαθὸν ἄνδρα καὶ γυναῖκα εὐδαίμονα εἶναί φημι, τὸν δὲ ἄδικον καὶ πονηρὸν ἄθλιον.

ΠΩΛ. Ἄθλιος ἄρα οὗτός ἐστιν ὁ Ἀρχέλαος κατὰ τὸν 471 σὸν λόγον;

ΣΩ. Εἴπερ γε, ὦ φίλε, ἄδικος.

ΠΩΛ. Ἀλλὰ μὲν δὴ πῶς οὐκ ἄδικος; ᾧ γε προσῆκε μὲν τῆς ἀρχῆς οὐδὲν ἣν νῦν ἔχει, ὄντι ἐκ γυναικὸς ἣ ἦν δούλη Ἀλκέτου τοῦ Περδίκκου ἀδελφοῦ, καὶ κατὰ μὲν τὸ δίκαιον δοῦλος ἦν Ἀλκέτου, καὶ εἰ ἐβούλετο τὰ δίκαια ποιεῖν, ἐδούλευεν ἂν Ἀλκέτῃ καὶ ἦν εὐδαίμων κατὰ τὸν σὸν λόγον· νῦν δὲ θαυμασίως ὡς ἄθλιος γέγονεν, ἐπεὶ τὰ μέγιστα ἠδίκηκεν· ὅς γε πρῶτον μὲν τοῦτον αὐτὸν τὸν δεσπότην καὶ B θεῖον μεταπεμψάμενος ὡς ἀποδώσων τὴν ἀρχὴν ἣν Περδίκκας αὐτὸν ἀφείλετο, ξενίσας καὶ καταμεθύσας αὐτόν τε καὶ τὸν υἱὸν αὐτοῦ Ἀλέξανδρον, ἀνεψιὸν αὐτοῦ, σχεδὸν

3 *παιδείας ὅπως ἔχει καὶ δικαιοσύνης*. Αἱ γενικαὶ τὸ κατά τι· πρβλ. σελ. 451 c.

12 *Ἀλλὰ μὲν δὴ πῶς οὐκ ἄδικος;* Ὁ Πῶλος ἐκθέτει τὰ κατὰ τὸν Ἀρχέλαον, χαρακτηρίζων διὰ ζωηρῶν χρωμάτων τὸ μέγεθος τῆς ἀδικίας αὐτοῦ καὶ εἰρωνικῶς ἀποφαίνων αὐτόν, κατὰ τὴν κρίσιν τοῦ Σωκράτους, κακοδαιμονέστατον, ἐν ᾧ πράγματι ἦτο ὑπὸ πάντων ζηλωτός, ἄλλως τε καὶ ἀφ' οὗ ἀπεδείχθη διὰ τῶν ἔργων του ἄξιος τοῦ θρόνου τοῦ δι' ἀνοσιουργημάτων καταληφθέντος. Τὸ εἶδος τῆς εἰρωνείας εἶνε ἀντίφρασις, τοῦ Πώλου λέγοντος τἀναντία τῶν δοξαζομένων ὑπ' αὐτοῦ, οὐχὶ ψευδομένου, ἀλλὰ σαφῶς εἰρωνευομένου.

*ᾧ γε προσῆκε*. Προσήκει τί τινι προσωπικῶς· καὶ Προσήκει τινί τινος (πράγματος) ἀπροσώπως. Ἐνταῦθα εἶνε ἡ ἀπρόσωπος χρῆσις, τὸ δὲ *οὐδὲν* αἰτιατ. τοῦ κατά τι = Δὲν εἶχε τίποτε νὰ κάμῃ μὲ τὴν ἀρχήν.

17 *θαυμασίως ὡς ἄθλιος*. Προσνοητέον: *κατὰ τὸν σὸν λόγον*, κατὰ τὴν σὴν κρίσιν. Τὸ αὐτὸ καὶ ἐν πᾶσι τοῖς ἑπομένοις χαρακτηρισμοῖς τοῦ Ἀρχελάου.

21 *ἀνεψιόν*· ὅ τι σήμερον λέγομεν ἐξάδελφον.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡλικιώτην, ἐμβαλὼν εἰς ἅμαξαν, νύκτωρ ἐξαγαγὼν ἀπέσφαξέ τε καὶ ἠφάνισεν ἀμφοτέρους, καὶ ταῦτα ἀδικήσας ἔλαθεν ἑαυτὸν ἀθλιώτατος γενόμενος· καὶ οὐ μετεμέλησεν
C αὐτῷ, ἀλλ' ὀλίγον ὕστερον τὸν ἀδελφόν, τὸν γνήσιον τοῦ Περδίκκου υἱόν, παῖδα ὡς ἑπταετῆ, οὗ ἡ ἀρχὴ ἐγίγνετο κατὰ τὸ δίκαιον, οὐκ ἐβουλήθη εὐδαίμων γενέσθαι δικαίως ἐκθρέψας καὶ ἀποδοὺς τὴν ἀρχὴν ἐκείνῳ, ἀλλ' εἰς φρέαρ ἐμβαλὼν καὶ ἀποπνίξας, πρὸς τὴν μητέρα αὐτοῦ Κλεοπάτραν χῆνα ἔφη διώκοντα ἐμπεσεῖν καὶ ἀποθανεῖν. τοιγάρτοι νῦν, ἅτε μέγιστα ἠδικηκὼς τῶν ἐν Μακεδονίᾳ, ἀθλιώτατός ἐστι πάντων Μακεδόνων, ἀλλ' οὐκ εὐδαιμονέστατος, καὶ ἴσως ἔστιν ὅστις Ἀθηναίων ἀπὸ σοῦ ἀρξάμενος δέξαιτ'
D ἂν ἄλλος ὁστισοῦν Μακεδόνων γενέσθαι μᾶλλον ἢ Ἀρχέλαος.

ΚΖ'. ΣΩ. Καὶ κατ' ἀρχὰς τῶν λόγων, ὦ Πῶλε, ἔγωγέ σε ἐπῄνεσα ὅτι μοι δοκεῖς εὖ πρὸς τὴν ῥητορικὴν πεπαιδεῦσθαι, τοῦ δὲ διαλέγεσθαι ἠμεληκέναι· καὶ νῦν ἄλλο τι οὗτός ἐστιν ὁ λόγος, ᾧ με κἂν παῖς ἐξελέγξειε, καὶ ἐγὼ ὑπὸ σοῦ νῦν, ὡς σὺ οἴει, ἐξελήλεγμαι τούτῳ τῷ λόγῳ, φάσκων τὸν ἀδικοῦντα οὐκ εὐδαίμονα εἶναι; πόθεν, ὦ 'γαθέ; καὶ μὴν οὐδέν γέ σοι τούτων ὁμολογῶ ὧν σὺ φῄς.

7 *ἐκθρέψας*· ὡς ἀνήλικα, ὡς ὤφειλεν ὁ κηδεμών. Ἐπιμνηστέον ἐνταῦθα τῶν κατὰ Λυκοῦργον καὶ Χαρίλαον.

*καὶ ἀποδοὺς τὴν ἀρχὴν ἐκείνῳ.* Δηλ. ἐν τῷ καθήκοντι χρόνῳ. Ὑποτίθεται ὅτι μέχρις ἡλικιώσεως τοῦ νομίμου διαδόχου δικαίως καὶ ἀνεπιλήπτως θὰ κατεῖχε τὴν ἀρχὴν ὁ Ἀρχέλαος. Ἐν τοῖς ῥήμασιν: ἀποδίδωμι, ἀπολαμβάνω, ἀπαιτῶ, ἡ ἀπὸ σημαίνει κυρίως μὲν ἐπιστροφὴν πράγματος δεδανεισμένου· ἀποδίδωμι, ἀπολαμβάνω, ἀπαιτῶ τὸ ἀργύριον· ἔπειτα δὲ καὶ περὶ παντὸς ὁπωσδήποτε ὀφειλομένου πράγματος, καίπερ μὴ προδεδανεισμένου. Ἀπαιτῶ τὸν μισθόν· ἀπολαμβάνω τὰ διδασκάλια· ἀποδίδωμι τὰ τροφεῖα τῇ πατρίδι.

9 *χῆνα.* Ὁ χήν, τοῦ χηνός.

10 *ἅτε μέγιστα ἠδικηκώς.* Κατὰ τὴν γνώμην τοῦ Σωκ. ὁ βαθμὸς τῆς ἀθλιότητος εἶνε ἀνάλογος πρὸς τὸν βαθμὸν τῆς ἀδικίας. «Ἀφ' οὗ λοιπὸν ὁ Ἀρχ. ἠδίκησε πάντων τῶν Μακεδόνων μεγίστας ἀδικίας, εἶνε καὶ πάντων ἀθλιώτατος», συμπεραίνει εἰρωνικῶς ὁ Πῶλος.

12 *ἀπὸ σοῦ ἀρξάμενος* = σοῦ πρώτου ἄρξαντος καὶ γενομένου τοῖς ἄλλοις παράδειγμα. Θεαίτ. 171 b· «Ἐξ ἁπάντων ἄρα ἀπὸ Πρωταγόρου ἀρξαμένων ἀμφισβητήσεται». Ἡ σύνταξις ἔχει τοῦτο τὸ παράδοξον, ὅτι τὸ γραμματικὸν ὑποκείμενον δὲν εἶνε καὶ τὸ λογικὸν ὑποκ. τοῦ *ἀρξάμενος*

20 ***οὐδέν γέ σοι τούτων ὁμολογῶ.*** Δὲν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΩΛ. Οὐ γάρ ἐθέλεις, ἐπεὶ δοκεῖ γέ σοι ὡς ἐγὼ λέγω. E

ΣΩ. Ὦ μακάριε, ῥητορικῶς γάρ με ἐπιχειρεῖς ἐλέγχειν, ὥςπερ οἱ ἐν τοῖς δικαστηρίοις [ἡγούμενοι ἐλέγχειν]· καὶ γὰρ ἐκεῖ οἱ ἕτεροι τοὺς ἑτέρους δοκοῦσιν ἐλέγχειν, ἐπειδὰν τῶν λόγων ὧν ἂν λέγωσι μάρτυρας πολλοὺς παρέχωνται καὶ εὐδοκίμους, ὁ δὲ τἀναντία λέγων ἕνα τινὰ παρέχηται ἢ μηδένα. οὗτος δὲ ὁ ἔλεγχος οὐδενὸς ἄξιός ἐστι πρὸς τὴν ἀλήθειαν· ἐνίοτε γὰρ ἂν καὶ καταψευδομαρτυρηθείη τις ὑπὸ 472 πολλῶν καὶ δοκούντων εἶναί τι. καὶ νῦν περὶ ὧν σὺ λέγεις ὀλίγου σοι πάντες συμφήσουσι ταῦτα Ἀθηναῖοι καὶ οἱ ξένοι, ἐὰν βούλῃ κατ' ἐμοῦ μάρτυρας παρασχέσθαι, ὡς οὐκ ἀληθῆ λέγω· μαρτυρήσουσί σοι, ἐὰν μὲν βούλῃ, Νικίας ὁ Νικηράτου καὶ οἱ ἀδελφοὶ μετ' αὐτοῦ, ὧν οἱ τρίποδες οἱ ἐφεξῆς ἑστῶτές εἰσιν ἐν τῷ Διονυσίῳ, ἐὰν δὲ βούλῃ, Ἀρι-

ἀμφισβητεῖ τὴν ἀλήθειαν τῶν ἱστορικῶν γεγονότων, ἀλλὰ τὴν ὀρθότητα τῶν περὶ Ἀρχελάου κρίσεων τοῦ Πώλου, ὅτι καίπερ τοιαῦτα ἀδικήσας εἶνε ἅμα εὐδαίμων καὶ μακαριστός.

6 *καὶ εὐδοκίμους*· τοὺς ὑφ' ἡμῶν σήμερον, ἥκιστα εὐδοκίμως, καλουμένους *εὐϋπολήπτους*.

12 *Νικίας ὁ Νικηράτου*. Ὁ ἔνδοξος στρατηγὸς τῶν Ἀθηναίων κατὰ τὴν εἰς Σικελίαν πολύδακρυν ἐκστρατείαν. Ἀριστοκράτης δὲ ὁ Σκελλίου εἷς τῶν δέκα ἐν Ἀργινούσαις στρατηγῶν τῶν θανατωθέντων ὑπὸ τοῦ δήμου. Ἀναφέρει ἐπίτηδες ὀνόματα εὐδοκίμων ἀνδρῶν καὶ ἀγαθῶν, ἵνα δηλώσῃ ὅτι καὶ οἱ τοιοῦτοι τιμῶσι τὴν εἰς τὰς αἰσθήσεις προσπίπτουσαν δύναμιν πλούτου καὶ ἀρχῶν, μετὰ τῶν παρεπομένων τούτοις ἀγαθῶν, καὶ ὅτι θαυμάζουσι καὶ ζηλοῦσι μᾶλλον τοὺς δι' ἀδικίας κεκτημένους τοιαύτην δύναμιν, ἢ τοὺς διὰ δικαιοσύνην μὴ δυναμένους μήτε τοὺς ἐχθροὺς νὰ βλάψωσι, μήτε τοὺς φίλους νὰ ὠφελήσωσι, πάντων δ' ἥκιστα ἑαυτούς· καὶ ὅτι μόνον τῷ φιλοσοφοῦντι δέδοται νὰ ἐξευρίσκῃ τὴν περὶ τὰ τοιαῦτα ἀλήθειαν, καὶ νὰ ῥυθμίζῃ ἑαυτὸν πρὸς ταύτην, ὅτι ἄρα τελείως ἀγαθὸς ἀνὴρ δύναται νὰ ἀποβῇ μόνος ὁ φιλόσοφος.

13 *ὧν οἱ τρίποδες*. Οἱ τρίποδες ἦσαν ἀναθήματα εἰς τὸν Διόνυσον, ἀνατιθέμενα ὑπὸ τῶν χορηγῶν, ὧν ὁ χορὸς ἐνίκα ἐν τοῖς θεατρικοῖς ἀγῶσιν. Αὐτοὶ μὲν οἱ τρίποδες ἦσαν χρυσοῖ· τινὲς δὲ τούτων ἵσταντο ἐπὶ μεγαλοπρεπῶν κιόνων μαρμάρου, ὧντινες σώζονται μέχρι σήμερον ἐν Ἀθήναις, ὑπερκείμενοι τοῦ Διονυσιακοῦ θεάτρου. Καὶ τὸ μνημεῖον δὲ τοῦ Λυσικράτους ἦτο χορηγικόν. Περὶ τῶν ἀναθημάτων τοῦ Νικίου λέγει ὁ Πλούταρχ. Β. Νικ. Γ'· «Εἱστήκει δὲ καὶ τῶν ἀναθημάτων αὐτοῦ καθ' ἡμᾶς τό τε Παλλάδιον ἐν ἀκροπόλει, τὴν χρύσωσιν ἀποβεβληκός, καὶ ὁ τοῖς χορηγικοῖς τρίποσιν ὑποκείμενος ἐν Διονύσου (γραπτ. ἴσως: ἐν Διονυσίῳ) νεώς. Ἐνίκησε γὰρ πολλάκις χορηγήσας, ἐλείφθη δ' οὐδέποτε».

14 *ἐν τῷ Διονυσίῳ*· οὐχὶ ἐν τῷ ναῷ, ἀλλ' ἐν τῷ χώρῳ τῷ καθιερωμένῳ εἰς τὸν Διόνυσον· οὗτος δ' ἦν ὁ περὶ τὸ Διονυσιακὸν θέατρον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στοκράτης ὁ Σκελλίου, οὗ αὖ ἐστιν ἐν Πυθίου τοῦτο τὸ B καλὸν ἀνάθημα, ἐὰν δὲ βούλῃ, ἡ Περικλέους ὅλη οἰκία ἢ ἄλλη συγγένεια, ἥντινα ἂν βούλῃ τῶν ἐνθάδε ἐκλέξασθαι. ἀλλ' ἐγώ σοι εἷς ὢν οὐχ ὁμολογῶ· οὐ γάρ με σὺ ἀναγκάζεις, ἀλλὰ ψευδομάρτυρας πολλοὺς κατ' ἐμοῦ παρασχόμενος ἐπιχειρεῖς ἐκβάλλειν με ἐκ τῆς οὐσίας καὶ τοῦ ἀληθοῦς. ἐγὼ δὲ ἂν μὴ σὲ αὐτὸν ἕνα ὄντα μάρτυρα παράσχω- C μαι ὁμολογοῦντα περὶ ὧν λέγω, οὐδὲν οἶμαι ἄξιον λόγου μοι πεπεράνθαι περὶ ὧν ἂν ἡμῖν ὁ λόγος ᾖ· οἶμαι δὲ οὐδὲ σοί, ἐὰν μὴ ἐγώ σοι μαρτυρῶ εἷς ὢν μόνος, τοὺς δὲ ἄλλους πάντας τούτους χαίρειν ἐᾷς. ἔστι μὲν οὖν οὗτός τις τρόπος ἐλέγχου, ὡς σύ τε οἴει καὶ ἄλλοι πολλοί· ἔστι δὲ καὶ ἄλλος, ὃν ἐγὼ αὖ οἶμαι. παραβαλόντες οὖν παρ' ἀλλήλους σκεψώμεθα, εἴ τι διοίσουσιν ἀλλήλων. καὶ γὰρ τυγχάνει περὶ ὧν ἀμφισβητοῦμεν οὐ πάνυ σμικρὰ ὄντα, ἀλλὰ σχεδόν τι ταῦτα, περὶ ὧν εἰδέναι τε κάλλιστον μὴ εἰδέναι τε αἴσχιστον· τὸ γὰρ κεφάλαιον αὐτῶν ἐστιν ἢ γιγνώσκειν ἢ ἀγνοεῖν, ὅστις τε εὐδαίμων ἐστὶ καὶ ὅστις D μή· αὐτίκα πρῶτον, περὶ οὗ νῦν ὁ λόγος ἐστί, σὺ ἡγεῖ

1 *ἐν Πυθίου*. Ἐξυπάκουε: τεμένει. Ἔπιθι πρκβλ.

*τοῦτο τὸ καλὸν ἀνάθημα*. Ὡς τοῖς πᾶσι γνωστόν δὲν τὸ περιγράφει ἀκριβέστερον.

4 *οὐ γάρ με σὺ ἀναγκάζεις*. Νοεῖ τὴν λογικὴν ἀνάγκην, οὐχὶ τὴν ὑλικὴν ἢ ἠθικὴν βίαν. Θεαίτ. 162 e «ἀπόδειξιν δὲ καὶ ἀνάγκην οὐδ' ἡντινοῦν λέγετε». Ἀριστοτ. Μεταφ. Δ', 5· «Ἔτι ἡ ἀπόδειξις τῶν ἀναγκαίων, ὅτι οὐκ ἐνδέχεται ἄλλως ἔχειν, εἰ ἀποδέδεικται ἁπλῶς». Τοιαύτην ἀνάγκην ἀναγκάζει κατωτέρω (475 c ἑξ.) ὁ Σωκ. τὸν Πῶλον, νὰ ὁμολογήσῃ πάντα, ὅσα νῦν γελῶν καὶ εἰρωνευόμενος ἀκούει τοῦ Σωκρ.

6 *ἐκβάλλειν με ἐκ τῆς οὐσίας καὶ τοῦ ἀληθοῦς*. Τὸ μὲν *ἐκ τῆς οὐσίας* λέγων, αἰνίττεται εἰς τὰς δίκας, ἐν αἷς διὰ ψευδομαρτύρων ἐξέβαλλεν ἕτερος ἕτερον ἐκ τῆς οὐσίας του, ἐκ τῆς ἰδιοκτησίας του· ἡ δὲ προ϶θήκη: *καὶ τοῦ ἀληθοῦς* δηλοῖ ὅτι ἡ οὐσία τοῦ Σωκ. εἶνε ἡ κτῆσις τῆς ἀληθείας.

9 *οἶμαι δὲ οὐδὲ σοί*. Συμπλήρου: οὐδὲν ἄξιον λόγου πεπεράνθαι.

11 *ἔστι μὲν οὖν οὗτός τις τρόπος ἐλέγχου*. Δηλ. ὁ ῥητορικὸς καὶ ὁ ἐμμάρτυρος.

12 *ἔστι δὲ καὶ ἄλλος*. Δηλ. ὁ δι' ἀποδείξεως καὶ λογικῆς ἀνάγκης.

17 *τὸ κεφάλαιον αὐτῶν* = τὸ οὐσιῶδες αὐτῶν, τὸ ἐπὶ πᾶσι τοῖς καθ' ἕκαστον οἷον κεφαλὴ ἐπικείμενον.

9 *αὐτίκα πρῶτον*. Διὰ τοῦ *αὐτίκα* ἐπιλαμβάνεται τοῦ προχειροτάτου παραδείγματος πρὸς ἀπόδειξιν τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οἷόν τε εἶναι μακάριον ἄνδρα ἀδικοῦντά τε καὶ ἄδικον ὄντα, εἴπερ Ἀρχέλαον ἄδικον μὲν ἡγεῖ εἶναι, εὐδαίμονα δέ· ἄλλο τι ὡς οὕτω σου νομίζοντος διανοώμεθα;

ΠΩΛ. Πάνυ γε.

ΚΗ'. ΣΩ. Ἐγὼ δέ φημι ἀδύνατον· ἓν μὲν τουτὶ ἀμφισβητοῦμεν· εἶεν· ἀδικῶν δὲ δὴ εὐδαίμων ἔσται ἆρ' ἂν τυγχάνῃ δίκης τε καὶ τιμωρίας;

ΠΩΛ. Ἥκιστά γε, ἐπεὶ οὕτω γ' ἂν ἀθλιώτατος εἴη.

ΣΩ. Ἀλλ' ἐὰν ἄρα μὴ τυγχάνῃ δίκης ὁ ἀδικῶν, κατὰ E
τὸν σὸν λόγον εὐδαίμων ἔσται;

ΠΩΛ. Φημί.

ΣΩ. Κατὰ δέ γε τὴν ἐμὴν δόξαν, ὦ Πῶλε, ὁ ἀδικῶν τε καὶ ὁ ἄδικος πάντως μὲν ἄθλιος, ἀθλιώτερος μέντοι, ἐὰν μὴ διδῷ δίκην μηδὲ τυγχάνῃ τιμωρίας ἀδικῶν, ἧττον δὲ ἄθλιος, ἐὰν διδῷ δίκην καὶ τυγχάνῃ δίκης ὑπὸ θεῶν τε καὶ ἀνθρώπων.

ΠΩΛ. Ἄτοπά γε, ὦ Σώκρατες, ἐπιχειρεῖς λέγειν. 473

ΣΩ. Πειράσομαι δέ γε καὶ σὲ ποιῆσαι, ὦ ἑταῖρε, ταὐτὰ ἐμοὶ λέγειν· φίλον γάρ σε ἡγοῦμαι. νῦν μὲν οὖν ἃ διαφερόμεθα ταῦτ' ἐστι· σκόπει δὲ καὶ σύ· εἶπον ἐγώ που ἐν τοῖς ἔμπροσθεν τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι κάκιον εἶναι.

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Σὺ δὲ τὸ ἀδικεῖσθαι.

ΠΩΛ. Ναί.

ΣΩ. Καὶ τοὺς ἀδικοῦντας ἀθλίους ἔφην εἶναι ἐγώ, καὶ ἐξηλέγχθην ὑπὸ σοῦ.

ἰσχυρισμοῦ του. Ἡμεῖς λέγομεν: «Νά! μὴ πᾶς μακρυά!» ἢ «ἔξαφνα».

6 *εἶεν*. Διὰ τοῦ *εἶεν* καταλείπει τὸ διατυπωθὲν ζήτημα ἐκκρεμές, ἵνα μεταβῇ εἰς διατύπωσιν ἄλλου, καὶ ἔπειτα ἀναλάβῃ τὸν περὶ ἑκάστου λόγον.

19 *Φίλον γάρ σε ἡγοῦμαι*. Προσνόει τοιάδε· ὥςτε βούλομαί σε εὐεργετεῖν.

*ἃ διαφερόμεθα*· ἀντὶ περὶ ὧν διαφερόμεθα. Εἶνε βραχυλογικὴ σύμπτυξις δύο προτάσεων = ἃ λέγοντες, ἢ δοξάζοντες, διαφερόμεθα. Ὅρα πρχβλ. εἰς 501 e.

20 *εἶπον ἐγώ που ἐν τοῖς ἔμπροσθεν*. Σελ. 469 ἑξ.

25 *καὶ ἐξηλέγχθην ὑπὸ σοῦ*. Ἐν-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΩΛ. Ναὶ μὰ Δία.

B ΣΩ. Ὡς σύ γε οἴει, ὦ Πῶλε.

ΠΩΛ. Ἀληθῆ γε οἰόμενος ἴσως.

ΣΩ. Σὺ δέ γε εὐδαίμονας αὖ τοὺς ἀδικοῦντας, ἐὰν μὴ διδῶσι δίκην.

ΠΩΛ. Πάνυ μὲν οὖν.

ΣΩ. Ἐγὼ δὲ αὐτοὺς ἀθλιωτάτους φημί, τοὺς δὲ διδόντας δίκην ἧττον. βούλει καὶ τοῦτο ἐλέγχειν;

ΠΩΛ. Ἀλλ' ἔτι τοῦτ' ἐκείνου χαλεπώτερόν ἐστιν, ὦ Σώκρατες, ἐξελέγξαι.

ΣΩ. Οὐ δῆτα, ὦ Πῶλε, ἀλλ' ἀδύνατον· τὸ γὰρ ἀληθὲς οὐδέποτε ἐλέγχεται.

ΠΩΛ. Πῶς λέγεις; ἐὰν ἀδικῶν ἄνθρωπος ληφθῇ τυραννίδι
C ἐπιβουλεύων, καὶ ληφθεὶς στρεβλῶται καὶ ἐκτέμνηται καὶ τοὺς ὀφθαλμοὺς ἐκκάηται, καὶ ἄλλας πολλὰς καὶ μεγάλας καὶ παντοδαπὰς λώβας αὐτός τε λωβηθεὶς καὶ τοὺς αὑτοῦ ἐπιδὼν παῖδάς τε καὶ γυναῖκα, τὸ ἔσχατον ἀνασταυ-

νοεῖ τὸν ῥητορ. ἔλεγχον τοῦ Πώλου, σελ. 471 a, ὃν ὁ Σωκ. ἀπέφηνε οὐδενὸς ἄξιον.

1 *Ναὶ μὰ Δία*. Ὁ Πῶλος γλιχόμενος νὰ ἐλέγξῃ τὸν Σωκρ. ἁρπάζει τὴν ὁμολογίαν αὐτοῦ τούτου, ὅτι ἐξηλέγχθη, καὶ ἐπιβεβαιοῖ διὰ τοῦ *Ναὶ μὰ Δία*.

9 *Ἀλλ' ἔτι τοῦτ' ἐκείνου*. Τοῦτο (τὸ τοὺς ἀδικοῦντας καὶ μὴ τυγχάνοντας δίκης εἶναι ἀθλιωτέρους τῶν τυγχανόντων) ἐστὶ χαλεπώτερον ἐξελέγξαι ἐκείνου (τοῦ τὸν ἀδικοῦντα εἶναι ἄθλιον). Δῆλον ὅτι τὸ *χαλεπώτερον* λέγεται εἰρωνικῶς, ἀντὶ τοῦ: πάντων εὐελεγκτότατον.

11 *Οὐ δῆτα — ἀλλ' ἀδύνατον*. Ὁ Σωκ. προσποιούμενος ὅτι δὲν καταλαμβάνει τὴν εἰρωνείαν, ἀποκρίνεται: «δὲν εἶνε χαλεπόν, ὡς σὺ λέγεις, ἀλλ' ἀδύνατον». Ὅρα κατωτέρω d.

13 *Πῶς λέγεις;* Ἐκπλήττεται ὁ Πῶλος ἀκούων τοῦ Σωκ. ἀποφαίνοντος ἀνεπίδεκτον ἐλέγχου, ὅτι αὐτὸς κατὰ τὴν κοινὴν δόξαν ὑπολαμβάνει ὅλως ἀβάσιμον· καὶ διηγεῖται ἐπὶ τὸ φρικωδέστερον τὰ δεινὰ ὅσα ἐνδέχεται νὰ πάθῃ ὁ ἀδικῶν λαμβανόμενος καὶ τιμωρούμενος.

*ἀδικῶν . . . τυραννίδι ἐπιβουλεύων*. Ἡ β' μετοχ. ὡς ἀκριβέστερος ὁρισμὸς τῆς α' *ἀδικῶν*, ὅθεν τὸ ἀσύνδετον.

16 *καὶ τοὺς αὑτοῦ ἐπιδών*. Σύμπλ. λωβηθέντας τὰς αὐτὰς λώβας. Ὁ ἀόρ. ἐπεῖδον καὶ αἱ λοιπαὶ ἐγκλίσεις αὐτοῦ σημαίνουσιν: ἐπέζησα ἐπὶ τοσοῦτον ὥστε νὰ ἴδω τι μέγα γεγονὸς (συνήθως κακὸν) ἐπισυμβάν. Ἰσοκρ. περὶ Εἰρήνης· «Ἀντὶ τοῦ φρουρεῖν τὰς τῶν ἄλλων ἀκροπόλεις, τῆς ἑαυτῶν ἐπεῖδον τοὺς πολεμίους κυρίους γενομένους». Πλουτρχ. Β. Τιμολ. ΙΕ'· «Πλάτων μὲν οὖν οὐκ ἐπεῖδεν ἐν Κορίνθῳ Διο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρωθῇ ἢ καταπιττωθῇ, οὗτος εὐδαιμονέστερος ἔσται, ἢ ἐὰν διαφυγὼν τύραννος καταστῇ καὶ ἄρχων ἐν τῇ πόλει διαβιῷ ποιῶν ὅ τι ἂν βούληται, ζηλωτὸς ὢν καὶ εὐδαιμονιζόμενος ὑπὸ τῶν πολιτῶν καὶ τῶν ἄλλων ξένων; ταῦτα λέγεις ἀδύ- D
νατον εἶναι ἐξελέγχειν;

ΚΘ΄. ΣΩ. Μορμολύττει αὖ, ὦ γενναῖε Πῶλε, καὶ οὐκ ἐλέγχεις· ἄρτι δὲ ἐμαρτύρου. ὅμως δὲ ὑπόμνησόν με σμικρόν· ἐὰν ἀδίκως ἐπιβουλεύων τυραννίδι, εἶπες;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Εὐδαιμονέστερος μὲν τοίνυν οὐδέποτε ἔσται οὐδέτερος αὐτῶν, οὔτε ὁ κατειργασμένος τὴν τυραννίδα ἀδίκως οὔτε ὁ ἁλούς· δυοῖν γὰρ ἀθλίοιν εὐδαιμονέστερος μὲν οὐκ ἂν εἴη, ἀθλιώτερος μέντοι ὁ διαφεύγων καὶ τυραννεύσας —τί τοῦτο, ὦ Πῶλε; γελᾷς; ἄλλο αὖ τοῦτο εἶδος ἐλέγ-

νύσιον, ἀλλ' ἔτυχεν ἤδη τεθνηκώς ὤν.

1 *καταπιττωθῇ*. Καταπίσσωσις ἦν ἡ διὰ πίσσης ἐπάλειψις τοῦ σώματος καὶ ἀνάφλεξις. Δὲν ἦτο νόμιμος τιμωρία, ἀλλὰ τυράννων ἀπανθρώπων. Ὁ Νέρων λέγεται ὅτι μετὰ τὸν ὑπ' αὐτοῦ τούτου διαταχθέντα ἐμπρησμὸν τῆς Ρώμης, ἐπενεγκὼν τὴν αἰτίαν εἰς τοὺς Χριστιανοὺς κατεπίσσου αὐτοὺς καὶ ἀνέφλεγεν ὡς πυρσοὺς παρὰ τὰς ὁδούς.

6 *Μορμολύττει*. Προβ. Κρτ. σ. 46 c.

7 *Ἄρτι δὲ ἐμαρτύρου*. Ὁ μὲν Πῶλος δὲν ἐπεκαλέσθη μάρτυρας τῶν λόγων του, ἀλλ' αἱ περὶ Ἀρχελάου κρίσεις του ἐστηρίζοντο ἐπὶ τῆς κοινῆς πάντων ὑπολήψεως. Ὁ δὲ Σωκ. κατωτέρω λέγει ὅτι ὁ Πῶλος ἠδύνατο νὰ παράσχῃ μάρτυρας τῶν λόγων του τοὺς εὐδοκιμωτάτους ἄνδρας τῶν Ἀθηνῶν.

8 *ἐὰν ἀδίκως ἐπιβουλεύων τυραννίδι, εἶπες*. Συμπλήρου ὧδε· «Εἶπες ἃ εἶπες περὶ τοῦ ἀδικοῦντος, ἐὰν ληφθῇ ἀδίκως ἐπιβουλεύων τυραννίδι;»

10 *Εὐδαιμονέστερος* κ.τ.λ. Φιλοσοφικὴ ἀκριβολογία τοῦ Πλάτωνος, ὅτι ἐκ δύο ἀθλίων δὲν δύναται νὰ εἶνε ὁ ἕτερος τοῦ ἑτέρου εὐδαιμονέστερος, ἀλλ' ἧττον ἄθλιος. Ἐν τούτοις ἡ γλῶσσα μὴ ἔχουσα συγκριτικὰ τοῦ ἥττονος βαθμοῦ, συγχωρεῖ νὰ δηλῶται οὗτος διὰ τοῦ συγκριτικοῦ τῆς ἐναντίας λέξεως· οἷον ἐκ δύο πενήτων δύναται ὁ ἧττον πένης νὰ ὀνομασθῇ πλουσιώτερος, καὶ ἐκ δύο πονηρῶν ὁ ἧττον πονηρὸς χρηστότερος κ. τ. τ. Αὐτὸς ὁ Πλ. παραγόμενος ὑπὸ τῆς κοινῆς χρήσεως δὲν τηρεῖ πάντοτε τὸν κανόνα του. Ἐν σελ. 525 e ὀνομάζει τὸν Θερσίτην εὐδαιμονέστερον ἀντὶ ἧττον ἄθλιον ἄλλων ἀθλιωτέρων· καὶ ἐν σελ. 505 b λέγει ὅτι «*τὸ κολάζεσθαι τῇ ψυχῇ ἄμεινόν ἐστιν ἢ ἡ ἀκολασία*», ὡς νὰ ἦσαν ἀμφότερα μὲν ἀγαθά, ἐκεῖνο δὲ τούτου ἄμεινον.

14 *Τί τοῦτο, ὦ Πῶλε; γελᾷς;* Ἐπὶ τοῖς λόγοις τοῦ Σωκ. ἰδίως τοῖς τελευταίοις, ὁ *διαφυγὼν καὶ τυραννεύσας*, ὑποτίθεται ὁ Πῶλος ἐκρηγνύμενος εἰς γέλωτα· ὅθεν ὁ Σωκ. διακόπτων τὸν λόγον του ἐκφράζει τὴν κατάπληξίν του ἐπὶ τούτῳ. Προφανῶς ὁ Πλάτων ἠθέλησε διὰ τούτων νὰ σατυρίσῃ τὰ τεχνάσματα τοῦ Γοργίου, ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χου ἐστίν, ἐπειδάν τίς τι εἴπῃ, καταγελᾶν, ἐλέγχειν δὲ μή;

ΠΩΛ. Οὐκ οἴει ἐξεληλέγχθαι, ὦ Σώκρατες, ὅταν τοιαῦτα λέγῃς, ἃ οὐδεὶς ἂν φήσειεν ἀνθρώπων; ἐπεὶ ἐροῦ τινὰ τουτωνί.

ΣΩ. Ὦ Πῶλε, οὐκ εἰμὶ τῶν πολιτικῶν, καὶ πέρυσι βουλεύειν λαχών, ἐπειδὴ ἡ φυλὴ ἐπρυτάνευε καὶ ἔδει με ἐπι-
474 ψηφίζειν, γέλωτα παρεῖχον καὶ οὐκ ἠπιστάμην [ἐπιψηφίζειν]. μὴ οὖν μηδὲ νῦν με κέλευε ἐπιψηφίζειν τοὺς παρόντας, ἀλλ' εἰ μὴ ἔχεις τούτων βελτίω ἔλεγχον, ὅπερ νῦν δὴ ἐγὼ ἔλεγον, ἐμοὶ ἐν τῷ μέρει παράδος, καὶ πείρασαι τοῦ ἐλέγχου, οἷον ἐγὼ οἶμαι δεῖν εἶναι. ἐγὼ γὰρ ὧν ἂν λέγω ἕνα μὲν παρασχέσθαι μάρτυρα ἐπίσταμαι, αὐτὸν πρὸς ὃν ἄν μοι ὁ λόγος ᾖ, τοὺς δὲ πολλοὺς ἐῶ χαίρειν, καὶ ἕνα ἐπι-
B ψηφίζειν ἐπίσταμαι, τοῖς δὲ πολλοῖς οὐδὲ διαλέγομαι. ὅρα

οἷς κατήρτιζε τοὺς μαθητάς του, ἵνα εὐδοκιμῶσιν. Τούτων ἓν ἦτο καὶ τὸ ὑπ' Ἀριστ. Ρητορ. Γ', 18 ἀναφερόμενον· «Δεῖν ἔφη ὁ Γοργίας τὴν μὲν σπουδὴν διαφθείρειν τῶν ἐναντίων γέλωτι, τὸν δὲ γέλωτα σπουδῇ». Τὸ 6' τοῦτο ἐφήρμοσεν ἤδη ὁ Σωκ. κατὰ τοῦ Πώλου (σ. 473 b· Οὐ δῆτα (χαλεπὸν) ἀλλ' ἀδύνατον), διαφθείρας σπουδῇ τὴν εἰρωνείαν τοῦ Πώλου.

1 *Ἄλλο αὖ τοῦτο εἶδος ἐλέγχου — ἐλέγχειν δὲ μή*. Ὀξυμώρως μὲν ἀλλ' ὀρθῶς ἔχον. Τὸ μὴ ἐλέγχειν = μὴ χρῆσθαι τῇ νομίμῳ ἐλεγκτικῇ μεθόδῳ.

3 *ἐπεὶ ἐροῦ τινὰ τουτωνί*· τῶν παρόντων δηλ. καὶ ἀκροωμένων.

5 *καὶ πέρυσι βουλεύειν λαχών*. Τὸ μὲν *βουλεύειν* = βουλευτὴς εἶναι· τὸ δὲ *λαχών*, διότι διὰ κληρώσεως ἐξελέγοντο οἱ βουλευταί. Ὁ Πλάτων ἐκθέτει ἐνταῦθα τὸ κάλλιστον ἔργον τοῦ Σωκράτους, τὸ παντὸς μάλιστα χαρακτηρίζον τὸ ψυχικὸν σθένος τοῦ ἀνδρός, τὴν κατὰ τὴν δίκην τῶν ἐν Ἀργινούσαις στρατηγησάντων διαγωγήν του. Ἀλλ' ἐπειδὴ ὑποτίθεται αὐτὸς ὁ Σωκ. διηγούμενος, ἡ δὲ περιαυτολογία εἶνε ἐπαχθὴς τοῖς ἀκούουσι, διὰ τοῦτο ὁ Σωκ. προσποιεῖται ὅτι καταμέμφεται ἑαυτοῦ ἀνικανότητα καὶ ἀδεξιότητα, δι' ἃ καὶ καταγέλαστος ἐγένετο.

6 *ἐπειδὴ ἡ φυλὴ ἐπρυτάνευε*. Ὅρα Ἀπολ. σελ. 32 b.

*ἐπιψηφίζειν*. Τὰ μὲν μέσα: *ψηφίζομαι, καταψηφίζομαι, ἀποψηφίζομαι*, ἐπὶ τῶν δικαστῶν τῶν διδόντων ψῆφον· τὸ δὲ ἐνεργητικὸν *ἐπιψηφίζω*, ἐπὶ τοῦ προέδρου τοῦ θέτοντος τὸ ζήτημα εἰς ψηφοφορίαν: Θουκ. Α', 87· «Ταῦτα λέξας ἐπεψήφιζεν αὐτὸς (ὁ Σθενελαΐδας) ἔφορος ὢν εἰς τὴν ἐκκλησίαν τῶν Λακεδαιμονίων». Τὸ ἐνεργ. *ψηφίζω* ἀντὶ τοῦ μέσου *ψηφίζομαι* μετεχειρίσθη ὁ Σοφ. Αἴ. 449. Ὁ Σωκράτης προήδρευε κατὰ τὴν δίκην ἐκείνην.

7 *γέλωτα παρεῖχον*. Πράγματι οὐχὶ γέλωτα, ἀλλ' ἀγανάκτησιν τοῦ ὄχλου ἀπειλοῦντος αὐτόν. Ξενοφ. Ἑλλ. Α', ζ', 15.

8 *ἐπιψηφίζειν τοὺς παρόντας* = διερωτᾶν τοὺς παρόντας· ζητεῖν τὴν ψῆφόν των ἢ τὴν γνώμην των.

14 *τοῖς δὲ πολλοῖς οὐδὲ διαλέγομαι*,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὖν, εἰ ἐθελήσεις ἐν τῷ μέρει διδόναι ἔλεγχον ἀποκρινόμενος τὰ ἐρωτώμενα. ἐγὼ γὰρ δὴ οἶμαι καὶ ἐμὲ καὶ σὲ καὶ τοὺς ἄλλους ἀνθρώπους τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι κάκιον ἡγεῖσθαι καὶ τὸ μὴ διδόναι δίκην τοῦ διδόναι.

ΠΩΛ. Ἐγὼ δέ γε οὔτ' ἐμὲ οὔτ' ἄλλον ἀνθρώπων οὐδένα. ἐπεὶ σὺ δέξαι' ἂν μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖν.

ΣΩ. Καὶ σύ γ' ἂν καὶ οἱ ἄλλοι πάντες.

ΠΩΛ. Πολλοῦ γε δεῖ, ἀλλ' οὔτ' ἐγὼ οὔτε σὺ οὔτ' ἄλλος οὐδείς.

ΣΩ. Οὐκοῦν ἀποκρινεῖ; C

ΠΩΛ. Πάνυ μὲν οὖν· καὶ γὰρ ἐπιθυμῶ εἰδέναι ὅ τί ποτ' ἐρεῖς.

ΣΩ. Λέγε δή μοι, ἵν' εἰδῇς, ὥςπερ ἂν εἰ ἐξ ἀρχῆς σε ἠρώτων· πότερον δοκεῖ σοι, ὦ Πῶλε, κάκιον εἶναι τὸ ἀδικεῖν ἢ τὸ ἀδικεῖσθαι;

ΠΩΛ. Τὸ ἀδικεῖσθαι ἔμοιγε.

ΣΩ. Τί δὲ δὴ αἴσχιον; πότερον τὸ ἀδικεῖν ἢ τὸ ἀδικεῖσθαι; ἀποκρίνου.

ΠΩΛ. Τὸ ἀδικεῖν.

Λ'. ΣΩ. Οὐκοῦν καὶ κάκιον, εἴπερ αἴσχιον.

ΠΩΛ. Ἥκιστά γε.

Πρβλ. τὰ Εὐριπίδεια (Ἱππολ. 969)· «Ἐγὼ δ' ἄκομψος εἰς ὄχλον δοῦναι λόγον· εἰς σώφρονας δὲ κὠλίγους σοφώτερος».

17 *Σωκ. Τί δὲ δὴ αἴσχιον; — Π. Τὸ ἀδικεῖν.* Εἶνε ἡ κρισιμωτάτη τοῦ ὅλου μεταξὺ Σωκ. καὶ Πώλου διαλόγου ἀπόφανσις, ἡ ἐπενεγκοῦσα τὴν ἧτταν τοῦ Πώλου. Ὁ Πῶλος, παρὰ πᾶσαν τὴν ἐπιδειχθεῖσαν νεανικὴν θρασύτητα καὶ ἀσέβειαν, δὲν ἦτο ὅμως εἰς τοιοῦτον βαθμὸν διεφθαρμένος, ὥςτε νὰ ἀποφαίνηται παρρησίᾳ καὶ διαρρήδην ὡς ὕστερον ὁ Καλλικλῆς, ὅτι τὸ ἀδικεῖν εἶνέ τι καλὸν καὶ ἐπαινετόν. Ὁ Πῶλος, ἡμιμόχθηρος ὤν, ὑπελάμβανε τὸ ἀδικεῖν τῶν ὠφελίμων ἐκείνων ἐπιτηδεύσεων, ἃς πάντες οἱ τοιοῦτοι ἐπιτηδεύουσιν ἐν κρυπτῷ καὶ παραβύστῳ· οἷον τὸ ψεύδεσθαι, τὸ συκοφαντεῖν, τὸ κλέπτειν, τὸ μοιχεύειν κ.τ.τ. Εἶνε δὲ ἡ τελείωσις τῆς μοχθηρίας οὐ μόνον τὸ πράττειν ταῦτα ἀλλὰ καὶ σεμνύνεσθαι καὶ ἐγκαυχᾶσθαι ἐπὶ τοιαύταις πράξεσιν. Καὶ ὁ Πλάτων περιαλγὴς ἔβλεπε καὶ ἔλεγεν, ὅτι «ἐν Ἀθήναις ἐπιδέδωκε τὸ ὁμολογεῖν πονηροὺς εἶναι». Πρβλ. καὶ παρ' Ἀριστφ. ἐν Νεφέλαις τὰ τοῦ Ἀδίκου λόγου.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΩ. Μανθάνω· οὐ ταὐτὸν ἡγεῖ σύ, ὡς ἔοικας, καλόν
D τε καὶ ἀγαθὸν καὶ κακὸν καὶ αἰσχρόν.

ΠΩΛ. Οὐ δῆτα.

ΣΩ. Τί δὲ τόδε; τὰ καλὰ πάντα, οἷον καὶ σώματα καὶ χρώματα καὶ σχήματα καὶ φωνὰς καὶ ἐπιτηδεύματα, εἰς οὐδὲν ἀποβλέπων καλεῖς ἑκάστοτε καλά; οἷον πρῶτον τὰ σώματα τὰ καλὰ οὐχὶ ἤτοι κατὰ τὴν χρείαν λέγεις καλὰ εἶναι, πρὸς ὃ ἂν ἕκαστον χρήσιμον ᾖ, πρὸς τοῦτο, ἢ κατὰ ἡδονήν τινα, ἐὰν ἐν τῷ θεωρεῖσθαι χαίρειν ποιῇ τοὺς θεωροῦντας; ἔχεις τι ἐκτὸς τούτων λέγειν περὶ σώματος
E κάλλους;

ΠΩΛ. Οὐκ ἔχω.

ΣΩ. Οὐκοῦν καὶ τἆλλα πάντα οὕτω καὶ σχήματα καὶ χρώματα ἢ διὰ ἡδονήν τινα ἢ διὰ ὠφέλειαν ἢ δι' ἀμφότερα καλὰ προσαγορεύεις;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Οὐ καὶ τὰς φωνὰς καὶ τὰ κατὰ τὴν μουσικὴν πάντα ὡσαύτως;

ΠΩΛ. Ναί.

ΣΩ. Καὶ μὴν τά γε κατὰ τοὺς νόμους καὶ τὰ ἐπιτηδεύματα, οὐ δή που ἐκτὸς τούτων ἐστὶ τὰ καλά, ἢ ὠφέλιμα εἶναι ἢ ἡδέα ἢ ἀμφότερα.

ΠΩΛ. Οὐκ ἔμοιγε δοκεῖ.

475 ΣΩ. Οὐκοῦν καὶ τὸ τῶν μαθημάτων κάλλος ὡσαύτως;

ΠΩΛ. Πάνυ γε· καὶ καλῶς γε νῦν ὁρίζει, ὦ Σώκρατες, ἡδονῇ τε καὶ ἀγαθῷ ὁριζόμενος τὸ καλόν.

4 *Τί δὲ τόδε;* Τοῦ Πώλου παραδεχθέντος ὡς διάφορα τὸ καλὸν τοῦ ἀγαθοῦ καὶ τὸ αἰσχρὸν τοῦ κακοῦ, ὁ Σωκ. ἐπιχειρεῖ ἤδη νὰ ἀποδείξῃ αὐτὰ ταὐτὰ ὄντα.

*τὰ καλὰ πάντα.* Παραθέτει δείγματα ἑκάστου εἴδους τοῦ καλοῦ. Α', καλὰ σώματα. Β', καλὰ χρώματα καὶ σχήματα. Γ', καλὰς φωνὰς καὶ τόνους μουσικούς. Δ', καλὰ ἐπιτηδεύματα καὶ νόμους.

20 *τά γε κατὰ τοὺς νόμους.* Αἰτ. τοῦ κατά τι = ὅσον ἀφορᾷ τὰ κατὰ τοὺς νόμους κ. τ. λ.

21 *ἢ ὠφέλιμα εἶναι* κ.τ.λ. ἐπεξήγησις τοῦ *τούτων.*

26 *ἡδονῇ τε καὶ ἀγαθῷ.* 'Αγαθόν, ὅ τι προεῖπεν ὠφέλιμον, χρήσιμον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΩ. Οὐκοῦν τὸ αἰσχρὸν τῷ ἐναντίῳ, λύπῃ τε καὶ κακῷ;

ΠΩΛ. Ἀνάγκη.

ΣΩ. Ὅταν ἄρα δυοῖν καλοῖν θάτερον κάλλιον ᾖ, ἢ τῷ ἑτέρῳ τούτοιν ἢ ἀμφοτέροις ὑπερβάλλον κάλλιόν ἐστιν, [ἤτοι ἡδονῇ ἢ ὠφελείᾳ ἢ ἀμφοτέροις].

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Καὶ ὅταν δὲ δὴ δυοῖν αἰσχροῖν τὸ ἕτερον αἴσχιον ᾖ, ἤτοι λύπῃ ἢ κακῷ ὑπερβάλλον αἴσχιον ἔσται· ἢ οὐκ ἀνάγκη; B

ΠΩΛ. Ναί.

ΣΩ. Φέρε δή, πῶς ἐλέγετο νῦν δὴ περὶ τοῦ ἀδικεῖν καὶ ἀδικεῖσθαι; οὐκ ἔλεγες τὸ μὲν ἀδικεῖσθαι κάκιον εἶναι, τὸ δὲ ἀδικεῖν αἴσχιον;

ΠΩΛ. Ἔλεγον.

ΣΩ. Οὐκοῦν εἴπερ αἴσχιον τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι, ἤτοι λυπηρότερόν ἐστι καὶ λύπῃ ὑπερβάλλον αἴσχιον[1] ἂν εἴη ἢ κακῷ ἢ ἀμφοτέροις· οὐ καὶ τοῦτο ἀνάγκη;

ΠΩΛ. Πῶς γὰρ οὔ;

ΛΑ΄. ΣΩ. Πρῶτον μὲν δὴ σκεψώμεθα, ἆρα λύπῃ ὑπερβάλλει τὸ ἀδικεῖν [τοῦ ἀδικεῖσθαι], καὶ ἀλγοῦσι μᾶλλον οἱ ἀδικοῦντες ἢ οἱ ἀδικούμενοι; C

ΠΩΛ. Οὐδαμῶς, ὦ Σώκρατες, τοῦτό γε.

ΣΩ. Οὐκ ἄρα λύπῃ γε ὑπερέχει.

ΠΩΛ. Οὐ δῆτα.

ΣΩ. Οὐκοῦν εἰ μὴ λύπῃ, ἀμφοτέροις μὲν οὐκ ἂν ἔτι ὑπερβάλλοι.

ΠΩΛ. Οὐ φαίνεται.

ΣΩ. Οὐκοῦν τῷ ἑτέρῳ λείπεται.

ΠΩΛ. Ναί.

ΣΩ. Τῷ κακῷ.

ΠΩΛ. Ἔοικεν.

1 *τὸ αἰσχρὸν τῷ ἐναντίῳ.* Ἐξυπάκουε: *ὁριστέον.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΩ. Οὐκοῦν κακῷ ὑπερβάλλον τὸ ἀδικεῖν κάκιον ἂν εἴη τοῦ ἀδικεῖσθαι.

ΠΩΛ. Δῆλον δὴ ὅτι.

D ΣΩ. Ἄλλο τι οὖν ὑπὸ μὲν τῶν πολλῶν ἀνθρώπων καὶ ὑπὸ σοῦ ὡμολογεῖτο ἡμῖν ἐν τῷ ἔμπροσθεν χρόνῳ αἴσχιον εἶναι τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι;

ΠΩΛ. Ναί.

ΣΩ. Νῦν δέ γε κάκιον ἐφάνη.

ΠΩΛ. Ἔοικεν.

ΣΩ. Δέξαιο ἂν οὖν σὺ μᾶλλον τὸ κάκιον καὶ τὸ αἴσχιον ἀντὶ τοῦ ἧττον; — μὴ ὄκνει ἀποκρίνασθαι, ὦ Πῶλε· οὐδὲν γὰρ βλαβήσει· ἀλλὰ γενναίως τῷ λόγῳ ὥσπερ ἰατρῷ παρέχων ἀποκρίνου, καὶ ἢ φάθι ἢ μὴ ἃ ἐρωτῶ.

E ΠΩΛ. Ἀλλ' οὐκ ἂν δεξαίμην, ὦ Σώκρατες.

ΣΩ. Ἄλλος δέ τις ἀνθρώπων;

ΠΩΛ. Οὔ μοι δοκεῖ κατά γε τοῦτον τὸν λόγον.

ΣΩ. Ἀληθῆ ἄρα ἐγὼ ἔλεγον, ὅτι οὔτ' ἂν ἐγὼ οὔτ' ἂν σὺ οὔτ' ἄλλος οὐδεὶς ἀνθρώπων δέξαιτ' ἂν μᾶλλον ἀδικεῖν ἢ ἀδικεῖσθαι· κάκιον γὰρ τυγχάνει ὄν.

ΠΩΛ. Φαίνεται.

ΣΩ. Ὁρᾷς οὖν, ὦ Πῶλε, ὁ ἔλεγχος παρὰ τὸν ἔλεγχον παραβαλλόμενος ὅτι οὐδὲν ἔοικεν, ἀλλὰ σοὶ μὲν οἱ ἄλλοι πάντες ὁμολογοῦσι πλὴν ἐμοῦ, ἐμοὶ δὲ σὺ ἐξαρκεῖς εἷς ὢν
476 μόνος καὶ ὁμολογῶν καὶ μαρτυρῶν, καὶ ἐγὼ σὲ μόνον ἐπιψηφίζων τοὺς ἄλλους ἐῶ χαίρειν. καὶ τοῦτο μὲν ἡμῖν οὕτως ἐχέτω· μετὰ τοῦτο δὲ περὶ οὗ τὸ δεύτερον ἠμφισβητήσαμεν σκεψώμεθα, τὸ ἀδικοῦντα διδόναι δίκην ἆρα μέγιστον τῶν κακῶν ἐστιν, ὡς σὺ ᾤου, ἢ μεῖζον τὸ μὴ διδό-

8 *Νῦν δέ γε κάκιον ἐφάνη.* Ἐνταῦθα λαμβάνει πέρας ἡ ἀπόδειξις ὅτι τὸ κατὰ τὸν Πῶλον αἴσχιον (τὸ ἀδικεῖν), ἐστὶ δι' αὐτὸ τοῦτο καὶ κάκιον. Ἐκ τῆς ὁμολογίας ταύτης ἀναγκάζεται ὁ Πῶλος νὰ προσομολογήσῃ ἤδη, ἓν πρὸς ἕν, καὶ πάντα ἐκεῖνα ἅτινα ἔμπροσθεν ἰσχυρίζετο μὲν ὁ Σωκ. κατεγέλα δὲ ὁ Πῶλος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ναι, ὡς αὖ ἐγὼ ᾤμην; σκοπώμεθα δὲ τῇδε· τὸ διδόναι δίκην καὶ τὸ κολάζεσθαι δικαίως ἀδικοῦντα ἆρα τὸ αὐτὸ καλεῖς;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Ἔχεις οὖν λέγειν, ὡς οὐχὶ τά γε δίκαια πάντα B
καλά ἐστι, καθ᾽ ὅσον δίκαια; καὶ διασκεψάμενος εἰπέ.

ΠΩΛ. Ἀλλά μοι δοκεῖ, ὦ Σώκρατες.

ΛΒʹ. ΣΩ. Σκόπει δὴ καὶ τόδε· ἆρα εἴ τίς τι ποιεῖ, ἀνάγκη τι εἶναι καὶ πάσχον ὑπὸ τούτου τοῦ ποιοῦντος;

ΠΩΛ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Ἆρα τοῦτο πάσχον, ὃ τὸ ποιοῦν ποιεῖ, καὶ τοιοῦτον, οἷον ποιεῖ τὸ ποιοῦν; λέγω δὲ τὸ τοιόνδε· εἴ τις τύπτει, ἀνάγκη τι τύπτεσθαι; C

ΠΩΛ. Ἀνάγκη.

ΣΩ. Καὶ εἰ σφόδρα τύπτει ἢ ταχὺ ὁ τύπτων, οὕτω καὶ τὸ τυπτόμενον τύπτεσθαι;

ΠΩΛ. Ναί.

ΣΩ. Τοιοῦτον ἄρα πάθος τῷ τυπτομένῳ ἐστίν, οἷον ἂν τὸ τύπτον ποιῇ.

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν καὶ εἰ κάει τις, ἀνάγκη τι κάεσθαι;

ΠΩΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Καὶ εἰ σφόδρα γε κάει ἢ ἀλγεινῶς, οὕτω κάεσθαι τὸ καόμενον ὡς ἂν τὸ κᾶον κάῃ;

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν καὶ εἰ τέμνει τις, ὁ αὐτὸς λόγος· τέμνεται γάρ τι.

ΠΩΛ. Ναί.

ΣΩ. Καὶ εἰ μέγα γε ἢ βαθὺ τὸ τμῆμα ἢ ἀλγεινόν, τοιοῦτον τμῆμα τέμνεται τὸ τεμνόμενον, οἷον τὸ τέμνον τέμνει. D

ΠΩΛ. Φαίνεται.

ΣΩ. Συλλήβδην δὴ ὅρα εἰ ὁμολογεῖς, ὃ ἄρτι ἔλεγον,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

περὶ πάντων, οἷον ἂν ποιῇ τὸ ποιοῦν, τοιοῦτον τὸ πάσχον πάσχειν.

ΠΩΛ. Ἀλλ' ὁμολογῶ.

ΣΩ. Τούτων δὴ ὁμολογουμένων, τὸ δίκην διδόναι πότερον πάσχειν τί ἐστιν ἢ ποιεῖν;

ΠΩΛ. Ἀνάγκη, ὦ Σώκρατες, πάσχειν.

ΣΩ. Οὐκοῦν ὑπό τινος ποιοῦντος;

ΠΩΛ. Πῶς γὰρ οὔ; ὑπό γε τοῦ κολάζοντος.

E ΣΩ. Ὁ δὲ ὀρθῶς κολάζων δικαίως κολάζει;

ΠΩΛ. Ναί.

ΣΩ. Δίκαια ποιῶν ἢ οὔ;

ΠΩΛ. Δίκαια.

ΣΩ. Οὐκοῦν ὁ κολαζόμενος δίκην διδοὺς δίκαια πάσχει.

ΠΩΛ. Φαίνεται.

ΣΩ. Τὰ δὲ δίκαιά που καλὰ ὡμολόγηται.

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Τούτων ἄρα ὁ μὲν ποιεῖ καλά, ὁ δὲ πάσχει, ὁ κολαζόμενος.

ΠΩΛ. Ναί.

477 ΛΓ'. ΣΩ. Οὐκοῦν εἴπερ καλά, ἀγαθά· ἢ γὰρ ἡδέα ἢ ὠφέλιμα.

ΠΩΛ. Ἀνάγκη.

ΣΩ. Ἀγαθὰ ἄρα πάσχει ὁ δίκην διδούς.

ΠΩΛ. Ἔοικεν.

ΣΩ. Ὠφελεῖται ἄρα.

ΠΩΛ. Ναί.

ΣΩ. Ἆρα ἥνπερ ἐγὼ ὑπολαμβάνω τὴν ὠφέλειαν; βελτίων τὴν ψυχὴν γίγνεται, εἴπερ δικαίως κολάζεται;

ΠΩΛ. Εἰκός γε.

ΣΩ. Κακίας ἄρα ψυχῆς ἀπαλλάττεται ὁ δίκην διδούς.

ΠΩΛ. Ναί.

ΣΩ. Ἆρ' οὖν τοῦ μεγίστου ἀπαλλάττεται κακοῦ; ὧδε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὲ σκόπει· ἐν χρημάτων κατασκευῇ ἀνθρώπου κακίαν ἄλ- B λην τινὰ ἐνορᾷς ἢ πενίαν;

ΠΩΛ. Οὔκ, ἀλλὰ πενίαν.

ΣΩ. Τί δ' ἐν σώματος κατασκευῇ; κακίαν ἂν φήσαις ἀσθένειαν εἶναι καὶ νόσον καὶ αἶσχος καὶ τὰ τοιαῦτα;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Οὐκοῦν καὶ ἐν ψυχῇ πονηρίαν ἡγεῖ τινα εἶναι;

ΠΩΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Ταύτην οὖν οὐκ ἀδικίαν καλεῖς καὶ ἀμαθίαν καὶ δειλίαν καὶ τὰ τοιαῦτα;

ΠΩΛ. Πάνυ μὲν οὖν.

ΣΩ. Οὐκοῦν χρημάτων καὶ σώματος καὶ ψυχῆς, τριῶν ὄντων, τριττὰς εἴρηκας πονηρίας, πενίαν, νόσον, ἀδικίαν. C

ΠΩΛ. Ναί.

ΣΩ. Τίς οὖν τούτων τῶν πονηριῶν αἰσχίστη; οὐχ ἡ ἀδικία καὶ συλλήβδην ἡ τῆς ψυχῆς πονηρία;

ΠΩΛ. Πολύ γε.

ΣΩ. Εἰ δὲ αἰσχίστη, καὶ κακίστη;

ΠΩΛ. Πῶς, ὦ Σώκρατες, λέγεις;

ΣΩ. Ὡδί· ἀεὶ τὸ αἴσχιστον ἤτοι λύπην μεγίστην παρέχον ἢ βλάβην ἢ ἀμφότερα αἴσχιστόν ἐστιν ἐκ τῶν ὡμολογημένων ἐν τῷ ἔμπροσθεν.

ΠΩΛ. Μάλιστα.

ΣΩ. Αἴσχιστον δὲ ἀδικία καὶ σύμπασα ψυχῆς πονηρία νῦν δὴ ὡμολόγηται ἡμῖν. D

ΠΩΛ. Ὡμολόγηται γάρ.

ΣΩ. Οὐκοῦν ἢ ἀνιαρότατόν ἐστι καὶ ἀνίᾳ ὑπερβάλλον αἴσχιστον τούτων ἐστὶν ἢ βλάβῃ [ἢ λύπῃ] ἢ ἀμφότερα.

ΠΩΛ. Ἀνάγκη.

ΣΩ. Ἆρ' οὖν ἀλγεινότερόν ἐστι τοῦ πένεσθαι καὶ κάμνειν τὸ ἄδικον εἶναι καὶ ἀκόλαστον καὶ δειλὸν καὶ ἀμαθῆ;

ΠΩΛ. Οὐκ ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, ἀπό τούτων γε.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΩ. Ὑπερφυεῖ τινὶ ἄρα ὡς μεγάλῃ βλάβῃ καὶ κακῷ
θαυμασίῳ ὑπερβάλλουσα τἆλλα ἡ τῆς ψυχῆς πονηρία αἴ-
E σχιστόν ἐστι πάντων, ἐπειδὴ οὐκ ἀλγηδόνι γε, ὡς ὁ σὸς
λόγος.

ΠΩΛ. Φαίνεται.

ΣΩ. Ἀλλὰ μήν που τό γε μεγίστῃ βλάβῃ ὑπερβάλλον μέγιστον ἂν κακὸν εἴη τῶν ὄντων.

ΠΩΛ. Ναί.

ΣΩ. Ἡ ἀδικία ἄρα καὶ ἡ ἀκολασία καὶ ἡ ἄλλη ψυχῆς πονηρία μέγιστον τῶν ὄντων κακόν ἐστιν.

ΠΩΛ. Φαίνεται.

ΛΔ'. ΣΩ. Τίς οὖν τέχνη πενίας ἀπαλλάττει; οὐ χρηματιστική;

ΠΩΛ. Ναί.

ΣΩ. Τίς δὲ νόσου; οὐκ ἰατρική;

ΠΩΛ. Ἀνάγκη.

478 ΣΩ. Τίς δὲ πονηρίας καὶ ἀδικίας; εἰ μὴ οὕτως εὐπο-
ρεῖς, ὧδε σκόπει· ποῖ ἄγομεν καὶ παρὰ τίνας τοὺς κάμνον-
τας τὰ σώματα;

ΠΩΛ. Παρὰ τοὺς ἰατρούς, ὦ Σώκρατες.

ΣΩ. Ποῖ δὲ τοὺς ἀδικοῦντας καὶ τοὺς ἀκολασταίνοντας;

ΠΩΛ. Παρὰ τοὺς δικαστὰς λέγεις.

ΣΩ. Οὐκοῦν δίκην δώσοντας;

ΠΩΛ. Φημί.

ΣΩ. Ἆρ' οὖν οὐ δικαιοσύνῃ τινὶ χρώμενοι κολάζουσιν οἱ ὀρθῶς κολάζοντες;

ΠΩΛ. Δῆλον δή.

ΣΩ. Χρηματιστικὴ μὲν ἄρα πενίας ἀπαλλάττει, ἰα-
B τρικὴ δὲ νόσου, δίκη δὲ ἀκολασίας καὶ ἀδικίας.

ΠΩΛ. Φαίνεται.

ΣΩ. Τί οὖν τούτων κάλλιστόν ἐστιν [ὧν λέγεις];

ΠΩΛ. Τίνων λέγεις;

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΩ. Χρηματιστικῆς, ἰατρικῆς, δίκης.

ΠΩΛ. Πολὺ διαφέρει, ὦ Σώκρατες, ἡ δίκη.

ΣΩ. Οὐκοῦν αὖ ἤτοι ἡδονὴν πλείστην ποιεῖ ἢ ὠφέλειαν ἢ ἀμφότερα, εἴπερ κάλλιστόν ἐστιν.

ΠΩΛ. Ναί.

ΣΩ. Ἆρ' οὖν τὸ ἰατρεύεσθαι ἡδύ ἐστι, καὶ χαίρουσιν οἱ ἰατρευόμενοι;

ΠΩΛ. Οὐκ ἔμοιγε δοκεῖ.

ΣΩ. Ἀλλ' ὠφέλιμόν γε. ἢ γάρ;

ΠΩΛ. Ναί. C

ΣΩ. Μεγάλου γὰρ κακοῦ ἀπαλλάττεται, ὥςτε λυσιτελεῖ ὑπομεῖναι τὴν ἀλγηδόνα καὶ ὑγιεῖ εἶναι.

ΠΩΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Ἆρ' οὖν οὕτως ἂν περὶ σῶμα εὐδαιμονέστατος ἄνθρωπος εἴη, ἰατρευόμενος, ἢ μηδὲ κάμνων ἀρχήν;

ΠΩΛ. Δῆλον ὅτι μηδὲ κάμνων.

ΣΩ. Οὐ γὰρ τοῦτ' ἦν εὐδαιμονία, ὡς ἔοικε, κακοῦ ἀπαλλαγή, ἀλλὰ τὴν ἀρχὴν μηδὲ κτῆσις.

ΠΩΛ. Ἔστι ταῦτα.

ΣΩ. Τί δέ; ἀθλιώτερος πότερος δυοῖν ἐχόντοιν κακὸν εἴτ' ἐν σώματι εἴτ' ἐν ψυχῇ, ὁ ἰατρευόμενος καὶ ἀπαλλαττόμενος τοῦ κακοῦ, ἢ ὁ μὴ ἰατρευόμενος, ἔχων δέ;

ΠΩΛ. Φαίνεταί μοι ὁ μὴ ἰατρευόμενος.

ΣΩ. Οὐκοῦν τὸ δίκην διδόναι μεγίστου κακοῦ ἀπαλλαγὴ ἦν, πονηρίας.

ΠΩΛ. Ἦν γάρ.

14 *Ἆρ' οὖν οὕτως—ἰατρευόμενος;* Τὸ *ἰατρευόμενος* τροπ. μετοχ. ἐπεξήγ. τοῦ *οὕτω*.

17 *Οὐ γὰρ τοῦτ' ἦν εὐδαιμονία.* Κατὰ τὴν ἔμπροσθεν γενομένην σκέψιν ἡ εὐδαιμονία δὲν εὑρίσκετο οὖσα κακοῦ ἀπαλλαγή, ἀλλὰ τὴν ἀρχὴν μηδὲ κτῆσις.

18 *τὴν ἀρχὴν*=ἐξ ἀρχῆς· τὸ παράπαν· ὅλως διόλου. Ἀνωτέρω εἶπε τὸ αὐτὸ ἀνάρθρως: ἢ μηδὲ κάμνων ἀρχήν· ὅπου φανερὸν ὅτι τὸ *ἀρχὴν* κατήντησεν ἐπίρρημα.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΩ. Σωφρονίζει γάρ που καὶ δικαιοτέρους ποιεῖ καὶ ἰατρικὴ γίγνεται πονηρίας ἡ δίκη.

ΠΩΛ. Ναί.

E ΣΩ. Εὐδαιμονέστατος μὲν ἄρα ὁ μὴ ἔχων κακίαν ἐν ψυχῇ, ἐπειδὴ τοῦτο μέγιστον τῶν κακῶν ἐφάνη.

ΠΩΛ. Δῆλον δή.

ΣΩ. Δεύτερος δέ που ὁ ἀπαλλαττόμενος.

ΠΩΛ. Ἔοικεν.

ΣΩ. Οὗτος δ' ἦν ὁ νουθετούμενός τε καὶ ἐπιπληττόμενος καὶ δίκην διδούς.

ΠΩΛ. Ναί.

ΣΩ. Κάκιστα ἄρα ζῇ ὁ ἔχων ἀδικίαν καὶ μὴ ἀπαλλαττόμενος.

ΠΩΛ. Φαίνεται.

ΣΩ. Οὐκοῦν οὗτος τυγχάνει ὢν ὃς ἂν τὰ μέγιστα ἀδικῶν καὶ χρώμενος μεγίστῃ ἀδικίᾳ διαπράξηται ὥστε μήτε
479 νουθετεῖσθαι μήτε κολάζεσθαι μήτε δίκην διδόναι, ὥσπερ σὺ φῂς Ἀρχέλαον παρεσκευάσθαι καὶ τοὺς ἄλλους τυράννους καὶ ῥήτορας καὶ δυνάστας.

ΠΩΛ. Ἔοικεν.

ΛΕ'. ΣΩ. Σχεδὸν γάρ που οὗτοι, ὦ ἄριστε, τὸ αὐτὸ διαπεπραγμένοι εἰσί, ὥσπερ ἂν εἴ τις τοῖς μεγίστοις νοσή-

7 *Δεύτερος δέ που*. Τῇ εὐδαιμονίᾳ δηλ.

9 *Οὗτος δ' ἦν* κ.τ.λ. Λάμβανε: *ὁ νουθ. καὶ ἐπιπλ. καὶ δ. διδούς*, ὑποκ. τοῦ ἦν· οὗτος κατηγορ. Τὸ οὗτος = ὁ ἀπαλλαττόμενος κακίας ψυχῆς.

22 *ὥςπερ ἂν εἴ τις* κ.τ.λ. Λέγεται: ὥςπερ, ὥςπερ ἄν, ὥςπερ εἰ, ὥςπερ ἂν εἰ (ὡςπερανεί). Διὰ μὲν τοῦ *ὥςπερ* ἐκφέρεταί τι θετικόν, ἔχον ὁμοίως ὡς καὶ τὸ ἐν τῇ κυρίᾳ προτάσει ἐκφερόμενον· διὰ τοῦτο συνήθως ἡ πρότασις εἶνε ἐλλειπτικὴ ἐξυπακουομένων τῶν ἐν τῇ κυρίᾳ προτάσει. Λύσ. 218 c· «ἔχαιρον ὥςπερ θηρευτής τις» (χαίρει). Φαίδων 86 a· «εἴ τις διϊσχυρίζοιτο τῷ αὐτῷ λόγῳ, ὥςπερ σύ» (διϊσχυρίζει). Διὰ δὲ τῶν λοιπῶν (ὥςπερ ἄν, ὥςπερ εἰ, ὥςπερ ἂν εἰ) ἐκφέρεταί τι ὑποθετικόν, ἔχον ὁμοίως πρὸς τὸ τῆς κυρίας προτάσεως. Ἐπειδὴ δὲ πᾶς ὑποθ. λόγος ἔχει ὑπόθεσιν καὶ ἀπόδοσιν, ἢ ἐκφέρονται ἀμφότεραι αἱ προτάσεις πλήρεις, (Ἀπολ. 17 e· «ὥςπερ ἄν, εἰ τῷ ὄντι ξένος ἐτύγχανον ὤν, ξυνεγινώσκετε δήπου ἄν μοι . . . καὶ δὴ καὶ νῦν» κ. τ. λ.), ἢ παραλείπεται συνήθως ἡ ἀπόδοσις, οὖσα ἡ αὐτὴ καὶ ἡ κυρία

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μασι συνισχόμενος διαπράξαιτο μὴ διδόναι δίκην τῶν περὶ τὸ σῶμα ἁμαρτημάτων τοῖς ἰατροῖς μηδὲ ἰατρεύεσθαι, φοβούμενος, ὡςπερανεὶ παῖς, τὸ κάεσθαι καὶ τὸ τέμνεσθαι, ὅτι ἀλγεινόν. ἢ οὐ δοκεῖ καὶ σοὶ οὕτως; B

ΠΩΛ. Ἔμοιγε.

ΣΩ. Ἀγνοῶν γε, ὡς ἔοικεν, οἷόν ἐστιν ἡ ὑγίεια καὶ ἀρετὴ σώματος. κινδυνεύουσι γὰρ ἐκ τῶν νῦν ἡμῖν ὡμολογημένων τοιοῦτόν τι ποιεῖν καὶ οἱ τὴν δίκην φεύγοντες, ὦ Πῶλε, τὸ ἀλγεινὸν αὐτοῦ καθορᾶν, πρὸς δὲ τὸ ὠφέλιμον τυφλῶς ἔχειν καὶ ἀγνοεῖν, ὅσῳ ἀθλιώτερόν ἐστι μὴ ὑγιοῦς σώματος μὴ ὑγιεῖ ψυχῇ συνοικεῖν, ἀλλὰ σαθρᾷ καὶ ἀδίκῳ καὶ ἀνοσίῳ. ὅθεν καὶ πᾶν ποιοῦσιν ὥςτε δίκην μὴ C διδόναι μηδ' ἀπαλλάττεσθαι τοῦ μεγίστου κακοῦ, καὶ χρήματα παρασκευαζόμενοι καὶ φίλους καὶ ὅπως ἂν ὦσιν ὡς πιθανώτατοι λέγειν. εἰ δὲ ἡμεῖς ἀληθῆ ὡμολογήκαμεν, ὦ Πῶλε, ἆρ' αἰσθάνει τὰ συμβαίνοντα ἐκ τοῦ λόγου; ἢ βούλει συλλογισώμεθα αὐτά;

πρότασις, παραμένει δὲ ὡς λείψανον τῆς ἀποδόσεως ὁ *ἂν* παρὰ τῷ *ὥςπερ*. Οὕτω προῆλθε τὸ *ὥςπερ ἂν* (Φαῖδρ. 268 d «ἀλλ' οὐκ ἂν ἀγροίκως λοιδορήσειαν, ἀλλ' ὥςπερ ἂν (λοιδορήσειεν, ἢ ποιήσειε) μουσικὸς ἐντυχὼν» κ.τ.λ.) καὶ τὸ *ὥςπερ ἂν εἰ* (Πρωταγ. 335 e· «Νῦν δ' ἔστιν, ὥςπερ ἂν εἰ δέοιό μου» =ὥςπερ ἂν εἴη, εἰ δέοιό μου). Ἀλλ' ἐκ τῆς πολλῆς χρήσεως ἠμβλύνθησαν αἱ διακρίσεις αὗται· ὅθεν Α', τίθεται ἐν τῇ ὑποθέσει αὐτὸ τὸ τῆς κυρίας προτάσεως ῥῆμα, ὡς ἐνταῦθα, ἐν ᾧ ἔπρεπε νὰ τεθῇ ἢ νὰ ἐξυπακούηται ἐν τῇ ἀποδόσει. Β', τίθεται τὸ *ὡςπερανεὶ* ἀντὶ τοῦ ἁπλοῦ *ὥςπερ* (διὸ καὶ γράφεται ὡς μία λέξις, οἷον τὸ ἀμέσως κατωτέρω: ὡςπερανεὶ παῖς = ὥςπερ παῖς). Τὸ προκείμενον θὰ εἶχεν ὁμαλῶς ὧδε· «οὗτοι τὸ αὐτὸ διαπεπραγμένοι εἰσίν, ὥςπερ (ὅπερ) ἂν εἴη διαπεπραγμένος εἴ τις μὴ διδοίη δίκην κ.τ.λ.»

10 *μὴ ὑγιοῦς σώματος*. Εἶνε μὲν ὁ β' ὅρος τῆς συγκρίσεως, ἀλλὰ βραχυλογικῶς ἐξενηνεγμένος ἀντὶ τοῦ πλήρους· «μὴ ὑγιεῖ ψυχῇ συνοικεῖν ἢ μὴ ὑγιεῖ σώματι». Τοιαῦται βραχυλογικαὶ ἐκφράσεις γίνονται συχνάκις ἐπὶ τῶν συγκριτικῶν, ἐπὶ τῶν ὁμοιωματικῶν. (Ἡ θεράπαινα φορεῖ ὁμοίαν ἐσθῆτα τῇ δεσποίνῃ· ἀντί: τῇ τῆς δεσποίνης), ἐπὶ τοῦ *πλήν*, ἐπὶ τῆς *ἀντὶ* προθέσεως καὶ ἄλλων προθέσεων. ΘεαΊτ. 185 e· «Καλὸς γὰρ εἶ, ὦ Θεαίτητε . . . πρὸς δὲ τῷ καλῷ, εὖ ἐποίησάς με κ. τ. λ.» Ἀντί: «πρὸς δὲ τῷ εἶναι καλός, εὖ ἐποίησας κ. τ. λ.»

14 *καὶ ὅπως ἂν ὦσιν* κ.τ.λ. Ὁ *καὶ* κατὰ τὰ φαινόμενα συνδέει τὸν τελικὸν λόγον μετὰ τῶν δύο προηγηθέντων ἀντικειμένων τοῦ *παρασκευαζόμενοι* (καὶ χρήματα καὶ φίλους). Ἀλλα συντακτικῶς ἑτερογενῆ δὲν δύνανται λογικῶς νὰ συνδεθῶσι. Νοητέον λοιπὸν ὡς γ'

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΩΛ. Εἰ μή σοί γε ἄλλως δοκεῖ.

ΣΩ. Ἆρ' οὖν συμβαίνει μέγιστον κακὸν ἡ ἀδικία καὶ τὸ ἀδικεῖν;

ΠΩΛ. Φαίνεταί γε.

D ΣΩ. Καὶ μὴν ἀπαλλαγή γε ἐφάνη τούτου τοῦ κακοῦ τὸ δίκην διδόναι.

ΠΩΛ. Κινδυνεύει.

ΣΩ. Τὸ δέ γε μὴ διδόναι ἐμμονὴ τοῦ κακοῦ.

ΠΩΛ. Ναί.

ΣΩ. Δεύτερον ἄρα ἐστὶ τῶν κακῶν μεγέθει τὸ ἀποδικεῖν· τὸ δὲ ἀδικοῦντα μὴ διδόναι δίκην πάντων μέγιστόν τε καὶ πρῶτον κακῶν πέφυκεν.

ΠΩΛ. Ἔοικεν.

ΣΩ. Ἆρ' οὖν περὶ τούτου, ὦ φίλε, ἠμφισβητήσαμεν, σὺ μὲν τὸν ' ρχέλαον εὐδαιμονίζων τὸν τὰ μέγιστα ἀδι-
E κοῦντα δίκην οὐδεμίαν διδόντα, ἐγὼ δὲ τοὐναντίον οἰόμενος, εἴτ' Ἀρχέλαος εἴτ' ἄλλος ἀνθρώπων ὁςτισοῦν μὴ δίδωσι δίκην ἀδικῶν, τούτῳ προσήκειν ἀθλίῳ εἶναι διαφερόντως τῶν ἄλλων ἀνθρώπων, καὶ ἀεὶ τὸν ἀδικοῦντα τοῦ ἀδικουμένου ἀθλιώτερον εἶναι καὶ τὸν μὴ διδόντα δίκην τοῦ διδόντος; οὐ ταῦτ' ἦν τὰ ὑπ' ἐμοῦ λεγόμενα;

ΠΩΛ. Ναί.

ΣΩ. Οὐκοῦν ἀποδέδεικται ὅτι ἀληθῆ ἐλέγετο;

ΠΩΛ. Φαίνεται.

480 ΛϚ'. ΣΩ. Εἶεν· εἰ οὖν δὴ ταῦτα ἀληθῆ, ὦ Πῶλε, τίς ἡ μεγάλη χρεία ἐστὶ τῆς ῥητορικῆς; δεῖ μὲν γὰρ δὴ ἐκ τῶν νῦν ὡμολογημένων αὐτὸν ἑαυτὸν μάλιστα φυλάττειν ὅπως μὴ ἀδικήσει, ὡς ἱκανὸν κακὸν ἕξοντα. οὐ γάρ;

ἀντικείμενον *καὶ ἑαυτούς*· «καὶ χρήματα παρασκευαζόμενοι καὶ φίλους καὶ ἑαυτούς, ὅπως ἂν ὦσι κ. τ. λ.»

15 ***τὸν τὰ μέγιστα ἀδικοῦντα δίκην οὐδεμίαν διδόντα.*** Σύμπλεκε ὧδε· «τον δίκην οὐδεμίαν διδόντα, τὰ μέγιστα ἀδικοῦντα»· ὥςτε τὸ ***ἀδικοῦντα*** νὰ εἶνε μετοχὴ προσδιορίζουσα ἐναντιωματικῶς τὸ ***οὐ διδόντα δίκην*** = ὅς τὰ μέγιστα ἀδικῶν δίκην οὐδεμίαν δίδωσιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Ἐὰν δέ γε ἀδικήσῃ ἢ αὐτὸς ἢ ἄλλος τις ὧν ἂν κήδηται, αὐτὸν ἑκόντα ἰέναι ἐκεῖσε, ὅπου ὡς τάχιστα δώσει δίκην, παρὰ τὸν δικαστήν, ὥςπερ παρὰ τὸν ἰατρόν, σπεύδοντα, ὅπως μὴ ἐγχρονισθὲν τὸ νόσημα τῆς ἀδικίας ὕπουλον B τὴν ψυχὴν ποιήσῃ καὶ ἀνίατον· ἢ πῶς λέγωμεν, ὦ Πῶλε; εἴπερ τὰ πρότερον μένει ἡμῖν ὁμολογήματα, οὐκ ἀνάγκη ταῦτα ἐκείνοις οὕτω μὲν συμφωνεῖν, ἄλλως δὲ μή;

ΠΩΛ. Τί γὰρ δὴ φῶμεν, ὦ Σώκρατες;

ΣΩ. Ἐπὶ μὲν ἄρα τὸ ἀπολογεῖσθαι ὑπὲρ τῆς ἀδικίας τῆς αὑτοῦ ἢ γονέων ἢ ἑταίρων ἢ παίδων ἢ πατρίδος ἀδικούσης οὐ χρήσιμος οὐδὲν ἡ ῥητορικὴ ἡμῖν, ὦ Πῶλε, εἰ μὴ εἴ τις ὑπολάβοι ἐπὶ τοὐναντίον, κατηγορεῖν δεῖν μάλιστα μὲν ἑ- C αυτοῦ, ἔπειτα δὲ καὶ τῶν οἰκείων καὶ τῶν ἄλλων, ὃς ἂν ἀεὶ τῶν φίλων τυγχάνῃ ἀδικῶν, καὶ μὴ ἀποκρύπτεσθαι, ἀλλ' εἰς τὸ φανερὸν ἄγειν τὸ ἀδίκημα, ἵνα δῷ δίκην καὶ ὑγιὴς γένηται, ἀναγκάζειν δὲ καὶ αὑτὸν καὶ τοὺς ἄλλους μὴ ἀποδειλιᾶν, ἀλλὰ παρέχειν μύσαντα καὶ ἀνδρείως, ὥςπερ τέμνειν καὶ κάειν ἰατρῷ, τὸ ἀγαθὸν καὶ καλὸν διώκοντα, μὴ ὑπολογιζόμενον τὸ ἀλγεινόν, ἐὰν μέν γε πληγῶν ἄξια ἠδικηκὼς ᾖ, τύπτειν παρέχοντα, ἐὰν δὲ δεσμοῦ, D

4 *σπεύδοντα*. Τροπ. προσδιορ. τοῦ ἰέναι = τρέχοντας.

13 ***ἐπὶ τοὐναντίον, κατηγορεῖν δεῖν*** κ. τ. λ. Συμπλήρου: ἐπὶ τοὐναντίον δεῖν χρῆσθαι τῇ ῥητορ.· τὸ δὲ κατηγορεῖν δεῖν κ.τ.λ. ἐπεξηγ. τούτου.

14 ***ὃς ἂν ἀεὶ*** = ἑκάστοτε, κάθε φορά.

18 ***ἀλλὰ παρέχειν μύσαντα καὶ ἀνδρείως***. Συμπλήρου: τῷ δικαστῇ κολάζειν. Τὸ ***μύσαντα*** μεταφορικῶς ἀπὸ τῶν ὑφισταμένων ἰατρικὴν ἐγχείρησιν, ὧν οἱ γενναιότεροι κλείουσι μὲν τοὺς ὀφθαλμοὺς ἵνα μὴ βλέπωσι τὸ γινόμενον, ἄλλως δὲ ἵστανται ἀκίνητοι ὑπὸ τοῦ φόβου καὶ τοῦ ἄλγους.

***ὥςπερ τέμνειν καὶ κάειν τῷ ἰατρῷ***. Ὥςπερ παρέχει τις τῷ ἰατρῷ τέμνειν καὶ κάειν, οὕτω παρέχειν καὶ τῷ δικαστῇ κολάζειν καὶ ἰατρεύειν τὴν νόσον τῆς ψυχῆς. Αἱ μετοχαί: διώκοντα . . . μὴ ὑπολογιζόμενον . . . τύπτειν παρέχοντα . . . δεῖν (παρέχοντα) . . . ἀποτίνοντα . . . φεύγοντα . . . ἀποθνήσκοντα . . . ὄντα κατήγορον . . . χρώμενον τῇ ῥητορικῇ, προσδιορίζουσι τροπικῶς τὸ ἐν ἀρχῇ: παρέχειν τῷ δικαστῇ ὥςπερ τέμνειν καὶ κάειν τῷ ἰατρῷ. Ἡ συσσώρευσις τοσούτων μετοχῶν εἶνε ἔνδειξις τῆς περιπαθείας μεθ' ἧς ὁ Σωκρ. ἐκφέρει τὰ ἀνθρωποσωτήρια ταῦτα δόγματα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δεῖν, ἐὰν δὲ ζημίας, ἀποτίνοντα, ἐὰν δὲ φυγῆς, φεύγοντα, ἐὰν δὲ θανάτου, ἀποθνήσκοντα, αὐτὸν πρῶτον ὄντα κατήγορον καὶ αὑτοῦ καὶ τῶν ἄλλων οἰκείων καὶ ἐπὶ τοῦτο χρώμενον τῇ ῥητορικῇ, ὅπως ἂν καταδήλων τῶν ἀδικημάτων γιγνομένων ἀπαλλάττωνται τοῦ μεγίστου κακοῦ, ἀδικίας. φῶμεν οὕτως ἢ μὴ φῶμεν, ὦ Πῶλε;

E ΠΩΛ. Ἄτοπα μέν, ὦ Σώκρατες, ἔμοιγε δοκεῖ, τοῖς μέντοι ἔμπροσθεν ἴσως σοι ὁμολογεῖται.

ΣΩ. Οὐκοῦν ἢ κἀκεῖνα λυτέον ἢ τάδε ἀνάγκη συμβαίνειν.

ΠΩΛ. Ναί, τοῦτό γε οὕτως ἔχει.

ΣΩ. Τοὐναντίον δέ γε αὖ μεταβαλόντα, εἰ ἄρα δεῖ τινα

7 *Ἄτοπα μὲν* κ.τ.λ. Ὁ Πῶλος τὰ εὑρίσκει ἄτοπα παραβάλλων αὐτὰ πρὸς τὰ ἐν τῷ πραγματικῷ βίῳ δοξαζόμενα καὶ πραττόμενα· ὁμόλογα δὲ τοῖς ἔμπροσθεν, καθ' ὅσον εἶνε ὀρθὰ συμπεράσματα τῶν ληφθεισῶν καὶ ὁμολογηθεισῶν προτάσεων.

*τοῖς μέντοι ἔμπροσθεν ἴσως σοι ὁμολογεῖται*. Τὸ μέν: *ὁμολογεῖται τοῖς ἔμπροσθεν* = ὁμόλογά ἐστι τοῖς ἔμπροσθεν· καὶ ἡ τοιαύτη σύνταξις εἶνε συχνοτάτη παρὰ Πλ. Κρατύλ. 416 b, Πρωταγ. 339 c. Τὸ δέ: *ὁμολογεῖταί σοι*, τὸ σοὶ ἐτέθη ὡς δοτ. χαριστ. Φαίδ. 72 a, Πολιτ. 478 a καὶ 434 d, Γοργ. 497 d καὶ 477 d. Ἐν τοῖς παρατεθεῖσι χωρίοις εὑρίσκεται μόνον ἡ ἑτέρα τῶν δύο δοτικῶν· ἐν τῷ προκειμένῳ δὲ ἀμφότεραι. Τοῦτο εἶνε τὸ μόνον ἀξιοσημείωτον· ἄλλως τὸ χωρίον ἔχει καλῶς.

12 *Τοὐναντίον δέ γε αὖ μεταβαλόντα*. Τὸ *τοὐναντίον* ἐπιρρηματικῶς, ὡς καὶ παρ' ἡμῖν. Τὸ *μεταβαλόντα* ἐτέθη οἷον σαφεστέρα ἔκφρασις τοῦ *τοὐναντίον* = ἐὰν μεταβάλῃ τις, δηλ. ἐὰν θελήσῃ τις νὰ κακοποιήσῃ τινά· διότι μέχρι τοῦδε ἦτο ὁ λόγος περὶ εὐεργεσίας καὶ ὠφελείας ἑαυτοῦ διὰ τῆς ῥητορικῆς.

Πάντα τὰ ἐφεξῆς λεγόμενα εἶνε συμπεράσματα ἑνὸς συλλογισμοῦ, οὗ ἡ μὲν Μείζων πρότασις εἶνε αὕτη: Ὁ ἀδικῶν, μὴ διδοὺς δίκην, τυγχάνει πάντων ἀθλιώτατος· ἡ δὲ Ἐλάσσων αὕτη· «Ἀλλὰ βούλομαι τὸν ἐχθρὸν ὅτι ἀθλιώτατον εἶναι». Ἐντεῦθεν τὸ συμπέρασμα· «Ποίει ὅπως ὁ ἐχθρός σου ἔσται ἄδικος καὶ ὅπως μηδέποτε δώσει δίκην τῶν ἀδικημάτων». Ἡ Μείζων εἶνε βεβαίως κατὰ γνώμην τοῦ Σωκράτους· οὐχὶ δὲ καὶ ἡ Ἐλάσσων. Ἤδη ἐν τῷ Κρίτωνι σελ. 49 ἀνεκήρυξεν ὁ Πλάτων τὴν καινὴν ἐντολὴν τῆς τοῦ πλησίον ἀγάπης καὶ φίλου καὶ ἐχθροῦ. Ἐν δὲ τῇ Πολιτείᾳ 335 b ἐκθέτει τὸ αὐτὸ δόγμα ἐκτενέστερον καὶ ἀποδεικτικώτερον. Ἐνταῦθα βεβαίως δὲν ἔχει διάφορον γνώμην· ἀλλὰ προήνεγκε τὴν Ἐλάσσονα δι' ὑποθετ. προτάσεως (καθ' ὁριστ. ἔγκλισιν: *εἰ ἄρα δεῖ*, ἥτις ἴσα ἴσα σημαίνει ὅτι ὁ λέγων ἐπέχει τὴν ἑαυτοῦ γνώμην)· μόνον καὶ μόνον ἵνα ἐκ τῶν δύο τούτων προτάσεων, ὧν ἡ μὲν εἶνε ἀληθὴς κατὰ τὸν Σωκ., ὡμολογήθη δὲ ἤδη καὶ ὑπὸ τοῦ Πώλου, ἡ δέ, ἀληθὴς κατὰ τοὺς σοφιστὰς καὶ τὸν κοινὸν λαόν, ἐκ τούτων συλλογιζόμενος ὀρθῶς ἐξαγάγῃ τὰ παραδοξότατα συμπεράσματα, ἅτινα ἐμποιοῦσι κατά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κακῶς ποιεῖν, εἴτ' ἐχθρὸν εἴτε ὁντινοῦν, — ἐὰν μόνον μὴ αὐτὸς ἀδικῆται ὑπὸ τοῦ ἐχθροῦ, τοῦτο μὲν γὰρ εὐλαβητέον· ἐὰν δὲ ἄλλον ἀδικῇ ὁ ἐχθρός, παντὶ τρόπῳ παρασκευαστέον καὶ πράττοντα καὶ λέγοντα, ὅπως μὴ δῷ δί- 481
κην μηδὲ ἔλθῃ παρὰ τὸν δικαστήν· ἐὰν δὲ ἔλθῃ, μηχανητέον, ὅπως ἂν διαφύγῃ καὶ μὴ δῷ δίκην ὁ ἐχθρός, ἀλλ'

πληξιν εἰς τὸν Καλλικλέα καὶ ἀφορμὴν ἵνα ἐμπέσῃ οὕτω δραματικῶς εἰς τὸν λόγον.

1 *ἐὰν μόνον μὴ αὐτὸς — ἐὰν δὲ ἄλλον ἀδικῇ ὁ ἐχθρός*. 'Ανακολουθία οὐχὶ σπανία ἐν τῷ 'Ελλ. λόγῳ. Τά: *ἐὰν μόνον μὴ αὐτὸς* κ.τ.λ. λέγονται παρενθετικῶς· προϊόντος δὲ τοῦ λόγου ἐλησμονήθη ἡ παρενθετικὴ ῥῆσις, καὶ συνεδέθη μετ' αὐτῆς τό: *ἐὰν δὲ ἄλλον* κ.τ.λ. ὅπερ δὲν εἶνε πλέον παρενθετ. λόγος. Θουκ. Α', 72· «τῶν δὲ 'Αθηναίων — ἔτυχε γὰρ πρεσβεία πρότερον ἐν τῇ Λακεδαίμονι περὶ ἄλλων παροῦσα· καὶ ὡς ᾔσθοντο τῶν λόγων» κ.τ.λ.

2 *τοῦτο μὲν γὰρ εὐλαβητέον*. Δηλ. τὸ ἀδικεῖσθαι ὑπὸ τοῦ ἐχθροῦ, κακὸν ἀποδειχθέν, καὶ τὸ χρῆσθαι ἄρα τῇ ῥητορικῇ ὅπως μὴ δῷ δίκην ὁ ἐχθρός, αὐτὸν ἀδικήσας.

3 *παρασκευαστέον*. 'Υποκ. τὸ αὐτὸ καὶ τὸ τοῦ: *κακῶς ποιεῖν*· τὸν ῥητορικὸν δηλ.

Τὰ εἰς *τέος* ῥηματικὰ τίθενται εἰς τὸν λόγον ἢ ὡς ἐπίθετα συμφωνοῦντα πρὸς τὸ οὐσιαστικόν των κατὰ γένος, ἀριθ. καὶ πτῶσιν, ἢ ὡς ἄκλιτα λήγοντα εἰς *τέον* (ἐνίοτε εἰς *τέα*). Τὰ μὲν ὡς ἐπίθετα ἔχουσι παθητ. διάθεσιν, δηλ. ἰσοδυναμοῦσι πρὸς τὸ δεῖ καὶ τὸ παθητ. ἀπαρέμφ. τοῦ ῥήματος ἐξ οὗ παράγονται· συντάσσονται δὲ δοτικῇ σημαινούσῃ τὸ ποιητ. αἴτιον τοῦ παθ. ῥήματος· Γραπτέα μοι ἡ ἐπιστολή. = Δεῖ γραφῆναι ὑπ' ἐμοῦ τὴν ἐπιστολήν. Τιμητέος μοι ὁ ἀνήρ. = Δεῖ τιμᾶσθαι ὑπ' ἐμοῦ τὸν ἄνδρα. Τὰ δὲ ἀκλίτως εἰς *τέον* τιθέμενα ἔχουσιν ἐνεργ. διάθεσιν, ἰσοδυναμοῦντα πρὸς τὸ *δεῖ* καὶ τὸ ἐνεργ. ἀπαρέμφ. τοῦ ῥήματος. Τὰ οὕτω κείμενα ῥηματικὰ δέχονται δοτικὴν ἢ αἰτιατικὴν δηλοῦσαν τὸ ὑποκείμενον τοῦ ἐνεργ. ῥήματος, καὶ ἄλλην πτῶσιν ἥντινα καὶ αὐτὸ τὸ ἐνεργ. ῥῆμα ἀπαιτεῖ ὡς ἀντικείμενον· δηλ. τὰ τοιαῦτα συντάσσονται ὡς καὶ τὰ ἰσοδύναμά των ῥήματα. Χρηστέον (ἡμῖν ἢ ἡμᾶς) τῇ ῥητορικῇ ἐπὶ τὸ κατηγορεῖν ἡμῶν αὐτῶν. Μηχανητέον (ἡμῖν ἢ ἡμᾶς) ὅπως μὴ δῷ δίκην ὁ ἐχθρός. Μεταδοτέον (ἡμῖν ἢ ἡμᾶς) τῶν ἀγαθῶν τοῖς δεομένοις κ.τ.τ. Πρβλ. Γοργ. 507 d, 512 e. 'Επιθετικῶς μὲν δύνανται νὰ τεθῶσι μόνον ἐκεῖνα τὰ ῥηματικά, ὧν τὸ ῥῆμα εἶνε ἐπιδεκτικὸν παθητικῆς διαθέσεως· ἀκλίτως δὲ εἰς *τέον* πᾶν ῥηματικόνν Οὕτω δύναμαι μὲν νὰ εἴπω: βιωτέον μοί ἐστι· οὐχὶ δέ: βιωτέος εἰμί· διότι δὲν ὑπάρχει παθητ. διάθεσις τοῦ βιῶ· ἰτέον καὶ ἰτητέον· οὐχὶ ἰτέος. 'Ομοίως θὰ ἠδύνατο νὰ ῥηθῇ: βουλητέον, οὐχὶ βουλητέος· οἰητέον, οὐχὶ οἰητέος κ.τ.τ.

6 *ὅπως μὴ δῷ δίκην . . . ὅπως μὴ ἀποδιδῷ, ἀλλ' ἀναλίσκηται . . . ὅπως μὴ ἀποθανεῖται, ἀλλ' ἀθάνατος ἔσται* κ.τ.λ. 'Αξιοσημείωτος ἡ ἐναλλαγὴ τῆς ὑποτ. ἀορ. καὶ ὁριστ. μέλλ. ἐν τῇ αὐτῇ περιόδῳ καὶ ἐκ τοῦ αὐτοῦ ῥήματος (μηχανητέον) ἐξαρτωμένων. 'Εναργεστάτη ἔνδειξις ὅτι οἱ λεγόμενοι τελ. λόγοι μετὰ τοῦ ὅπως ἢ ὅπως ἂν καὶ ὑποτ. καὶ οἱ λεγόμενοι πλάγιοι ἐρωτ. λόγοι μετὰ τοῦ ὅπως καὶ ὁριστ. μέλλ. εἰσὶ συγγενέστατοι κατὰ τὸ νόημα, ὥστε νὰ δύνανται σχεδὸν ἀδιαφόρως νὰ ἐναλλάσσωνται. Καὶ ἡμεῖς σήμερον ἄνευ σπουδαίας διαφορᾶς ἐν τοῖς τοιούτοις ἐναλλάσσομεν τὸ *νὰ*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐάν τε χρυσίον ἡρπακὼς ᾖ πολύ, μὴ ἀποδιδῷ τοῦτο ἀλλ' ἔχων ἀναλίσκηται καὶ εἰς ἑαυτὸν καὶ εἰς τοὺς ἑαυτοῦ ἀδίκως καὶ ἀθέως, ἐάν τε θανάτου ἄξια ἠδικηκὼς ᾖ, ὅπως μὴ ἀποθανεῖται, μάλιστα μὲν μηδέποτε, ἀλλ' ἀθάνατος ἔσται πονηρὸς ὤν, εἰ δὲ μή, ὅπως ὡς πλεῖστον χρόνον βιώσεται
B τοιοῦτος ὤν. ἐπὶ τὰ τοιαῦτα ἔμοιγε δοκεῖ, ὦ Πῶλε, ἡ ῥητορικὴ χρήσιμος εἶναι· ἐπεὶ τῷ γε μὴ μέλλοντι ἀδικεῖν οὐ μεγάλη τίς μοι δοκεῖ ἡ χρεία αὐτῆς εἶναι, εἰ δὴ καὶ ἔστι τις χρεία, ὡς ἔν γε τοῖς πρόσθεν οὐδαμῇ ἐφάνη οὖσα.

ΛΖ'. ΚΑΛ. Εἰπέ μοι, ὦ Χαιρεφῶν, σπουδάζει ταῦτα Σωκράτης ἢ παίζει;

ΧΑΙ. Ἐμοὶ μὲν δοκεῖ, ὦ Καλλίκλεις, ὑπερφυῶς σπουδάζειν· οὐδὲν μέντοι οἷον τὸ αὐτὸν ἐρωτᾶν —.

τῆς ὑποτακτικῆς καὶ τὸ θὰ τῆς ὁριστ. μέλλ.: «Πρέπει νὰ προσπαθήσωμεν μὲ κάθε τρόπον νὰ μὴ ἔλθῃ ὁ ἐχθρὸς ἐνώπιον τοῦ δικαστοῦ, καὶ ἂν ἔλθῃ νὰ εὕρωμεν μηχανὴν πῶς θὰ διαφύγῃ τὰς χεῖρας τῆς δικαιοσύνης, καὶ νὰ σκεφθῶμεν πῶς θὰ γλυτώσῃ τὸν θάνατον». Ὁμοίως «Ἔλα νὰ σκεφθῶμεν πῶς νὰ ἐξέλθωμεν ἐκ τῆς δυσχερείας ταύτης· καί· Ἔλα νὰ σκεφθῶμεν πῶς θὰ ἐξέλθωμεν κ.τ.λ.», οἵτινες ἀμφότεροι εἶνε πλάγιοι ἐρωτηματ. λόγοι, ὁ μὲν καθ' ὑποτ. ἀορ. ὁ δὲ καθ' ὁριστ. μέλλ. Οὕτω συχνότατα καὶ παρὰ Πλ. καὶ διὰ τοῦτο καὶ τὰ χειρόγρ. διαφωνοῦσι, καὶ ἡμεῖς δυσκόλως δυνάμεθα νὰ μαντεύσωμεν τὸ γνήσιον τοῦ Πλ.

8 *εἰ δὴ καὶ ἔστι τις χρεία* = ἂν δὰ ὑπάρχει καί τις χρεία αὐτῆς. Καθόλου μὲν ἀρνεῖταί ὁ Σωκ. ὅτι ἔστι τις χρεία τῆς ῥητορ. τῷ μὴ μέλλοντι ἀδικεῖν, ἀλλὰ συγκαταβαίνων πρὸς τὴν κοινὴν ὑπόληψιν δέχεται ὅτι, καὶ ἂν εἶνέ τις χρεία αὐτῆς, δὲν εἶνε τόσον μεγάλη ὅσον ὑπολαμβάνεται.

10 *Εἰπέ μοι, ὦ Χαιρεφῶν*. Σιγήσαντος τοῦ Πώλου, καί, κατὰ τὰ φαινόμενα, ληξάσης τῆς συζητήσεως, ἀφ' οὗ εὑρέθη καὶ ὡμολογήθη τὸ ζητούμενον, ὁ Καλλικλῆς παρεμπίπτων ἀναζωπυρεῖ τὸν διάλογον. Ὅτι πρὸς τὸν Χαιρεφῶντα ἀποτείνει τὴν θαυμαστικὴν ἐρώτησιν καὶ οὐχὶ πρὸς αὐτὸν τὸν Σωκ. τοῦτο εἶνε δραματικὴ ἐπιδείνωσις τῆς κατεχούσης τὸν Καλλ. καταπλήξεως. Καὶ ἡμεῖς σήμερον ὁσάκις ἀκούομέν τινος ἄτοπα καὶ παράδοξα λέγοντος, οἷον ἀμφιβάλλοντες περὶ τῆς διανοητικῆς του ὑγιείας, ἐρωτῶμεν τὸν παρακαθήμενον: Εἰπέ μου, στὸ Θεό σου! μὲ τὰ σωστά του λέγει αὐτὰ ὁ Σωκράτης, ἢ μήπως τὰ ἔχασε;

*σπουδάζει ταῦτα*. Τὸ σπουδάζω εἶνε κυρίως ἀμετάβατον καὶ συντάσσεται ὧδε· σπουδάζω περί τινος, ἢ περί τι, ἢ ἔν τινι, ἢ ἐπί τινι· ἐπὶ δὲ προσώπου: πρός τινα. Ἐνίοτε δ' ὅμως λέγεται βραχυλογικῶς: σπουδάζω τι = σπουδάζων ἐπιδιώκω τι· ἢ ὅπως; ἐνταῦθα = σπουδάζων λέγω τι. Ὁμοίως καὶ τὸ «παίζει ταῦτα»· ἔνθα τὸ *ταῦτα* νοητέον ἀπὸ κοινοῦ.

12 *ὑπερφυῶς*. Ὑπερβολὴ ἐκφράσεως τοῦ Χαιρεφῶντος χαρακτηριστικὴ τῆς πρὸς τὸν διδάσκαλον πίστεως καὶ ἀφοσιώσεως. Ἄλλως αἱ τοιαῦται ὑπερβολαὶ χαρακτηρίζουσι τοὺς ἀπαιδεύτους· οἷον: *Μοῦ ἀρέσει τρομερὰ τὸ θέατρον. Τρελλαίνομαι διὰ τὴν μουσικήν.*

13 *Οὐδὲν μέντοι οἷον τὸ αὐτὸν ἐρω-*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΚΑΛ. Νὴ τοὺς θεούς, ἀλλ' ἐπιθυμῶ. εἰπέ μοι, ὦ Σώκρατες, C πότερόν σε φῶμεν νυνὶ σπουδάζοντα ἢ παίζοντα; εἰ μὲν γὰρ σπουδάζεις τε καὶ τυγχάνει ταῦτα ἀληθῆ ὄντα ἃ λέγεις, ἄλλο τι ἢ ἡμῶν ὁ βίος ἀνατετραμμένος ἂν εἴη τῶν ἀνθρώπων καὶ πάντα τὰ ἐναντία πράττομεν, ὡς ἔοικεν, ἢ ἃ δεῖ;

ΣΩ. Ὦ Καλλίκλεις, εἰ μή τι ἦν τοῖς ἀνθρώποις πάθος, τοῖς μὲν ἄλλο τι, τοῖς δὲ ἄλλο τι τὸ αὐτό, ἀλλά τις ἡμῶν ἴδιόν τι ἔπασχε πάθος ἢ οἱ ἄλλοι, οὐκ ἂν ἦν ῥᾴδιον ἐνδείξασθαι D τῷ ἑτέρῳ τὸ ἑαυτοῦ πάθημα. λέγω δ' ἐννοήσας, ὅτι ἐγώ τε καὶ σὺ νῦν τυγχάνομεν ταὐτόν τι πεπονθότε, ἐρῶντε δύο ὄντε δυοῖν ἑκάτερος, ἐγὼ μὲν Ἀλκιβιάδου τε τοῦ Κλεινίου καὶ φιλοσοφίας, σὺ δὲ τοῦ τε Ἀθηναίων δήμου καὶ τοῦ Πυριλάμπους. αἰσθάνομαι οὖν σου ἑκάστοτε, καίπερ ὄντος δεινοῦ, ὅτι ὁπόσ' ἂν φῇ σου τὰ παιδικὰ καὶ ὅπως ἂν φῇ ἔχειν, οὐ δυναμένου ἀντιλέγειν, ἀλλ' ἄνω καὶ κάτω μεταβαλλομένου· ἔν τε τῇ ἐκκλησίᾳ, ἐάν τι σοῦ λέγοντος ὁ δῆμος ὁ Ἀθηναίων μὴ φῇ οὕτως ἔχειν, μεταβαλλόμενος λέγεις ἃ ἐκεῖνος βούλεται, καὶ πρὸς τὸν Πυριλάμπους νεανίαν τὸν καλὸν τοῦτον τοιαῦτα ἕτερα πέπονθας· τοῖς γὰρ τῶν παιδικῶν βουλεύμασί τε καὶ λόγοις οὐχ οἷός τ' εἶ ἐναντιοῦσθαι, ὥστε, εἴ τίς σου λέγοντος ἑκάστοτε, ἃ

*τᾶν*. Εἶνε αὐτολεξεὶ ἀνταπόδοσις τῆς αὐτῆς φράσεως ἣν ἐν ἀρχῇ (447 c) εἶπεν ὁ Καλλ. πρὸς Σωκ. καὶ Χαιρεφ. ἀλλὰ μετά τινος διαφόρου νοήματος· ἐκεῖ μὲν ὁ Καλλ. βεβαιοῖ αὐτοὺς ὅτι προθύμως θὰ διαλεχθῇ πρὸς αὐτοὺς ὁ Γοργ., ἐνταῦθα δὲ ὁ Χαιρεφῶν λέγει πρὸς τὸν Καλλ. νὰ ἐρωτήσῃ αὐτὸν τὸν Σωκρ. ἂν σπουδάζει ἢ παίζει· ἐκεῖ μὲν τὸ *αὐτὸν* εἶνε ἁπλῶς τριτοπρόσωπος ἀντων., ἐνταῦθα δὲ κεῖται μετ' ἐμφάσεως καὶ ἀντιδιαστολῆς = αὐτὸν τὸν ἴδιον ἀντ' ἐμοῦ.

7 *εἰ μή τι ἦν* κ. τ. λ. Ὅρα παρεκβολάς.

10 *Λέγω δ' ἐννοήσας*. = Λέγω δὲ ταῦτα ἐνθυμηθεὶς ἢ θέσας ἐν τῷ νῷ κ. τ. λ.

14 *καὶ τοῦ Πυριλάμπους*. Συμπλήρου: καὶ τοῦ Δήμου τοῦ υἱοῦ Πυριλάμπους.

*αἰσθάνομαι ὅτι — οὐ δυναμένου*. Ἡ συνήθης ἀνακολουθία. Ἔθεσε τὸ *ὅτι* ὡς κεφαλὴν εἰδικοῦ λόγου, προϊὼν δέ, οἷον λησμονήσας, ἔθεσε μετοχ. κατηγορ.

17 *ἔν τε τῇ ἐκκλησίᾳ* κ.τ.λ. Ὁ λόγος ἀσύνδετος πρὸς τὰ προηγούμενα, ὡς ἀνάπτυξις ἐκείνων. Ὅ τε μετὰ τοῦ ἑπομένου *καὶ πρὸς τὸν Πυριλάμπους*.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διὰ τούτους λέγεις, θαυμάζοι ὡς ἄτοπά ἐστιν, ἴσως εἴποις ἂν αὐτῷ, εἰ βούλοιο τἀληθῆ λέγειν, ὅτι, εἰ μή τις παύσει
482 τὰ σὰ παιδικὰ τούτων τῶν λόγων, οὐδὲ σὺ παύσει ποτὲ ταῦτα λέγων· νόμιζε τοίνυν καὶ παρ' ἐμοῦ χρῆναι ἕτερα τοιαῦτα ἀκούειν, καὶ μὴ θαύμαζε ὅτι ἐγὼ ταῦτα λέγω, ἀλλὰ τὴν φιλοσοφίαν, τὰ ἐμὰ παιδικά, παῦσον ταῦτα λέγουσαν· λέγει γάρ, ὦ φίλε ἑταῖρε, ἀεὶ ἃ νῦν ἐμοῦ ἀκούεις, καί μοί ἐστι τῶν ἑταίρων παιδικῶν πολὺ ἧττον ἔμπληκτος· ὁ μὲν γὰρ Κλεινίειος οὗτος ἄλλοτε ἄλλων ἐστὶ λόγων, ἡ δὲ φιλο-
B σοφία ἀεὶ τῶν αὐτῶν· λέγει δὲ ἃ σὺ νῦν θαυμάζεις, παρῆσθα δὲ καὶ αὐτὸς λεγομένοις· ἢ οὖν ἐκείνην ἐξέλεγξον, ὅπερ ἄρτι ἔλεγον, ὡς οὐ τὸ ἀδικεῖν ἐστὶ καὶ ἀδικοῦντα δίκην μὴ διδόναι ἁπάντων ἔσχατον κακῶν· ἢ εἰ τοῦτο ἐάσεις ἀνέλεγκτον, μὰ τὸν κύνα τὸν Αἰγυπτίων θεόν, οὔ σοι ὁμολογήσει Καλλικλῆς, ὦ Καλλίκλεις, ἀλλὰ διαφωνήσει ἐν ἅπαντι τῷ βίῳ.

1 *θαυμάζοι ὡς ἄτοπά ἐστι.* Εἰδ. λόγος — θαυμάζων λέγοι ὡς κ. τ. λ.

5 *μὴ θαύμαζε, ὅτι ἐγὼ κ.τ.λ.* Ἐνταῦθα τὸ αἴτιον τοῦ θαυμασμοῦ = μὴ θαύμαζε ἐφ' οἷς λέγω.

7 *ὦ φίλε ἑταῖρε.* Τὸ *φίλε* ἐπιθ. τοῦ *ἑταῖρε* ὡς οὐσιαστικοῦ. Τὸν ἀποκαλεῖ ἑταῖρον ὡς ὁμοιοπαθῆ ἐν τῷ ἔρωτι, μετὰ λεπτῆς εἰρωνείας.

8 *ἔμπληκτος* = ὁ ἀλλοπρόσαλλος, ὁ μεταπίπτων τὰς γνώμας ἢ δι' ἐπιλησμοσύνην ἢ δι' ἀστάθειαν χαρακτῆρος.

9 *ἄλλοτε ἄλλων ἐστὶ λόγων.* Ὀλυμπιόδ. «ἄλλοτε ἄλλοις χαίρει λόγοις».

10 *παρῆσθα δὲ καὶ αὐτὸς λεγομένοις*· ὥστε οὐκ ἔδει σε θαυμάζειν, ἀκούσαντα καὶ γνόντα τὴν ὀρθότητα τῶν συλλογισμῶν. Διὰ τούτων ἀναγκάζει τὸν Καλλ. νὰ ἐπιδείξῃ ποῦ κεῖται τὸ λάθος, ὥστε νὰ συμπερανθῶσι τοιαῦτα κατ' αὐτὸν ἄτοπα.

11 *ἐκείνην ἐξέλεγξον — ὡς οὐ τὸ ἀδικεῖν κ.τ.λ.* Ἐξέλεγξον ἐκείνην σφαλλομένην καὶ δεῖξον ὡς οὐ τὸ ἀδικεῖν κ. τ. λ.

14 *μὰ τὸν κύνα τὸν Αἰγυπτίων θεόν* Πρβλ. Ἀπολογ. ὑποσημ. σελ. 22 a. Εἶνε γνωστὸν ὅτι οἱ Αἰγύπτιοι ἐλάτρευον ὡς θεοὺς παντοδαπὰ ζῶα.

*οὔ σοι ὁμολογήσει Καλλικλῆς, ὦ Καλλ.* Τὴν ἐν τῇ ψυχῇ τοῦ ἀνθρώπου διχογνωμίαν παριστᾷ ὁ Σωκ. ὡς διαφωνίαν δύο προσώπων ὁμωνύμων. Ἂν ὁ Καλλ. δὲν παρίστατο κατὰ τὴν συζήτησιν καὶ ἠγνόει πῶς ἔχει τὸ ἀληθὲς περὶ τούτων, θὰ διεφώνει πρὸς τὴν ἀλήθειαν, ὅπως οἱ ἀμαθεῖς, οὐχὶ πρὸς ἑαυτόν· διότι θὰ ὑπελάμβανε τὰς περὶ τούτων δόξας ὡς ἀληθεῖς καὶ θὰ ἔπραττεν ἀκολούθως. Νῦν δὲ παρίστατο κατὰ τοὺς λόγους· ἢ λοιπὸν πρέπει νὰ ἀποδείξῃ αὐτοὺς ἡμαρτημένους, εἰ δὲ μή, θὰ διαφωνῇ ὁ ἐν τῷ Καλλικλεῖ λόγος, ὃν κηρύσσει ἡ ἀλήθεια, πρὸς τὸν ἐν τῷ Καλλικλεῖ λογισμόν, ὃν ὑπαγορεύουσι τὰ πάθη καὶ αἱ ὀρέξεις. Τὴν δὲ τοιαύτην διαφωνίαν ἀποφαίνει τὴν χειρίστην καὶ δυσφορωτάτην πάσης ἄλλης διαφωνίας. Πρβλ. καὶ τὰ κατωτέρω, σελ. 513 c.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καίτοι ἔγωγε οἶμαι, ὦ βέλτιστε, καὶ τὴν λύραν μοι κρεῖττον
εἶναι ἀνάρμοστόν τε καὶ διαφωνεῖν, καὶ χορὸν ᾧ χορηγοίην,
καὶ πλείστους ἀνθρώπους μὴ ὁμολογεῖν μοι ἀλλ' ἐναντία λέ- C
γειν μᾶλλον, ἢ ἕνα ὄντα ἐμὲ ἐμαυτῷ ἀσύμφωνον εἶναι καὶ
ἐναντία λέγειν.

ΛΗ΄. ΚΑΛ. Ὦ Σώκρατες, δοκεῖς νεανιεύεσθαι ἐν τοῖς λό-
γοις ὡς ἀληθῶς δημηγόρος ὤν· καὶ νῦν ταῦτα δημηγορεῖς
ταὐτὸν παθόντος Πώλου πάθος, ὅπερ Γοργίου κατηγόρει
πρὸς σὲ παθεῖν. ἔφη γάρ που Γοργίαν ἐρωτώμενον ὑπὸ σοῦ,
ἐὰν ἀφίκηται παρ' αὐτὸν μὴ ἐπιστάμενος τὰ δίκαια ὁ τὴν
ῥητορικὴν βουλόμενος μαθεῖν, εἰ διδάξει αὐτὸν ὁ Γοργίας, D
αἰσχυνθῆναι αὐτὸν καὶ φάναι διδάξειν διὰ τὸ ἔθος τῶν ἀν-
θρώπων, ὅτι ἀγανακτοῖεν ἂν εἴ τις μὴ φαίη· διὰ δὴ ταύ-
την τὴν ὁμολογίαν ἀναγκασθῆναι ἐναντία αὐτὸν αὑτῷ εἰ-
πεῖν, σὲ δὲ αὐτὸ τοῦτο ἀγαπᾶν. καί σου κατεγέλα, ὥς γέ
μοι δοκεῖν, ὀρθῶς τότε· νῦν δὲ πάλιν αὐτὸς ταὐτὸν τοῦτο
ἔπαθε, καὶ ἔγωγε κατ' αὐτὸ τοῦτο οὐκ ἄγαμαι Πῶλον, ὅτι
σοι συνεχώρησε τὸ ἀδικεῖν αἴσχιον εἶναι τοῦ ἀδικεῖσθαι· ἐκ E
ταύτης γὰρ αὖ τῆς ὁμολογίας αὐτὸς ὑπὸ σοῦ συμποδισθεὶς

2 *καὶ χορὸν ᾧ χορηγοίην*. Ἡ ἀναφορ. πρότασις εἶνε κατὰ τὴν ἔννοιαν ἐγγὺς τῆς ὑποθ. (εἰ χορηγοίην)· ἐντεῦθεν ἡ εὐκτ. ἄνευ τοῦ *ἄν*.

4 *μᾶλλον*. Μετὰ τὸ *κρεῖττον* πλεονάζει· ἀλλὰ διὰ τὴν μεγάλην ἀπόστασιν εὐλόγως ἐπαναλαμβάνει τὴν ἔννοιαν τῆς συγκρίσεως πρὸ τοῦ 6' ὅρου αὐτῆς.

6 *δοκεῖς νεανιεύεσθαι* = δοκεῖς ἡμῖν, φαίνεσαι, νομίζεσαι. Ἄλλοτε παραλείπεται ἡ δοτ. αὐτοπαθοῦς ἀντωνυμίας, καὶ τότε τὸ δοκεῖς εἶνε ἐνεργητ. διαθέσεως = νομίζεις. Τὸ δοκεῖς τι λέγειν ἐνδέχεται νὰ σημαίνῃ «δοκεῖς σαυτῷ, νομίζεις» καὶ «δοκεῖς τοῖς ἄλλοις, νομίζεσαι». Τὸ νεανιεύεσθαι = νεανικῶς λέγειν, δηλ. μετὰ νεανικῆς ὕβρεως καὶ ἰταμότητος. Αἰνίσσεται τὰ περὶ τῶν παιδικῶν ῥήματα τοῦ Σωκ.

7 *ὡς ἀληθῶς δημηγόρος ὤν*. Ἀποκαλεῖ τὸν Σωκ. δημηγόρον, τὸ μὲν ἀποβλέπων εἰς τὸν μακρὸν λόγον, τὸ δὲ εἰς τό, ὡς νομίζει ὁ Καλλ., ἀλαζονικὸν φρύαγμα αὐτοῦ ἐπὶ τῇ νίκῃ, ὡς μαρτυρεῖ καὶ τὸ κατωτέρω «καὶ νῦν ταῦτα δημηγορεῖς, ταὐτὸν παθόντος Πώλου πάθος κ. τ. λ.» Κατωτέρω σελ. 519 d ὀνομάζει αὐτὸς ὁ Σωκ. τὸν μακρὸν λόγον του δημηγορίαν.

8 *ὅπερ Γοργίου κατηγόρει*. Ἔμπροσθεν σελ. 461 b.

19 *συμποδισθεὶς ἐπεστομίσθη*. Τὸ *συμποδισθεὶς* μεταφορ. ἀπὸ τῶν ζώων ὧν συνδέοντες τοὺς πόδας καταβάλλουσι. Τὸ δὲ *ἐπεστομίσθη* = τὸ ἡμέτερον *ἀπεστομώθη*, ὥστε νὰ μὴ ἔχῃ τί νὰ εἴπῃ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐν τοῖς λόγοις ἐπεστομίσθη, αἰσχυνθεὶς ἃ ἐνόει εἰπεῖν. σὺ γὰρ τῷ ὄντι, ὦ Σώκρατες, εἰς τοιαῦτα ἄγεις φορτικὰ καὶ δημηγορικά, φάσκων τὴν ἀλήθειαν διώκειν, ἃ φύσει μὲν οὐκ ἔστι καλά, νόμῳ δέ. ὡς τὰ πολλὰ δὲ ταῦτα ἐναντία ἀλλήλοις ἐστίν, ἥ τε φύσις καὶ ὁ νόμος· ἐὰν οὖν τις αἰ-
483 σχύνηται καὶ μὴ τολμᾷ λέγειν ἅπερ νοεῖ, ἀναγκάζεται ἐναντία λέγειν. ὃ δὴ καὶ σύ, τοῦτο τὸ σοφόν, κατανενοηκὼς κακουργεῖς ἐν τοῖς λόγοις, ἐὰν μέν τις κατὰ νόμον λέγῃ, κατὰ φύσιν ὑπερωτῶν, ἐὰν δὲ τὰ τῆς φύσεως, τὰ τοῦ νόμου. ὥςπερ αὐτίκα ἐν τούτοις, τῷ ἀδικεῖν τε καὶ τῷ ἀδικεῖσθαι, Πώλου τὸ κατὰ νόμον αἴσχιον λέγοντος, σὺ τὸν νόμον ἐδιώκαθες κατὰ φύσιν. φύσει μὲν γάρ που αἴσχιόν ἐστιν ὅπερ καὶ κάκιον, τὸ ἀδικεῖσθαι, νόμῳ δὲ τὸ
B ἀδικεῖν. οὐδὲ γὰρ ἀνδρὸς τοῦτό γ' ἐστὶ τὸ πάθημα, τὸ

1 ***αἰσχυνθεὶς ἃ ἐνόει εἰπεῖν.*** Κατὰ τὸν Καλλ. ὁ Πῶλος, εἰπὼν ὅτι τὸ ἀδικεῖν ἐστιν αἴσχιον τοῦ ἀδικεῖσθαι, δὲν ἐξεδήλωσε τὸ ἀληθὲς φρόνημα ἑαυτοῦ, ἀλλὰ τὴν τῶν πολλῶν γνώμην.

*σὺ γὰρ τῷ ὄντι.* Τὸ τῷ ὄντι ὡς ἐπιβεβαίωσις τῶν ὑπὸ Πώλου πρότερον (σελ. 461 c) ὀνειδισθέντων Σωκράτει· «ἀλλ' εἰς τὰ τοιαῦτα ἄγειν πολλὴ ἀγροικία ἐστὶ τοὺς λόγους».

2 ***φορτικὰ καὶ δημηγορικά.*** Φορτικὰ μὲν τὰ ὀχληρά, πρὸς ἃ αἰσχύνεταί τις νὰ εἴπῃ ὅτι φρονεῖ· δημηγορικὰ δὲ τὰ στοχαζόμενα τῆς ἐπιδοκιμασίας τοῦ ὄχλου.

7 ***ὃ δὴ καὶ σύ, τοῦτο τὸ σοφόν.*** *Τοῦτο τὸ σοφὸν* παρενεβλήθη ὡς εἰρωνικὴ ἐπεξήγησις τοῦ ὃ δή.

8 ***κακουργεῖς ἐν τοῖς λόγοις.*** Τί σημαίνει ἐνταῦθα τὸ *κακουργεῖς* τὸ ἑρμηνεύει διὰ τῶν ἐπιφερομένων. Ἱππ. Ἐλ. 373 b· «ἔοικε (Σωκ.) ὥςπερ κακουργοῦντι». Πολιτ. 314 a· «οὐ γὰρ ἄν με λάθοις κακουργῶν».

9 ***ὑπερωτῶν*** = λεληθότως καὶ δολίως ἐρωτῶν.

12 ***σὺ τὸν νόμον ἐδιώκαθες κατὰ φύσιν*** = σὺ τὸ κατὰ νόμον αἴσχιον ἐλάμβανες ὡς κατὰ φύσιν αἴσχιον καὶ ἀπεδείκνυες τὰ ἐκ τοῦ κατὰ νόμον αἰσχίονος συμβαίνοντα ὡς ἐκ τοῦ κατὰ φύσιν αἰσχίονος συμβαίνοντα. Ἐδιώκαθες = μετεδίωκες ἀνενδότως.

*φύσει μὲν γάρ που.* Ὁ Καλλ. ἐπανορθοῖ ἐνταῦθα τὰ ὑπὸ τοῦ Πώλου πλημμελῶς τεθέντα, ὡς νομίζει αὐτὸς ὅτι ἔχει τὸ ὀρθόν. Ἐν ᾧ ὁ Πῶλος ἠρνήθη ὅτι τὸ αἴσχιον εἶνε καὶ κάκιον, ὁ Καλλ. ἀποφαίνεται ὅτι ναὶ μὲν ὀρθῶς λέγει ὁ Σωκ. ὅτι συμπίπτουσι κακὸν καὶ αἰσχρόν, ἀλλ' ὅτι τοιοῦτον εἶνε φύσει μὲν τὸ ἀδικεῖσθαι, νόμῳ δὲ τὸ ἀδικεῖν, οὐχὶ δὲ τἀνάπαλιν, ὡς θέλει ὁ Σωκ.

14 ***οὐδὲ γὰρ ἀνδρὸς — ἀλλ' ἀνδραπόδου.*** Ἡ ἀντίθεσις τῶν δύο ἐννοιῶν γίνεται ζωηροτέρα διὰ τὴν παρωνυμίαν *ἀνδρός, ἀνδραπόδου*. Συμπ. 189 b· «ὡς ἐγὼ φοβοῦμαι περὶ τῶν μελλόντων ῥηθήσεσθαι οὔ τοι μὴ γελοῖα εἴπω — ἀλλὰ μὴ καταγέλαστα». Ἄνδρα λέγει ἐνταῦθα τὸν ἔχοντα ἀνδρικὸν χαρακτῆρα, τὸν μεγαλόφρονα, ἐλευθέριον κ.τ.τ. Ὁ Ἡρόδ. Ζ', 210

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀδικεῖσθαι, ἀλλ᾽ ἀνδραπόδου τινός, ᾧ κρεῖττόν ἐστι τεθνάναι ἢ ζῆν, ὅςτις ἀδικούμενος καὶ προπηλακιζόμενος μὴ οἷός τε ἐστὶν αὐτὸς αὑτῷ βοηθεῖν μηδὲ ἄλλῳ οὗ ἂν κήδηται. ἀλλ᾽, οἶμαι, οἱ τιθέμενοι τοὺς νόμους οἱ ἀσθενεῖς ἄνθρωποί εἰσι καὶ οἱ πολλοί. πρὸς αὑτοὺς οὖν καὶ τὸ αὑτοῖς συμφέρον τούς τε νόμους τίθενται καὶ τοὺς ἐπαίνους ἐπαινοῦσι καὶ τοὺς ψόγους ψέγουσιν· ἐκφοβοῦντες τοὺς ἐρρωμενεστέρους C τῶν ἀνθρώπων καὶ δυνατοὺς ὄντας πλέον ἔχειν, ἵνα μὴ αὐτῶν πλέον ἔχωσι, λέγουσιν ὡς αἰσχρὸν καὶ ἄδικον τὸ πλεονεκτεῖν, καὶ τοῦτό ἐστι τὸ ἀδικεῖν, τὸ πλέον τῶν ἄλλων ζητεῖν ἔχειν· ἀγαπῶσι γάρ, οἶμαι, αὐτοὶ ἂν τὸ ἴσον ἔχωσι φαυλότεροι ὄντες.

ΛΘ΄. Διὰ ταῦτα δὴ νόμῳ μὲν τοῦτο ἄδικον καὶ αἰσχρὸν λέγεται, τὸ πλέον ζητεῖν ἔχειν τῶν πολλῶν, καὶ ἀδικεῖν αὐτὸ καλοῦσιν· ἡ δέ γε, οἶμαι, φύσις αὐτὴ ἀποφαίνει αὐτό, D ὅτι δίκαιόν ἐστι τὸν ἀμείνω τοῦ χείρονος πλέον ἔχειν καὶ τὸν δυνατώτερον τοῦ ἀδυνατωτέρου. δῆλα δὲ ταῦτα πολλαχοῦ ὅτι οὕτως ἔχει, καὶ ἐν τοῖς ἄλλοις ζώοις καὶ τῶν ἀνθρώπων ἐν ὅλαις ταῖς πόλεσι καὶ τοῖς γένεσιν, ὅτι οὕτω τὸ δίκαιον κέκριται, τὸν κρείττω τοῦ ἥττονος ἄρχειν καὶ πλέον ἔχειν. ἐπεὶ ποίῳ δικαίῳ χρώμενος Ξέρξης ἐπὶ τὴν E

ἀντιθέτει τοὺς ἄνδρας πρὸς τοὺς ἀνθρώπους· «Δῆλον δ᾽ ἐποίευν παντί τεῳ, καὶ οὐχ ἥκιστα αὐτῷ βασιλέϊ, ὅτι πολλοὶ μὲν ἄνθρωποι εἶεν, ὀλίγοι δὲ ἄνδρες».

2 *ὅςτις ἀδικούμενος*. Προτ. ἐπεξηγημ. τοῦ: *τὸ ἀδικεῖσθαι*, ὅπερ καὶ αὐτὸ ἐπεξ. τοῦ: *τοῦτο τὸ πάθημα*.

4 *οἱ τιθέμενοι τοὺς νόμους* κ. τ. λ. Οἱ τιθέμενοι τ. ν. ὑποκ., οἱ ἀσθενεῖς καὶ οἱ πολλοὶ κατηγ. Ὅρα παρεκβλ. εἰς Ἀπολ. σελ. 19 d. Περὶ τοῦ τιθέναι καὶ τίθεσθαι νόμους, ἔπιθι πρκβλ. εἰς σελ. 489 c.

11 *ἀγαπῶσι*=στέργουσιν, ἀρκοῦνται. Συνήθως μετὰ κατηγορ. μετ. ἀγαπῶ ἔχων τι. Ἐπειδὴ δὲ ἐνταῦθα ἐκεῖνο δ ἀγαπῶσι δὲν τὸ κατέχουσι βεβαίως, διὰ τοῦτο ἐξηνέχθη δι᾽ ὑποθ. προτ.

15 *ἡ δέ γε, οἶμαι, φύσις* κ.τ.λ. Μέχρι τοῦδε ὁ Καλλ. τὸ ἀδικεῖν ὠνόμαζεν ἀδικεῖν, ἀπέφαινε δ᾽ αὐτὸ φύσει κάλλιον τοῦ ἀδικεῖσθαι· νῦν προβαίνει εἰς ἀναίρεσιν καὶ αὐτοῦ τοῦ ὅρου, ἰσχυριζόμενος ὅτι τὸ καλούμενον ὑπὸ τῶν ἀνθρώπων ἀδικεῖν, φύσει εἶνε δικαιοπραγεῖν.

18 ***καὶ τῶν ἀνθρώπων ἐν ὅλαις ταῖς πόλεσιν*** = ἐν ὁλοκλήροις, ἐν ταῖς σχέσεσιν ὅλης πόλεως πρὸς ὅλην πόλιν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἑλλάδα ἐστράτευσεν ἢ ὁ πατὴρ αὐτοῦ ἐπὶ Σκύθας ἤ; — ἄλλα μυρία ἄν τις ἔχοι τοιαῦτα λέγειν· ἀλλ', οἶμαι, οὗτοι κατὰ φύσιν [τὴν τοῦ δικαίου] ταῦτα πράττουσι, καὶ ναὶ μὰ Δία κατὰ νόμον γε τὸν τῆς φύσεως, οὐ μέντοι ἴσως κατὰ τοῦτον, ὃν ἡμεῖς τιθέμεθα· πλάττοντες τοὺς βελτίστους καὶ ἐρρωμενεστάτους ἡμῶν αὐτῶν, ἐκ νέων λαμβά-
484 νοντες, ὥσπερ λέοντας, κατεπᾴδοντές τε καὶ γοητεύοντες καταδουλούμεθα λέγοντες, ὡς τὸ ἴσον χρὴ ἔχειν καὶ τοῦτό ἐστι τὸ καλὸν καὶ τὸ δίκαιον. ἐὰν δέ γε, οἶμαι, φύσιν ἱκανὴν γένηται ἔχων ἀνήρ, πάντα ταῦτα ἀποσεισάμενος καὶ διαρρήξας καὶ διαφυγών, καταπατήσας τὰ ἡμέτερα γράμματα καὶ μαγγανεύματα καὶ ἐπῳδὰς καὶ νόμους τοὺς παρὰ

ὅπου δὲν ὑφίσταται θετὸς νόμος, ἀλλὰ μόνον ὁ φυσικός.

1 *ἢ ἄλλα μυρία* κ. τ. λ. Πρβλ. Ἀπολ. 41 c.

3 *καὶ ναὶ μὰ Δία* κ. τ. λ. Διὰ τούτων ἐπανορθοῖ τρόπον τινὰ ἑαυτόν. Ἐν ᾧ μέχρι τοῦδε ἀντέθετε φύσιν καὶ νόμον, ἤδη λαμβάνει τὸν νόμον ὡς γένος, εἴδη δὲ αὐτοῦ τὸν φυσικὸν καὶ τὸν θετὸν νόμον. Εἶχεν ἀνάγκην νὰ τροποποιήσῃ οὕτω τοὺς ὅρους· διότι κατωτέρω ἐπιμαρτύρεται τὸν Πίνδαρον· ὁ δὲ Πίνδ. ὁμιλεῖ περὶ νόμου, νοῶν τὸν τῆς φύσεως.

5 *πλάττοντες τοὺς βελτίστους* κ.τ.λ. Ἀπὸ τοῦ *πλάττοντες* ἄρχεται νέος λόγος ὡς ἐπεξηγ. καὶ ἀνάπτυξις τοῦ: *ὃν νόμον ἡμεῖς τιθέμεθα.* Ἡ σύνταξις ἔχει ὧδε· Λαμβάνοντες τοὺς βελτίστους καὶ ἐρρωμενεστάτους ἡμῶν αὐτῶν ἐκ νέων, ὥςπερ λέοντας, πλάττομεν αὐτοὺς κατεπᾴδοντες καὶ γοητεύοντες, οὕτω δὲ (πλάσαντες) καταδουλούμεθα αὐτούς». Τὰ ἑπόμενα: *λέγοντες ὡς τὸ ἴσον* κ.τ λ. ἐπιφέρονται ὡς ἀνάπτυξις τοῦ: κατεπᾴδοντες καὶ γοητεύοντες. Τὸ λαμβάνειν ἢ παραλαμβάνειν τινὰ ἐκ νέων ἢ ἐκ παίδων (Πρβλ. Ἀπολ. 18 b) σημαίνει τρόπον τινὰ παραλαβὴν ὡς τακτικῶν μαθητῶν καὶ τροφίμων πρὸς διδασκαλίαν καὶ παιδαγώγησιν. Τό: ὥςπερ λέοντας = ὅπως παραλαμβάνει τις τοὺς λέοντας, σκύμνους ἔτι ὄντας, ὅτε ἡ ἐξημέρωσις εἶνε εὐκατόρθωτος. Τὸ «*κατεπᾴδω τινὰ* = δι' ἐπῳδῶν ἐξημερώνω, ἢ δαμάζω, ἢ κατευνάζω τινά»· *ἐπῳδαὶ* δὲ = τὰ ᾄσματα, αἱ εὐχαί, οἱ λόγοι, οὓς ᾖδον ἢ ἀπήγγελλον ἐπὶ ἀσθενοῦς τὸ σῶμα ἢ τὴν ψυχὴν ἰδίως αἱ γυναῖκες αἱ ἐπαγγελλόμεναι ὅτι εἶχον μυστικήν τινα καὶ ὑπερφυσικὴν ἰατρείας δύναμιν. (Πρβλ. Χαρμ. 155 e καὶ ἑξ.) Τὸ γοητεύω = δι' ὑπερφυσικῶν τρόπων θέλγω τινὰ καὶ ὑποτάσσω ὑπὸ τὴν θέλησίν μου.

10 *ἀποσεισάμενος* κ.τ.λ. Λέξεις κυριολεκτούμεναι ἐπὶ δεσμίων.

11 *τὰ ἡμέτερα γράμματα* κ. τ. λ. Γράμματα λέγει πᾶν ὅ τι διὰ τῆς γραφῆς δουλαγωγεῖ τὰς γενναίας φύσεις· καὶ τὰ συγγράμματα ἄρα ποιητῶν τὰ διδασκόμενα τοῖς νέοις καὶ πᾶν ἄλλο τοιοῦτον. Μαγγανεύματα ἐλέγοντο τὰ τῶν θαυματοποιῶν (τῶν ταχυδακτυλουργῶν, ὡς λέγομεν σήμερον) τεχνάσματα. Ἐπῳδαὶ εἶνε αὐτὰ τὰ διδάγματα τῶν νέων τὰ περὶ ἰσότητος καὶ δικαιοσύνης.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φύσιν ἅπαντας, ἐπαναστὰς ἀνεφάνη δεσπότης ἡμέτερος ὁ δοῦλος, καὶ ἐνταῦθα ἐξέλαμψε τὸ τῆς φύσεως δίκαιον. δο- B
κεῖ δέ μοι καὶ Πίνδαρος ἅπερ ἐγὼ λέγω ἐνδείκνυσθαι ἐν τῷ ᾄσματι ἐν ᾧ λέγει ὅτι

νόμος ὁ πάντων βασιλεὺς
θνατῶν τε καὶ ἀθανάτων·

οὗτος δὲ δή, φησίν,

ἄγει δικαιῶν τὸ βιαιότατον
ὑπερτάτᾳ χειρί· τεκμαίρομαι
ἔργοισιν Ἡρακλέος, ἐπεὶ ἀπριάτας —

λέγει οὕτω πως· τὸ γὰρ ᾆσμα οὐκ ἐπίσταμαι· λέγει δ' ὅτι

1 *ἐπαναστάς*. Ἡ μὲν *ἀνὰ* τὴν ἀνόρθωσιν τοῦ κατακειμένου δεσμίου, ἡ δὲ *ἐπὶ* τὴν ἐπίθεσιν αὐτοῦ κατὰ τῶν καθεστώτων.

*ἀνεφάνη — ἐξέλαμψεν*. Ὅπως ἐπὶ ἱστορικῶν γεγονότων (ἅτινά εἰσι τῶν καθ' ἕκαστον), ἀντὶ τοῦ ἀορ. τιθέμενος ὁ ἐνεστὼς παριστᾷ τὴν παρελθοῦσαν πρᾶξιν πρὸ ὀμμάτων ὡς νῦν γινομένην, οὕτως ἀνάπαλιν καθολικαὶ γνῶμαι, αἷς κατὰ κανόνα ἁρμόζει ὁ ἐνεστώς, ἐκφέρονται δι' ἀορίστου, δι' οὗ παρίσταται τὸ συνήθως γινόμενον ὡς γεγονὸς ἤδη, ὡς βέβαιον ἄρα καὶ ἀνεπίδεκτον ἀμφισβητήσεως. Ἰσοκρ. πρὸς Δημ. § 1· «τὰς μὲν τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσε». § 6 «ῥώμη δὲ μετὰ μὲν φρονήσεως ὠφέλησεν, ἄνευ δὲ ταύτης πλείω τοὺς ἔχοντας ἐλυμήνατο· καὶ τὰ μὲν σώματα τῶν ἀσκούντων ἐκόσμησε, ταῖς δὲ τῆς ψυχῆς ἐπιμελείαις ἐπεσκότησεν». Δημοσθ. Ὀλυνθ. Β', § 9· «ὅταν δ' ἐκ πλεονεξίας καὶ πονηρίας τις ὥςπερ οὗτος ἰσχύσῃ, ἡ πρώτη πρόφασις καὶ μικρὸν πταῖσμα ἅπαντα ἀνεχαίτισε καὶ διέλυσεν».

2 *ἐξέλαμψε*. Μεταφ. ἀπὸ πυρὸς μακρὸν χρόνον ὑποκαίοντος, αἴφνης δέ ποτε ἀναδίδοντος λαμπρὰν φλόγα.

3 *ἐν τῷ ᾄσματι*. Τὸ ᾆσμα τοῦτο τοῦ Πινδ. ἀπωλέσθη. Ὁ Βοίκχιος, ὁδηγούμενος καὶ ὑπὸ τοῦ σχολιαστοῦ τοῦ Πινδάρου, συνέλεξε τὰ περισωθέντα καὶ συνεπλήρωσεν ὧδε·

Νόμος ὁ πάντων βασιλεὺς
θνατῶν τε καὶ ἀθανάτων
. . . . . . . . .
ἄγει δικαιῶν τὸ βιαιότατον
ὑπερτάτᾳ χειρί· τεκμαίρομαι
ἔργοισιν Ἡρακλέος, ἐπεὶ Γηρυόνα βόας
Κυκλωπίων ἐπὶ προθύρων Εὐρυσθέος
ἀναιτήτας τε καὶ ἀπριάτας ἤλασεν.

Ἐν ποίῳ καιρῷ ἐποίησε ταῦτα Πίνδαρος καὶ ποία ἡ ἀληθὴς γνώμη τοῦ ποιητοῦ μένει ἄδηλον. Εἰκάζεται ὅτι λέγει ταῦτα περὶ τῆς μοίρας ἢ τῆς εἱμαρμένης, εἰς ἣν ὑπετάσσοντο καὶ οἱ θεοί. Τοὺς αὐτοὺς στίχους τοῦ Πινδ. αἰνίττεται ὁ Πλ. ἐν Νόμ. 690 b, καὶ 715 a.

Ὁ Γηρυόνης ἐμυθολογεῖτο υἱὸς τοῦ Χρυσάορος καὶ τῆς Ὠκεανίνης Καλλιρρόης, γίγας τρισώματος καὶ τρικέφαλος. Κατῴκει ἐπὶ τῆς νήσου Ἐρυθείας ἔνθα ἐβουκόλει. Τούτου τὰς βοῦς ἤλασεν ὁ Ἡρακλῆς κατ' ἐντολὴν τοῦ Εὐρυσθέως.

10 *ἐπεὶ ἀπριάτας*. Ὑποτίθεται ὁ Καλλ. διακόψας τὸν λόγον καὶ σκεπτόμενος. Μὴ εὑρίσκων δὲ τὴν συνέχειαν τοῦ ᾄσματος, λέγει τὸ νόημα αὐτοῦ.

11 *τὸ γὰρ ᾆσμα οὐκ ἐπίσταμαι*. Τό: *οὐκ ἐπίσταμαι* ἐνταῦθα = *οὐ μνημο-*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὔτε πριάμενος οὔτε δόντος τοῦ Γηρυόνου ἠλάσατο τὰς C βοῦς, ὡς τούτου ὄντος τοῦ δικαίου φύσει, καὶ βοῦς καὶ τἆλλα κτήματα εἶναι πάντα τοῦ βελτίονός τε καὶ κρείττονος τὰ τῶν χειρόνων τε καὶ ἡττόνων.

Μ΄. Τὸ μὲν οὖν ἀληθὲς οὕτως ἔχει, γνώσει δέ, ἂν ἐπὶ τὰ μείζω ἔλθῃς ἐάσας ἤδη φιλοσοφίαν. φιλοσοφία γάρ τοί ἐστιν, ὦ Σώκρατες, χαρίεν, ἄν τις αὐτοῦ μετρίως ἅψηται ἐν τῇ ἡλικίᾳ· ἐὰν δὲ περαιτέρω τοῦ δέοντος ἐνδιατρίψῃ, διαφθορὰ τῶν ἀνθρώπων. ἐὰν γὰρ καὶ πάνυ εὐφυὴς ᾖ καὶ πόρρω τῆς ἡλικίας φιλοσοφῇ, ἀνάγκη πάντων ἄπειρον D γεγονέναι ἐστίν, ὧν χρὴ ἔμπειρον εἶναι τὸν μέλλοντα καλὸν κἀγαθὸν καὶ εὐδόκιμον ἔσεσθαι ἄνδρα. καὶ γὰρ τῶν νόμων ἄπειροι γίγνονται τῶν κατὰ τὴν πόλιν, καὶ τῶν λόγων, οἷς δεῖ χρώμενον ὁμιλεῖν ἐν τοῖς συμβολαίοις τοῖς ἀνθρώποις καὶ ἰδίᾳ καὶ δημοσίᾳ, καὶ τῶν ἡδονῶν τε καὶ ἐπιθυμιῶν τῶν ἀνθρωπείων, καὶ συλλήβδην τῶν ἠθῶν παντάπασιν ἄπειροι γίγνονται. ἐπειδὰν οὖν ἔλθωσιν εἴς τινα ἰδίαν ἢ πολιτικὴν πρᾶξιν, καταγέλαστοι γίγνονται,

νεύω ἀκριβῶς τὰς λέξεις αὐτοῦ· διότι τὸ νόημα ἠπίστατο.

5 *Τὸ μὲν οὖν ἀληθὲς* κ. τ. λ. Ὁ Καλλ. φρονεῖ ὅτι ὁ Σωκ. διὰ τὴν μικρολόγον φιλοσοφίαν δὲν δύναται νὰ μεταρσιωθῇ, ὥστε νὰ ἴδῃ πῶς κατ᾿ ἀλήθειαν ἔχουσι τὰ πράγματα τοῦ κόσμου τούτου.

6 *φιλοσοφία γὰρ—χαρίεν*. Ὡς Ἀθηναῖος πεπαιδευμένος ὁ Καλλ. δὲν εἶνε ἀναίσθητος τῆς ἐκ τῆς φιλοσοφίας χάριτος καὶ ὠφελείας τοῦ ἀνθρώπου· ἀλλὰ νομίζει αὐτὴν χρήσιμον μόνον ὡς παίδευμα, ὡς γύμνασμα τῶν νέων, οὐχὶ ὡς κύριον ἀσχόλημα διὰ παντὸς τοῦ βίου τοῦ ἀνθρώπου.

8 *ἐν τῇ ἡλικίᾳ*· τῇ προσηκούσῃ δηλ. πρὸς τοιαύτας μελέτας, τῇ μαθητικῇ.

9 *διαφθορὰ τῶν ἀνθρώπων*. Πῶς νοεῖ τὴν διαφθοράν, διασαφεῖ αὐτὸς διὰ τῶν ἐπιφερομένων· ὅτι καθιστᾷ τοὺς ἀνθρώπους μικρολόγους καὶ μικροπρεπεῖς, ἀδυνατοῦντας νὰ λάβωσι πεῖραν τοῦ κόσμου.

10 *πόρρω τῆς ἡλικίας*. Ἡ γεν. τοῦ *πόρρω* δηλοῖ τὸ τοπικὸν ἢ χρον. διάστημα ἐφ᾿ οὗ βαίνει τις πόρρω· τροπικῶς δὲ καὶ πᾶν ὅ τι θεωρεῖται ὡς διάστημα, ὡς μῆκος ἔχον, οἷον ἡ νύξ, ἡ ἡλικία, ἡ μάθησις, ἡ σοφία.

14 *ὁμιλεῖν τοῖς ἀνθρώποις*. Τὸ ὁμιλεῖν (ὁμοῦ - ἴλη) κυρίως = συναναστρέφεσθαι. Ἐπειδὴ δὲ ἡ συναναστροφὴ τῶν ἀνθρώπων γίνεται κυρίως διὰ λόγου, ἐντεῦθεν τὸ ὁμιλεῖν ἔλαβε τὴν ἔννοιαν τοῦ διαλέγεσθαι.

*ἐν τοῖς συμβολαίοις* = κατὰ τὰς συναλλαγάς.

18 *καταγέλαστοι γίγνονται*. Τοῦτο ὡμολόγησε καὶ ὁ Σωκ. περὶ ἑαυτοῦ πρὸς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὥςπερ γε, οἶμαι, οἱ πολιτικοί, ἐπειδὰν αὖ εἰς τὰς ὑμετέρας E διατριβὰς ἔλθωσι καὶ τοὺς λόγους, καταγέλαστοί εἰσι. συμβαίνει γὰρ τὸ τοῦ Εὐριπίδου· λαμπρός τ' ἐστὶν ἕκαστος ἐν τούτῳ, κἀπὶ τοῦτ' ἐπείγεται,

νέμων τὸ πλεῖστον ἡμέρας τούτῳ μέρος,
ἵν' αὐτὸς αὑτοῦ τυγχάνει βέλτιστος ὤν·

ὅπου δ' ἂν φαῦλος ᾖ, ἐντεῦθεν φεύγει καὶ λοιδορεῖ τοῦτο, 485
τὸ δ' ἕτερον ἐπαινεῖ εὐνοίᾳ τῇ ἑαυτοῦ, ἡγούμενος οὕτως αὐτὸς ἑαυτὸν ἐπαινεῖν. ἀλλ', οἶμαι, τὸ ὀρθότατόν ἐστιν ἀμφοτέρων μετασχεῖν· φιλοσοφίας μὲν ὅσον παιδείας χάριν

τὸν Πῶλον, σελ. 474 a. Εἶνε γνωστὸν καὶ βέβαιον ὅτι καὶ οἱ μωροὶ καὶ οἱ ἀπαίδευτοι καταγελῶσι τῶν φρονίμων καὶ πεπαιδευμένων καὶ οὗτοι πάλιν ἐκείνων. Τὸ ζήτημα εἶνε, πότεροι ποτέρων ἀληθέστερον καταγελῶσι. Πρβλ. Θεαίτ. 173 c ἑξ.

1 *ὥςπερ γε οἱ πολιτικοὶ* κ. τ. λ. Λίαν ἐπικαίρως παρεμβάλλει ταῦτα ὁ Καλλ. Πρῶτον μὲν ἐπιδεικνύει Ἀττικὴν ἁβροφροσύνην συγκαταβιβάζων καὶ ἑαυτὸν εἰς τὴν τάξιν τῶν κατὰ τὰς περιστάσεις καταγελάστων γινομένων· ἔπειτα δικαιολογεῖ πως τὸν Γοργίαν καὶ τὸν Πῶλον, γενομένους καταγελάστους ὑπὸ τῆς φιλοσοφικῆς λεπτολογίας τοῦ Σωκ., τέλος δέ, προοδοποιεῖ εἰς τὴν εἴσοδον τοῦ Εὐριπίδου, ὅςτις δὲν ἀποφαίνεται μονομερῶς ὑπὲρ τῶν πολιτικῶν ἢ κατὰ τῶν φιλοσόφων, ἀλλ' ὅτι ἕκαστος τιμᾷ τὸ ἑαυτοῦ ἐπιτήδευμα καὶ καταφρονεῖ τὸ ἀλλότριον.

2 *Συμβαίνει γὰρ τὸ τοῦ Εὐριπίδου*. Οἱ παρατιθέμενοι στίχοι εἰσὶν ἐκ τῆς ἀπολεσθείσης Ἀντιόπης. Ὁ Οὐαλκενάριος συνέταξεν αὐτοὺς ὧδε·

. . . . . . . . ἐν τούτῳ γέ τοι
λαμπρὸς θ' ἕκαστος, κἀπὶ τοῦτ' ἐπείγεται,
νέμων τὸ πλεῖστον ἡμέρας τούτῳ μέρος,
ἵν' αὐτὸς αὑτοῦ τυγχάνει κράτιστος ὤν.

6 *αὐτὸς αὑτοῦ κράτιστος*. Συνηθέστερον τὸ συγκρ. κρείττων ἢ ἥττων αὐτὸς ἑαυτοῦ. Ἡ φράσις φαίνεται παράλογος, πῶς ἐνδέχεται νὰ εἶνέ τις κρείττων ἑαυτοῦ; διότι ὁ κρείττων ἑαυτοῦ ἀναγκαίως ἔσται ἅμα καὶ ἥττων ἑαυτοῦ, ὅπερ ἄτοπον. Τὸ πρᾶγμα ἔχει ὧδε· Α', ἐνδέχεται νὰ γίνηται ἡ σύγκρισις πρὸς ἑαυτὸν κατὰ διάφορον ἡλικίαν. Οὕτω δύναμαι νὰ εἴπω περὶ νεανίου προκόπτοντος ἐν ἡλικίᾳ καὶ παιδείᾳ ὅτι καθίσταται ὁσημέραι κρείττων ἑαυτοῦ, καὶ τἀνάπαλιν. Ξνφ. Ἀπομν. Α', 6', 46· « Εἴθε σοι, ὦ Περίκλεις, τότε συνεγενόμην, ὅτε δεινότατος σαυτοῦ ταῦτα ἦσθα ». Β', ἐνδέχεται νὰ γίνηται ἡ σύγκρισις πρὸς ἑαυτὸν διάφορα ἔργα ἐπιτηδεύοντα· καὶ τοῦτο λέγει ἐνταῦθα ὁ Εὐριπίδης. Γ', ὑπολαμβανομένης συνθέτου τῆς ψυχῆς τοῦ ἀνθρώπου καὶ ἐφ' ἑκάστου μορίου αὐτῆς ἐπιφερομένου τοῦ *ἐγώ*· (ἐγὼ εἰμὶ ὁ ἐπιθυμῶν, ἐγὼ ὁ θυμούμενος, ἐγὼ ὁ φρονῶν), λέγεται κρείττων ἑαυτοῦ ὁ φρονῶν καὶ διὰ τῆς φρονήσεως κρατῶν τοῦ θυμοῦ καὶ τῶν ἐπιθυμιῶν, ἥττων δὲ ἑαυτοῦ ἐκεῖνος οὗ ἡ κυρία ὑπόστασις, ὁ νοῦς καὶ ἡ φρόνησις, ἡττᾶται τῶν ἄλλων μορίων τῆς ψυχῆς. Πρβλ. Πολ. 430 e, Νόμ. 627 a, b, 645 b.

7 *ὅπου δ' ἂν φαῦλος ᾖ*. Δὲν νοεῖ ἠθικὴν φαυλότητα, ἀλλ' ἀπειρίαν, ἀδαημοσύνην.

10 *ὅσον παιδείας χάριν*. Νοεῖ τὴν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καλὸν μετέχειν, καὶ οὐκ αἰσχρὸν μειρακίῳ ὄντι φιλοσοφεῖν· ἐπειδὰν δὲ ἤδη πρεσβύτερος ὢν ἄνθρωπος ἔτι φιλοσοφῇ, καταγέλαστον, ὦ Σώκρατες, τὸ χρῆμα γίγνεται, B καὶ ἔγωγε ὁμοιότατον πάσχω πρὸς τοὺς φιλοσοφοῦντας ὥσπερ πρὸς τοὺς ψελλιζομένους καὶ παίζοντας. ὅταν μὲν γὰρ παιδίον ἴδω, ᾧ ἔτι προσήκει διαλέγεσθαι οὕτω, ψελλιζόμενον καὶ παῖζον, χαίρω τε καὶ χαρίεν μοι φαίνεται καὶ ἐλευθέριον καὶ πρέπον τῇ τοῦ παιδίου ἡλικίᾳ, ὅταν δὲ σαφῶς διαλεγομένου παιδαρίου ἀκούσω, πικρόν τί μοι δοκεῖ χρῆμα εἶναι καὶ ἀνιᾷ μου τὰ ὦτα καί μοι δοκεῖ δουλοπρεπές τι εἶναι· ὅταν δὲ ἀνδρὸς ἀκούσῃ τις ψελλιζομένου ἢ παίζοντα C ὁρᾷ, καταγέλαστον φαίνεται καὶ ἄνανδρον καὶ πληγῶν ἄξιον. ταὐτὸν οὖν ἔγωγε τοῦτο πάσχω καὶ πρὸς τοὺς φιλοσοφοῦντας. παρὰ νέῳ μὲν γὰρ μειρακίῳ ὁρῶν φιλοσοφίαν ἄγαμαι, καὶ πρέπειν μοι δοκεῖ, καὶ ἡγοῦμαι ἐλεύθερόν τινα εἶναι τοῦτον τὸν ἄνθρωπον, τὸν δὲ μὴ φιλοσοφοῦντα ἀνελεύθερον καὶ οὐδέποτε οὐδενὸς ἀξιώσοντα ἑαυτὸν οὔτε καλοῦ οὔτε γενναίου πράγματος· ὅταν δὲ δὴ πρεσβύτερον ἴδω ἔτι φιλοσοφοῦντα καὶ μὴ ἀπαλλαττόμενον, πληγῶν μοι

ἐγκύκλιον παιδείαν, ἧς ὤφειλε νὰ μεταλάβῃ πᾶς νέος τῶν εὐγενεστέρων καὶ εὐπορωτέρων. (Πρωταγ. 312 b).

3 *καταγέλαστον, ὦ Σώκ.* Ἡ ἄμεσος ἐπιφορὰ τοῦ ὦ Σώκρατες, μετὰ τὸ καταγέλαστον, εἶνε ὡς νὰ λέγῃ εἰς τὸ πρόσωπον τοῦ Σωκ. ὅτι εἶσαι καταγέλαστος. Ὁμοίως κατωτέρω· «πληγῶν μοι δοκεῖ ἤδη δεῖσθαι, ὦ Σώκ., οὗτος ὁ ἀνήρ».

6 *ψελλιζόμενον καὶ παῖζον·* παῖζον ἐν τῷ λέγειν, δηλ. παιδαριευόμενον.

8 *ὅταν δὲ σαφῶς διαλεγομένου* κ. τ. λ. Ὁ Καλλ. φαίνεται ὅτι εἶχε πρὸ ὀφθαλμῶν παιδία προώρως ἐθισθέντα ὑπὸ τῶν ἀναγκῶν τοῦ βίου νὰ διαλέγωνται καὶ νὰ φέρωνται ὡς πρεσβύτεροι. Τοιαῦτα δὲ θὰ ἦσαν μάλιστα τὰ παιδία τῶν δούλων· διὰ τοῦτο ὀνομάζει τὸ φαινόμενον τοῦτο δουλοπρεπές.

Τὰς φιλοσοφικὰς ὁμιλίας τῶν πρεσβυτέρων παρομοιάζει πρὸς ψελλίσματα καὶ παίγνια ἀνδρῶν· πρὸς παίγνια μέν, διότι αἱ ὑποθέσεις τῶν φιλοσοφ. λόγων φαίνονται ὡς νὰ μὴ ἔχωσι χρησιμότητά τινα εἰς τὸν πρακτικὸν βίον· πρὸς ψελλίσματα δὲ διὰ τὴν ἀνεπάρκειαν τῆς γλώσσης εἰς ἔκφρασιν τῶν φιλοσοφ. διανοημάτων, δι' ἣν ἀναγκάζονται οἱ φιλοσοφοῦντες νὰ πλάττωσι λέξεις ἀήθεις καὶ ἀνιώσας τὰ ὦτα. Ὁ Πλάτων κατὰ τὸν Διογ. Λαέρτ. ἔλεγε «τραπεζότητα καὶ κυαθότητα»· καὶ κατὰ τὸν Ἀριστοτ. Τοπ. Ζ', 2 ὥριζε τὸν ὀφθαλμὸν ὀφρυόσκιον, καὶ τὸ φαλάγγιον σηψιδακές.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δοκεῖ ἤδη δεῖσθαι, ὦ Σώκρατες, οὗτος ὁ ἀνήρ. ὃ γὰρ νῦν δὴ ἔλεγον, ὑπάρχει τούτῳ τῷ ἀνθρώπῳ, κἂν πάνυ εὐφυὴς ᾖ, ἀνάνδρῳ γενέσθαι φεύγοντι τὰ μέσα τῆς πόλεως καὶ τὰς ἀγοράς, ἐν αἷς ἔφη ὁ ποιητὴς τοὺς ἄνδρας ἀριπρεπεῖς γίγνεσθαι, καταδεδυκότι δὲ τὸν λοιπὸν βίον βιῶναι μετὰ μειρακίων ἐν γωνίᾳ τριῶν ἢ τεττάρων ψιθυρίζοντα, ἐλεύθερον δὲ καὶ μέγα καὶ νεανικὸν μηδέποτε φθέγξασθαι. E

ΜΑ'. Ἐγὼ δέ, ὦ Σώκρατες, πρὸς σὲ ἐπιεικῶς ἔχω φιλικῶς· κινδυνεύω οὖν πεπονθέναι νῦν ὅπερ ὁ Ζῆθος πρὸς τὸν Ἀμφίονα ὁ Εὐριπίδου, οὗπερ ἐμνήσθην. καὶ γὰρ ἐμοὶ τοιαῦτ' ἄττα ἐπέρχεται πρὸς σὲ λέγειν, οἷάπερ ἐκεῖνος πρὸς τὸν ἀδελφόν, ὅτι ἀμελεῖς, ὦ Σώκρατες, ὧν δεῖ σε ἐπιμελεῖσθαι, καὶ φύσις ψυχῆς ὧδε γενναία μειρακιώδει τινὶ 486
διαπρέπεις μορφώματι, καὶ οὔτ' ἐν δίκης βουλαῖσι προθεῖ'

3 *καὶ τὰς ἀγοράς*. Ἐπὶ τῆς Ὁμηρ. σημασίας = τὰς συνόδους τοῦ λαοῦ, τὰς ἐκκλησίας.

4 *ἐν αἷς ἔφη ὁ ποιητής*. Ὁ Ὅμηρος Ἰλ. I. 440·
νήπιον, οὔπω εἰδόθ' ὁμοίιο πτολέμοιο,
οὐδ' ἀγορέων, ἵνα τ' ἄνδρες ἀριπρεπέες [τελέθουσιν.

6 *ἐν γωνίᾳ*. Ἡ φιλοσοφικὴ συζήτησις ἐγίνετο ἄριστα μεταξὺ ὀλίγων διαλεγομένων καὶ ὀλίγων ἀκροατῶν. Ἐγίνετο δὲ ὅπου ἔτυχεν, ἀλλὰ προετιμᾶτο ἀπομεμονωμένος τόπος, γωνία τις, ἵνα μὴ ταράσσηται ὁ διάλογος ὑπὸ τοῦ ὄχλου τῶν καινοσπούδων ἀνθρώπων. Τὸ δὲ ψιθυρίζειν, διὰ τὸ ταπεινὸν τῆς φωνῆς, δι' ἧς ἐγίνετο ἡ συζήτησις τῶν εἰλικρινῶς φιλοσοφούντων καὶ ζητούντων τὸ ἀληθές. (Πρβλ. Χαρμ. 169 c ἑξ.), ὅπερ τοῖς παριοῦσι καὶ μὴ παρακολουθοῦσι μηδὲ κατανοοῦσι τὰ ζητούμενα, ἐφαίνετο ὡς ψιθυρισμός. Ταῦτα ἀντιτίθενται πρὸς τὴν ἐπισημότητα τοῦ τόπου, τὸ πλῆθος τῶν ἀκροατῶν, τὴν λαμπρότητα τῆς φωνῆς, τὴν μεγαλειότητα τῶν ῥημάτων καὶ τὴν ἐπιβλητικότητα τῆς ὅλης παραστάσεως τοῦ ῥήτορος τοῦ ἀγορεύοντος πρὸς τὸν λαόν.

8 *ἐπιεικῶς ἔχω φιλικῶς* = πάνυ φιλικῶς.

9 *ὅπερ ὁ Ζῆθος* κ.τ.λ. Ἐν τῇ Ἀντιόπῃ τοῦ Εὐριπίδου παρίστατο ὁ φιλοχρήματος Ζῆθος νουθετῶν τὸν φιλόμουσον ἀδελφὸν Ἀμφίονα τοιαῦτα ὁποῖα καὶ ἐνταῦθα ὁ Καλλ. νουθετεῖ τὸν Σωκ.

12 *ὅτι ἀμελεῖς, ὦ Σώκ.* κ.τ.λ. Ἐχόμενος τῶν νοημάτων τοῦ Εὐριπιδείου Ζήθου, ὅπου δ' ἐγχωρεῖ, καὶ τῶν Εὐριπιδείων λέξεων, ὁ Καλλ συνθέτει λόγον ἁρμόζοντα, ὡς νομίζει, εἰς τὸν Σωκ. ἐν τῷ παρόντι.

14 *μορφώματι*. Μόρφωμα, τὸ ἔξωθεν, τὸ ἐκ τῆς ἀνατροφῆς ἐπισφραγιζόμενον ἐπὶ τὴν ψυχὴν τοῦ ἀνθρώπου ἦθος.

*ἐν δίκης βουλαῖσι* = ἐν συλλόγῳ βουλευομένῳ περὶ δικαίου· ἐν δικαστηρίῳ.

*οὔτ' ἐν . . . προθεῖ' ἂν ὀρθῶς λόγον, οὔτ' εἰκὸς ἂν καὶ πιθανὸν λάκοις*. Ὑπονοεῖ αὐτὸν τὸν Σωκ. δικαζόμενον καὶ ἀνίκανον ὄντα νὰ ὑπερ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἂν ὀρθῶς λόγον, οὔτ' εἰκὸς ἂν καὶ πιθανὸν λάκοις, οὔθ' ὑπὲρ ἄλλου νεανικὸν βούλευμα βουλεύσαιο. καίτοι, ὦ φίλε Σώκρατες, — καί μοι μηδὲν ἀχθεσθῇς· εὐνοίᾳ γὰρ ἐρῶ τῇ σῇ· — οὐκ αἰσχρὸν δοκεῖ σοι εἶναι οὕτως ἔχειν, ὡς ἐγὼ σὲ οἶμαι ἔχειν καὶ τοὺς ἄλλους τοὺς πόρρω ἀεὶ φιλοσοφίας ἐλαύνοντας; νῦν γὰρ εἴ τις σοῦ λαβόμενος ἢ ἄλλου ὁτουοῦν τῶν τοιούτων εἰς τὸ δεσμωτήριον ἀπαγάγοι, φάσκων B ἀδικεῖν μηδὲν ἀδικοῦντα, οἶσθ' ὅτι οὐκ ἂν ἔχοις ὅ τι χρήσαιο σαυτῷ, ἀλλ' ἰλιγγιῴης ἂν καὶ χασμῷο οὐκ ἔχων ὅ τι εἴποις, καὶ εἰς τὸ δικαστήριον ἀναβάς, κατηγόρου τυχὼν πάνυ φαύλου καὶ μοχθηροῦ, ἀποθάνοις ἄν, εἰ βούλοιτο θανάτου σοι τιμᾶσθαι; καίτοι πῶς σοφὸν τοῦτό ἐστιν, ὦ Σώκρατες, εἴ τις εὐφυῆ λαβοῦσα τέχνη φῶτα ἔθηκε χείρονα, μήτε αὐτὸν αὑτῷ δυνάμενον βοηθεῖν μηδ' ἐκσῶσαι ἐκ τῶν μεγίστων κινδύνων μήτε ἑαυτὸν μήτε ἄλλον μηδένα, ὑπὸ δὲ τῶν ἐχθρῶν περισυλᾶσθαι πᾶσαν τὴν οὐσίαν, C ἀτεχνῶς δὲ ἄτιμον ζῆν ἐν τῇ πόλει; τὸν δὲ τοιοῦτον, εἴ τι

απολογηθῇ ἑαυτοῦ λυσιτελῶς, προτιθέμενος ὀρθῶς λόγον (=θέτων ὀρθῶς τὸ ζήτημα) καὶ λέγων τι εἰκός καὶ πιθανόν. Ὅτι ὁ Καλλ. λέγει ταῦτα περὶ αὐτοῦ τοῦ Σωκ. ἱκανῶς ἐνδείκνυται ἐκ τοῦ ἑπομένου «*οὔθ' ὑπὲρ ἄλλου*», ὡς νὰ προηγήθη: «*οὔθ' ὑπὲρ σαυτοῦ*»· πείθομαι δὲ καὶ ἐκ τούτου ὅτι αἱ λέξεις αὗται δὲν εἶνε τοῦ Εὐριπίδου· ὁ Εὐριπ. εἶπεν, ἀντὶ τούτων, κατὰ τὸν Ὀλυμπιόδωρον «Οὐκ ἂν ἀσπίδος κύτει προσομιλήσειςν», ὅπερ εἶνε μὲν ἐφθαρμένον ἔν τισι τύποις τῶν λέξεων, ἀλλ' αἱ λέξεις αὐταὶ εἶνε γνήσιαι. Αἱ λέξεις λοιπὸν τοῦ κειμένου εἶνε αὐτοῦ τοῦ Καλλ. μιμουμένου τὴν δραματικὴν τοῦ Εὐριπίδ. γλῶσσαν.

10 *κατηγόρου τυχὼν πάνυ φαύλου καὶ μοχθηροῦ*. Δῆλον ὅτι αἰνίττεται τον Ἄνυτον καὶ Μέλητον· καὶ ὅτι ὁ Πλ. τοιούτους ὑπελάμβανε τοὺς τοῦ Σωκ. κατηγόρους, πρβλ. καὶ κατωτέρω, σελ. 521 c.

12 *καίτοι πῶς σοφόν*. Πάλιν ἐγκαταμιγνύει Εὐριπιδείους λέξεις· *φῶτα*. Ποιητ. ἀντὶ ἄνδρα. *Ἔθηκεν*, ἀντὶ ἐποίησεν, ἀπέδειξεν· *ἄτιμον* = ἀφανῆ, ἀλογάριαστον.

14 *μήτε αὐτὸν αὑτῷ* κ. τ. λ. Ἐκλάμβανε τό: *μὴ δυνάμενον*, ὡς ἐπεξ. τοῦ *χείρονα*. Το α' *μήτε αὐτὸν αὑτῷ*, ἐπαναλαμβάνεται διὰ τοῦ β' *μήτε ἑαυτόν*· ἀμφότερα δέ, ὡς ἓν καὶ τὸ αὐτό, συμπλέκονται μετὰ τοῦ: *μήτε ἄλλον μηδένα*. Τὰ ἀπαρέμφ. *περισυλᾶσθαι*, καὶ *ζῆν*, ἐκ τοῦ *δυνάμενον* γραμματικῶς, κατὰ ζεῦγμα δὲ θὰ νοήσωμεν ἐκ τούτου κατάλληλόν τινα μετοχήν, οἷον ἐῶντα, ἐπιτρέποντα, ἀνεχόμενον.

17 *εἴ τι καὶ ἀγροικότερον εἰρῆσθαι* = εἰ καὶ ἔστιν ἀγροικότερον εἰρῆσθαι. Διὰ τοῦ *εἰ καὶ* ἀναγνωρίζει καὶ αὐτὸς ὁ λέγων ὅτι εἶνε ἀγροικότερον τοῦ πρέποντος. Τὸ αὐτὸ λέγει κατωτέρω, σελ. 509 «καὶ εἰ ἀγροικότερόν τι εἰπεῖν ἐστι»· ἀλλὰ διὰ τοῦ *καὶ εἰ* δὲν ὁμολογεῖ ὁ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ἀγροικότερον εἰρῆσθαι, ἔξεστιν ἐπὶ κόρρης τύπτοντα μὴ διδόναι δίκην· ἀλλ' ὦ 'γαθέ, ἐμοὶ πείθου, παῦσαι δ' ἐλέγχων, πραγμάτων δ' εὐμουσίαν ἄσκει, καὶ ἄειδε ὁπόθεν δόξεις φρονεῖν, ἄλλοις τὰ κομψὰ ταῦτ' ἀφείς, εἴτε ληρήματα χρὴ φάναι εἶναι εἴτε φλυαρίας, ἐξ ὧν κενοῖσιν ἐγκατοικήσεις δόμοις, ζηλῶν οὐκ ἐλέγχοντας ἄνδρας τὰ μικρὰ ταῦτα, ἀλλ' οἷς ἔστι καὶ βίος καὶ δόξα καὶ ἄλλα πολλὰ D ἀγαθά.

ΜΒ'. ΣΩ. Εἰ χρυσῆν ἔχων ἐτύγχανον τὴν ψυχήν, ὦ Καλλίκλεις, οὐκ ἂν οἴει με ἄσμενον εὑρεῖν τούτων τινὰ τῶν λίθων, ᾗ βασανίζουσι τὸν χρυσόν, τὴν ἀρίστην, πρὸς ἥντινα ἔμελλον προσαγαγὼν αὐτήν, εἴ μοι ὁμολογήσειεν ἐκείνη καλῶς τεθεραπεῦσθαι τὴν ψυχήν, εὖ εἴσεσθαι ὅτι ἱκανῶς ἔχω καὶ οὐδέν μοι δεῖ ἄλλης βασάνου; E

ΚΑΛ. Πρὸς τί δὴ τοῦτ' ἐρωτᾷς, ὦ Σώκρατες;

ΣΩ. Ἐγώ σοι ἐρῶ· νῦν οἶμαι ἐγὼ σοὶ ἐντετυχηκὼς τοιούτῳ ἑρμαίῳ ἐντετυχηκέναι.

ΚΑΛ. Τί δή;

λέγων ὅτι καὶ αὐτὸς τὸ θεωρεῖ ὡς ἀγροικότερον, ἀλλ' ὅτι ἄλλος τις ἴσως ἤθελεν ὑπολάβει αὐτὸ τοιοῦτον.

1 *ἐπὶ κόρρης*. Ὁ Εὐστάθιος ἐν Ἰλ. Ν. 923 σημειοῖ τάδε· «Κατὰ κόρρης καὶ Ἐπὶ κόρρης δέ, κατὰ Αἴλιον Διονύσιον, πληγὴ τυχὸν ἢ ῥάπισμα λέγεται τὸ εἰς σιαγόνα καὶ κρόταφον. Κόρρην δέ, φησί, καὶ κόρσην Ἀττικοὶ τὴν ὅλην κεφαλὴν σὺν τῷ αὐχένι λέγουσι. Διὸ καὶ προπηλακισμὸς ἰσχυρός, φασί, τὸ Ἐπὶ κόρρης, καὶ μείζων τοῦ κονδύλου».

2 *παῦσαι δ' ἐλέγχων*. Ἐκλάμβανε τὸ *ἐλέγχων* ὡς μετοχ. κατηγορ. ἂν καὶ ὡς γεν. πληθ. τοῦ ἐλέγχου λαμβανόμενον θὰ εἶχεν ὀρθῶς.

7 *ἀλλ' οἷς ἔστι καὶ βίος* κ. τ. λ. Σχολ. «Βίος, ὁ πλοῦτος (τὸ βιό)· δόξα δὲ ἡ παρὰ τοῖς πολλοῖς εὐδοκίμησις».

10 *οὐκ ἂν οἴει με ἄσμενον εὑρεῖν* = οὐκ οἴει ὅτι ἄσμενος ἂν εὗρον; Ἀλλὰ τὸ *οἴομαι* δὲν δέχεται εἰδ. λόγον ἀπὸ τοῦ ὅτι.

*τούτων τινὰ τῶν λίθων, ᾗ*. Σχολ. «Ἰστέον ὅτι τὴν λίθον, δι' ἧς δοκιμάζουσι τὸν χρυσόν, οἱ μὲν ἰδίως βάσανον, οἱ δὲ Λυδίαν καλοῦσι».

11 *τὴν ἀρίστην*. Ἐπήνεγκε τοῦτο, διότι αἱ δύο ἄλλαι, ἃς εὗρε πρότερον, ὁ Γοργίας καὶ ὁ Πῶλος, δὲν ἦσαν τῶν ἀρίστων βασάνων, ὡς δηλώσει κατωτέρω.

12 *εἴ μοι ὁμολογήσειεν*. Τὸ *ὁμολογήσειε* καταχρηστικῶς ἐπὶ τῆς λίθου, ἀναγκαίως δέ, ἵνα ἁρμόζῃ ἐπ' ἀμφότερα τὰ ἀπεικαζόμενα πρὸς ἄλληλα.

16 *τοιούτῳ ἑρμαίῳ*. Οἷον ἕρμαιον θὰ ἦτο ἡ Λυδία λίθος πρὸς τὸν χρυσόν, τοιοῦτον ἕρμαιον εἶσαι καὶ σὺ πρὸς τὴν ψυχήν μου.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΩ. Εὖ οἶδ' ὅτι, ἄν μοι σὺ ὁμολογήσῃς περὶ ὧν ἡ ἐμὴ
ψυχὴ δοξάζει, ταῦτ' ἤδη ἐστὶν αὐτὰ τἀληθῆ. ἐννοῶ γὰρ
487 ὅτι τὸν μέλλοντα βασανιεῖν ἱκανῶς ψυχῆς πέρι ὀρθῶς τε
ζώσης καὶ μὴ τρία ἄρα δεῖ ἔχειν, ἃ σὺ πάντα ἔχεις, ἐπιστήμην τε καὶ εὔνοιαν καὶ παρρησίαν. ἐγὼ γὰρ πολλοῖς
ἐντυγχάνω, οἳ ἐμὲ οὐχ οἷοί τέ εἰσι βασανίζειν, διὰ τὸ
μὴ σοφοὶ εἶναι ὥςπερ σύ· ἕτεροι δὲ σοφοὶ μέν εἰσιν, οὐκ
ἐθέλουσι δέ μοι λέγειν τὴν ἀλήθειαν, διὰ τὸ μὴ κήδεσθαί μου ὥςπερ σύ· τὼ δὲ ξένω τώδε, Γοργίας τε καὶ
Πῶλος, σοφὼ μὲν καὶ φίλω ἐστὸν ἐμώ, ἐνδεεστέρω δὲ
B παρρησίας καὶ αἰσχυντηροτέρω μᾶλλον τοῦ δέοντος· πῶς
γὰρ οὔ; ὥ γε εἰς τοσοῦτον αἰσχύνης ἐληλύθατον, ὥστε διὰ
τὸ αἰσχύνεσθαι τολμᾷ ἑκάτερος αὐτῶν αὐτὸς αὑτῷ ἐναντία λέγειν ἐναντίον πολλῶν ἀνθρώπων, καὶ ταῦτα περὶ τῶν
μεγίστων. σὺ δὲ ταῦτα πάντα ἔχεις, ἃ οἱ ἄλλοι οὐκ ἔχουσι·

1 *περὶ ὧν ἡ ἐμὴ ψυχὴ δοξάζει.* Τὰς γνώμας τῆς ψυχῆς του ὀνομάζει δόξας, ὡς ἀγνοῶν ἔτι καὶ αὐτὸς ἂν ἦσαν ἀληθεῖς. Βασανιζόμεναι δὲ καὶ ὁμολογούμεναι ὑπὸ τοῦ Καλλ. θὰ ἀπέβαινον ἀλήθειαι ἐγνωσμέναι, ἢ ἐπιστῆμαι. Πρβλ. Μέν. 97 ἑξ.

2 *'Εννοῶ γάρ*· ὅπως καὶ τὸ *ἐνθυμοῦμαι*=ἐν νῷ ἔχω τι· σκοπῶν εὑρίσκω.

4 *τρία ἄρα.* Τὸ *ἄρα*, διότι παριστᾷ τὸ λεγόμενον ὡς συμπέρασμα προηγηθείσης σκέψεως. Τὰ τρία προσόντα τοῦ βασανίσοντος ψυχήν, ἂν ἔχει ὑγιῶς ἢ φαύλως, εἰσὶν Α', ἐπιστήμη· τὸ δύνασθαι διαγιγνώσκειν καὶ θεραπεύειν. Β', εὔνοια· τὸ βούλεσθαι εὐεργετεῖν. Γ', παρρησία· τὸ θαρρεῖν καὶ τολμᾶν ἀποστοματίζειν ἃ γινώσκει, ἄνευ ὑποστολῆς.

11 *καὶ αἰσχυντηροτέρω.* Τὸ ἐνδεεστέρω παρρησίας ἐξήρκει. 'Αλλ' ἀποκαλεῖ τὸν Γορ. καὶ τὸν Πῶλ. ὡς ἐν ψόγῳ δῆθεν αἰσχυντηροτέρους τοῦ δέοντος, ἵνα ἀποδώσῃ τῷ Καλλ. τὴν ἐναντίαν ἰδιότητα, ἀναισχυντίαν, ὡς ἐν ἐπαίνῳ. 'Η εἰρωνεία διαλάμπει ἐν τοῖς λόγοις τούτοις.

*μᾶλλον τοῦ δέοντος.* Μετὰ τὸ *αἰσχυντηροτέρω*, τὸ *μᾶλλον* πλεονάζει. 'Αλλὰ συμβάλλεται εἰς τὴν εἰρωνικὴν τοῦ Σωκ. προσποίησιν.

12 *εἰς τοσοῦτον αἰσχύνης ἐληλύθατον, ὥςτε διὰ τὸ αἰσχύνεσθαι τολμᾷ.* 'Επίστησον πρῶτον μέν, ἐπὶ τὴν κατακορῆ χρῆσιν τοῦ αἰσχύνεσθαι, ἔπειτα δὲ ἐπὶ τὸ ὀξύμωρον: *διὰ τὸ αἰσχύνεσθαι τολμᾷ.* 'Η αἰσχύνη φέρει συνήθως ἀτολμίαν, ἐνταῦθα δὲ τόλμην εἰς τὸ λέγειν ἄλλα ἢ ἃ διανοεῖταί τις. Διὰ μέσου τοῦ εἰρωνικοῦ περικαλύμματος διαφαίνεται ἡ ἀληθὴς γνώμη τοῦ Σωκ. ὅτι ὀφείλει τις νὰ αἰσχύνηται ἐπὶ τοῖς αἰσχροῖς, τοιοῦτον δέ ἐστι καὶ τὸ ψεύδεσθαι, τὸ λέγειν ἐναντία ἑαυτῷ ἐναντίον πολλῶν ἀνθρώπων.

15 *Σὺ δὲ ταῦτα πάντα ἔχεις*· δηλ. ἐπιστήμην, εὔνοιαν, παρρησίαν. Τῆς μὲν ἐπιστήμης ἢ παιδείας τοῦ Καλλ. παρέχει ὁ Σωκ. μάρτυρας *πολλοὺς*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πεπαίδευσαί τε γὰρ ἱκανῶς, ὡς πολλοὶ ἂν φήσαιεν Ἀθη-
ναίων, καὶ ἐμοὶ εἶ εὔνους. τίνι τεκμηρίῳ χρῶμαι; ἐγώ σοι
ἐρῶ. οἶδα ὑμᾶς ἐγώ, ὦ Καλλίκλεις, τέτταρας ὄντας κοι- C
νωνοὺς γεγονότας σοφίας, σέ τε καὶ Τίσανδρον τὸν Ἀφι-
δναῖον καὶ Ἄνδρωνα τὸν Ἀνδροτίωνος καὶ Ναυσικύδην τὸν
Χολαργέα· καί ποτε ὑμῶν ἐγὼ ἐπήκουσα βουλευομένων,
μέχρι ὅποι τὴν σοφίαν ἀσκητέον εἴη, καὶ οἶδα ὅτι ἐνίκα ἐν
ὑμῖν τοιάδε τις δόξα, μὴ προθυμεῖσθαι εἰς τὴν ἀκρίβειαν
φιλοσοφεῖν, ἀλλὰ εὐλαβεῖσθαι παρεκελεύεσθε ἀλλήλοις, D
ὅπως μὴ πέρα τοῦ δέοντος σοφώτεροι γενόμενοι λήσετε δια-
φθαρέντες. ἐπειδὴ οὖν του ἀκούω ταὐτὰ ἐμοὶ συμβουλεύ-
οντος, ἅπερ τοῖς σεαυτοῦ ἑταιροτάτοις, ἱκανόν μοι τεκμή-
ριόν ἐστιν, ὅτι ὡς ἀληθῶς μοι εὔνους εἶ. καὶ μὴν ὅτι γε
οἷος παρρησιάζεσθαι καὶ μὴ αἰσχύνεσθαι, αὐτός τε φῄς

*Ἀθηναίων.* Οὕτω καὶ ἐν Μέν. 90 b· τῆς ὀρθῆς τροφῆς καὶ παιδείας τοῦ Ἀνύτου ποιεῖται μάρτυρα τὸ πλῆθος τῶν Ἀθηναίων, ὅπερ αἱρεῖται αὐτὸν ἐπὶ τὰς μεγίστας ἀρχάς. Τῆς δὲ εὐνοίας τεκμήριον ποιεῖται τὸ ὅτι συμβουλεύει αὐτῷ ταὐτὰ ἅπερ καὶ τοῖς φιλτάτοις. Τῆς δὲ παρρησίας τεκμήριον τὸν προηγηθέντα ἀναίσχυντον λόγον τοῦ Καλλ. Ὑπὸ τὰ φιλόφρονα προσχήματα διαφαίνεται ὁ ἐκμυκτηρισμὸς τοῦ Καλλ.

4 *Τίσανδρον* κ. τ. λ. Τοῦ Ἄνδρωνος γίνεται μνεία καὶ ἐν Πρωταγ. 315 c, ὡς ὀπαδοῦ τοῦ Ἱππίου· ἄλλως δὲ τυγχάνουσι καὶ οἱ τρεῖς ἄγνωστα πρόσωπα. Ὁ Ξενφ. ἐν Ἀπομν. Β', ζ', 6, μνημονεύει τινὸς Ναυσικύδου ἀλφιτοποιοῦ. Ἂν εἶνε τὸ αὐτὸ πρόσωπον, γίνεται καὶ ἐντεῦθεν δῆλον ὅτι ὁ Σωκ. ἀναφέρει ἐνταῦθα κοινούς τινας ἀνθρώπους ὡς ἑταιροτάτους τῷ Καλλ. συσκεπτομένους περὶ τῆς ἀξίας καὶ χρησιμότητος τῆς φιλοσοφίας, ἵνα καταστήσῃ τὸν Καλλ. καταγέλαστον πρὸς τοὺς ἀκροατὰς γινώσκοντας τὴν ποιότητα τῶν ἀνθρώπων ἐκείνων.

*Ἄφιδναι,* δῆμος τῆς Αἰαντίδος· Χολαργεῖς δέ, τῆς Ἀκαμαντίδος φυλῆς.

6 *ἐπήκουσα* = ἤκουσα ἐφιστάμενος καὶ ἀκροώμενος.

10 *λήσετε διαφθαρέντες.* Λανθάνω ἐμαυτόν, σέ, τὸν πατέρα, τοὺς ἀνθρώπους, ποιῶν τι = ποιῶ τι χωρὶς νὰ τὸ καταλάβω ἐγώ, σύ, ὁ πατήρ, οἱ ἄνθρωποι. Ἀλλὰ τὸ *ἐμαυτὸν* καὶ τὸ *τοὺς ἀνθρώπους* συχνάκις παραλείπεται· καὶ τότε τὸ *λανθάνω ποιῶν τι* κατανοεῖται ἐκ τῶν συμφραζομένων, ἂν σημαίνει: ποιῶ τι χωρὶς νὰ τὸ καταλάβω ἐγώ, ἢ χωρὶς νὰ τὸ καταλάβωσιν οἱ ἄνθρωποι. Ἐνταῦθα προφανῶς παραλείπεται τό: *ἡμᾶς αὐτούς.* Ἐν δὲ Πολιτ. 365 c «οὐ ῥᾴδιον ἀεὶ λανθάνειν κακὸν ὄντα», καὶ ἐν Μέν 91 e «ἐλάνθανε διαφθείρων τοὺς συγγιγνομένους», παραλείπεται τό: *τοὺς ἀνθρώπους.*

14 *οἷος παρρησιάζεσθαι καὶ μὴ αἰσχύνεσθαι.* Παρὰ τὸ ἐν ἐπαίνῳ λεγόμενον *παρρησιάζεσθαι* ἐπήνεγκεν ἐκ παραλλήλου, ὡς ἐν ἐπαίνῳ δῆθεν καὶ αὐτό, τὸ *μὴ αἰσχύνεσθαι*· ὥστε ἐπαινῶν ἀποκαλεῖ αὐτὸν ἀναίσχυντον.

*αὐτός τε φῄς*· δι' ὧν ἐπῄνει τὸν Πῶλον ψέγοντα τὸν Γοργίαν, καὶ δι'

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ὁ λόγος ὃν ὀλίγον πρότερον ἔλεγες ὁμολογεῖ σοι. ἔχει
E δὴ οὑτωσὶ δῆλον ὅτι τούτων πέρι νυνί· ἐάν τι σὺ ἐν τοῖς
λόγοις ὁμολογήσῃς μοι, βεβασανισμένον τοῦτ' ἤδη ἔσται
ἱκανῶς ὑπ' ἐμοῦ τε καὶ σοῦ, καὶ οὐκέτι αὐτὸ δεήσει ἐπ'
ἄλλην βάσανον ἀναφέρειν. οὐ γὰρ ἄν ποτε αὐτὸ συνεχώρησας σὺ οὔτε σοφίας ἐνδείᾳ οὔτ' αἰσχύνης παρουσίᾳ, οὐδ'
αὖ ἀπατῶν ἐμὲ συγχωρήσαις ἄν· φίλος γάρ μοι εἶ, ὡς καὶ
αὐτὸς φῄς. τῷ ὄντι οὖν ἡ ἐμὴ καὶ σὴ ὁμολογία τέλος ἤδη
ἕξει τῆς ἀληθείας. πάντων δὲ καλλίστη ἐστὶν ἡ σκέψις,
ὦ Καλλίκλεις, περὶ τούτων ὧν σὺ δή μοι ἐπετίμησας,
488 ποῖόν τινα χρὴ εἶναι τὸν ἄνδρα καὶ τί ἐπιτηδεύειν καὶ μέχρι τοῦ, καὶ πρεσβύτερον καὶ νεώτερον ὄντα. ἐγὼ γὰρ εἴ
τι μὴ ὀρθῶς πράττω κατὰ τὸν βίον τὸν ἐμαυτοῦ, εὖ ἴσθι
τοῦτο ὅτι οὐχ ἑκὼν ἐξαμαρτάνω ἀλλ' ἀμαθίᾳ τῇ ἐμῇ·

ὧν ἔψεγεν αὐτὸν τὸν Πῶλον, ὅτι ὑπ' αἰσχύνης εἶπον ἐναντία ὧν ἐπρέσβευον.

1 *καὶ ὁ λόγος — ὁμολογεῖ σοι* = ἐπιμαρτυρεῖ τὴν ἀναισχυντίαν σου. Ἐννοεῖ α' μὲν τὸν ἰσχυρισμὸν ὅτι τὸ ἀδικεῖν ἐστι κάλλιον τοῦ ἀδικεῖσθαι, καὶ ὅτι τοῦτο εἶνε οὐχὶ ἀνδρὸς ἀλλ' ἀνδραπόδου· ἔπειτα δὲ τὰ εἰς αὐτὸν τὸν Σωκ. ἀναισχυντηθέντα, ὡς φλυαροῦντα, ὡς καταγέλαστον, ὡς ἄξιον ἐπὶ κόρρης τύπτεσθαι κ. τ. τ.

*ἔχει δὴ οὑτωσί.* Ὁ Σωκρ. προβαίνει εἰς τὸ συμπέρασμα τῶν πεπροοιμιασμένων αὐτῷ.

2 *δηλονότι.* Ἐνταῦθα ἐπίρρ., ὅθεν γραπτέον ὡς μίαν λέξιν.

5 *οὐ γὰρ ἄν ποτε συνεχώρησας.* Ἂν καὶ πρόκειται περὶ μελλούσης πράξεως, ὅμως μετεχειρίσθη τὸν ἀόρ. μετὰ τοῦ ἄν· διότι ὁ Σωκ. θεωρεῖ τὸ πρᾶγμα ἀπὸ τοῦ χρον. σημείου τοῦ μετὰ τὸ πέρας τῆς συζητήσεως, ὅτε ἡ συγχώρησις ἢ μὴ θὰ εἶνε προγεγενημένα πράγματα.

8 *ἡ — ὁμολογία τέλος ἕξει τῆς ἀληθείας* = ἡ ἐμὴ καὶ σὴ ὁμολογία ἔσται τελεία ὡς πρὸς τὴν ἀλήθειαν. Ἡ γεν. *τῆς ἀληθείας* εἶνε γεν. τοῦ *πρός τι* ἢ *κατά τι*· ὡς καὶ τά: ὡς ἔχει τάχους, ὡς ἔχει παιδείας καὶ δικαιοσύνης κ.τ.τ. Φαίδ. 77 c· «εἰ μέλλει τέλος ἡ ἀπόδειξις ἔχειν» = τελεία εἶναι.

9 *πάντων δὲ καλλίστη — ὦ Καλλίκλεις.* Μετὰ τὴν κατακορῆ χρῆσιν τῆς ἐννοίας τοῦ αἰσχροῦ καὶ τῆς ἀναισχυντίας, οὐχὶ εἰκῇ καὶ ὡς ἔτυχεν ἐπιφέρει τὰς λέξεις «καλλίστη, ὦ Καλλίκλεις».

11 *καὶ μέχρι τοῦ* = μέχρι τίνος βαθμοῦ, μέχρι τίνος διαστήματος πρέπει νὰ χωρήσῃ τις ἐν τῇ ἐπιτηδεύσει ἑκάστου. Ταῦτα, αἰνιττόμενος εἰς τὰ τοῦ Καλλ. «μὴ περαιτέρω τοῦ δέοντος ἐνδιατρίβειν ἐν τῇ φιλοσοφίᾳ· μὴ προθυμεῖσθαι εἰς τὴν ἀκρίβειαν φιλοσοφεῖν κ. τ. τ.»

14 *οὐχ ἑκὼν ἐξαμαρτάνω ἀλλ' ἀμαθίᾳ.* Τὸ ἑκὼν ἐξαμαρτάνειν θὰ ἦτο κακία. Οὐκ ἄρα κακίᾳ ἐξαμαρτάνω ἀλλ' ἀμαθίᾳ. Ἡ ἀμάθεια εἶνε ἀξία ἐλέου καὶ συγγνώμης· ἡ δὲ κακία ἀξία μίσους καὶ κολάσεως. Ἀπολ. 26 a· «εἰ δ' ἄκων διαφθείρω, τῶν τοιούτων ἀκουσίων ἁμαρτημάτων οὐ δεῦρο νόμος εἰσάγειν ἐστίν, ἀλλ' ἰδίᾳ λαβόντα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σὺ οὖν, ὥςπερ ἤρξω νουθετεῖν με, μὴ ἀποστῇς, ἀλλ' ἱκανῶς μοι ἔνδειξαι, τί ἐστι τοῦτο ὃ ἐπιτηδευτέον μοι, καὶ τίνα τρόπον κτησαίμην ἂν αὐτό· καὶ ἐάν με λάβῃς νῦν μέν σοι ὁμολογήσαντα, ἐν δὲ τῷ ὑστέρῳ χρόνῳ μὴ ταῦτα πράττοντα ἅπερ ὡμολόγησα, πάνυ με ἡγοῦ βλᾶκα εἶναι καὶ B
μηκέτι ποτέ με νουθετήσῃς ὕστερον, ὡς μηδενὸς ἄξιον ὄντα. ἐξ ἀρχῆς δέ μοι ἐπανάλαβε, πῶς φῂς τὸ δίκαιον ἔχειν καὶ σὺ καὶ Πίνδαρος τὸ κατὰ φύσιν; ἄγειν βίᾳ τὸν κρείττω τὰ τῶν ἡττόνων καὶ ἄρχειν τὸν βελτίω τῶν χειρόνων καὶ πλέον ἔχειν τὸν ἀμείνω τοῦ φαυλοτέρου; μή τι ἄλλο λέγεις τὸ δίκαιον εἶναι, ἢ ὀρθῶς μέμνημαι;

ΜΓ΄. ΚΑΛ. Ἀλλὰ ταῦτα ἔλεγον καὶ τότε καὶ νῦν λέγω.

ΣΩ. Πότερον δὲ τὸν αὐτὸν βελτίω καλεῖς σὺ καὶ κρείττω; οὐδὲ γάρ τοι τότε οἷός τ' ἦ μαθεῖν σου τί ποτε λέ- C
γεις. πότερον τοὺς ἰσχυροτέρους κρείττους καλεῖς καὶ δεῖ ἀκροᾶσθαι τοῦ ἰσχυροτέρου τοὺς ἀσθενεστέρους, οἷόν μοι δοκεῖς καὶ τότε ἐνδείκνυσθαι, ὡς αἱ μεγάλαι πόλεις ἐπὶ τὰς σμικρὰς κατὰ τὸ φύσει δίκαιον ἔρχονται, ὅτι κρείττους εἰσὶ καὶ ἰσχυρότεραι, ὡς τὸ κρεῖττον καὶ ἰσχυρότερον καὶ βέλτιον ταὐτὸν ὄν, ἢ ἔστι βελτίω μὲν εἶναι, ἥττω δὲ καὶ

διδάσκειν καὶ νουθετεῖν». Οὕτω καὶ οἱ Κερκυραῖοι παρὰ Θουκ. Α΄, 32 δικαιολογοῦνται· «Καὶ ξυγγνώμη, εἰ μὴ μετὰ κακίας, δόξης δὲ μᾶλλον ἁμαρτίᾳ (=ἀμαθίᾳ) τῇ πρότερον ἀπραγμοσύνῃ ἐναντία τολμῶμεν». Περὶ τοῦ ἀμαθίᾳ τῇ ἐμῇ ὅρα ὑποσημ. εἰς Κρίτ. 45 e.

5 *βλᾶκα.* Σχολ. «Βλάξ, ὁ χαῦνος τῇ προαιρέσει. Εἴρηται δὲ ἢ ἀπὸ τοῦ βεβλάφθαι τὰς φρένας, ἢ ἀπὸ τοῦ μαλακοῦ, οἷον μαλαξ τις ὤν· ἐπειδὴ δὲ τὸ μ τῷ λ ἀσύμπλοκον, ἀντὶ τοῦ μλὰξ γέγονε βλάξ». Τὸ τελευταῖον τοῦτο φαίνεται τὸ ὀρθόν. Παρβλ. τὰ μολὼν βλώσκω, μέμβλωκα· βροτὸς ἄμβροτος (Λατ. mort)· μεσημερία, μεσημβρία.

13 *Πότερον δὲ τὸν αὐτὸν βελτίω* κ. τ. λ. Ὁ Σωκ. πρὶν προβῇ εἰς ἀνασκευὴν τῶν ἰσχυρισμῶν τοῦ Καλλ. ἐπιλαμβάνεται τῆς διευκρινήσεως τῶν ὅρων *βελτίων, κρείττων, ἰσχυρότερος*, καὶ τῶν ἐναντίων, οὓς συνέφυρεν ὁ Καλλ. κατὰ τὸ παράγγελμα τοῦ Προδίκου· «Πρῶτον περὶ ὀνομάτων ὀρθότητος μαθεῖν δεῖ». Ὅτι βελτίων καὶ ἰσχυρότερος δὲν εἶνε τὸ αὐτό, τοῦτο θὰ διέβλεπε καὶ παχυλώτερος νοῦς· ἀλλὰ μεταξὺ ἑκατέρων κεῖται ὁ ὅρος *κρείττων*, ὅςτις σημαίνει *ἐπικρατέστερος* ἢ κατὰ τὴν ὑλικὴν δύναμιν καὶ τότε ἐγγίζει εἰς τὴν ἔννοιαν τοῦ *ἰσχυρότερος*, ἢ κατὰ τὴν διανοητικὴν καὶ ἠθικήν, καὶ τότε προσεγγίζει εἰς τὴν τοῦ *βελτίων*.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀσθενέστερον, καὶ κρείττω μὲν εἶναι, μοχθηρότερον δέ· ἢ D ὁ αὐτὸς ὅρος ἐστὶ τοῦ βελτίονος καὶ τοῦ κρείττονος; τοῦτό μοι αὐτὸ σαφῶς διόρισον, ταὐτὸν ἢ ἕτερόν ἐστι τὸ κρεῖττον καὶ τὸ βέλτιον καὶ τὸ ἰσχυρότερον;

ΚΑΛ. Ἀλλ' ἐγώ σοι σαφῶς λέγω, ὅτι ταὐτόν ἐστιν.

ΣΩ. Οὐκοῦν οἱ πολλοὶ τοῦ ἑνὸς κρείττους εἰσὶ κατὰ φύσιν, οἳ δὴ καὶ τοὺς νόμους τίθενται ἐπὶ τῷ ἑνί, ὥςπερ καὶ σὺ ἄρτι ἔλεγες.

ΚΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Τὰ τῶν πολλῶν ἄρα νόμιμα τὰ τῶν κρειττόνων ἐστίν.

ΚΑΛ. Πάνυ γε.

E ΣΩ. Οὐκοῦν τὰ τῶν βελτιόνων· οἱ γὰρ κρείττους βελτίους που κατὰ τὸν σὸν λόγον.

ΚΑΛ. Ναί.

ΣΩ. Οὐκοῦν τὰ τούτων νόμιμα κατὰ φύσιν καλά, κρειττόνων γε ὄντων.

ΚΑΛ. Φημί.

ΣΩ. Ἆρ' οὖν οἱ πολλοὶ νομίζουσιν οὕτως, ὡς ἄρτι αὖ σὺ ἔλεγες, δίκαιον εἶναι τὸ ἴσον ἔχειν καὶ αἴσχιον τὸ ἀδικεῖν 489 τοῦ ἀδικεῖσθαι; ἔστι ταῦτα ἢ οὔ; καὶ ὅπως μὴ ἁλώσει ἐνταῦθα σὺ αἰσχυνόμενος· νομίζουσιν, ἢ οὔ, οἱ πολλοὶ τὸ ἴσον ἔχειν ἀλλ' οὐ τὸ πλέον δίκαιον εἶναι, καὶ αἴσχιον τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι; — μὴ φθόνει μοι ἀποκρίνασθαι

6 *Οὐκοῦν οἱ πολλοὶ τοῦ ἑνὸς κρείττους.* Οἱ πολλοί εἰσιν ὁμολογουμένως ἰσχυρότεροι τοῦ ἑνός, ἢ τῶν ὀλίγων, διὰ τό πλῆθός των. Τοῦ Καλλικλέους ταυτίσαντος τὸ κρεῖττον καὶ τὸ βέλτιον καὶ τὸ ἰσχυρότερον, ὁ Σωκ. ἀναγκάζει αὐτὸν νὰ ὁμολογήσῃ ὅτι οἱ πολλοί, ἰσχυρότεροι ὄντες, εἰσὶ καὶ κρείττους καὶ βελτίους· τὰ τῶν πολλῶν ἄρα νόμιμα εἰσι τὰ τῶν κρειττόνων, τὰ τῶν βελτιόνων ἄρα· τῶν τοιούτων δὲ ὄντα, εἰσὶ κατὰ φύσιν δίκαια καὶ καλά, κατὰ τὴν ὁμολ. αὐτοῦ τοῦ Καλλ.· ὥςτε φύσις καὶ νόμος δὲν εἶνε ἐναντία ἀλλήλων.

20 *καὶ ὅπως μὴ ἁλώσει — αἰσχυνόμενος.* = «Καὶ πρόσεξε μήπως φανῇς ἐντροπαλός, ὅπως ὁ Γορ. καὶ ὁ Πῶλος, οὓς ἐμέμφεσο ὅτι δι' αἰσχύνην δὲν εἶπον ὅ τι ἐνόουν». Ταῦτα καὶ τὰ ἑπόμενα «μὴ φθόνει μοι κ. τ. λ.» ἀποτελοῦσιν ἀνελεήμονα σαρκασμὸν κατὰ Καλλ. Ἡ πλεονάκις ἐπαναλαμβανομένη ἐρώτησις καὶ παρακέλευσις πρὸς ἀπόκρισιν ὑποθέτουσι τὸν Καλλ. διορῶντα ἤδη τὴν ἅλωσίν του καὶ ὀκνοῦντα νὰ ἀποκριθῇ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦτο, Καλλίκλεις, ἵν', ἐάν μοι ὁμολογήσῃς, βεβαιώσωμαι ἤδη παρὰ σοῦ, ἅτε ἱκανοῦ ἀνδρὸς διαγνῶναι ὡμολογηκότος.

ΚΑΛ. Ἀλλ' οἵ γε πολλοὶ νομίζουσιν οὕτως.

ΣΩ. Οὐ νόμῳ ἄρα μόνον ἐστὶν αἴσχιον τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι, οὐδὲ δίκαιον τὸ ἴσον ἔχειν, ἀλλὰ καὶ φύσει· ὥςτε κινδυνεύεις οὐκ ἀληθῆ λέγειν ἐν τοῖς πρόσθεν οὐδὲ B ὀρθῶς ἐμοῦ κατηγορεῖν λέγων, ὅτι ἐναντίον ἐστὶν ὁ νόμος καὶ ἡ φύσις, ἃ δὴ καὶ ἐγὼ γνοὺς κακουργῶ ἐν τοῖς λόγοις, ἐὰν μέν τις κατὰ φύσιν λέγῃ, ἐπὶ τὸν νόμον ἄγων, ἐὰν δέ τις κατὰ τὸν νόμον, ἐπὶ τὴν φύσιν.

ΜΔ'. ΚΑΛ. Οὑτοσὶ ἀνὴρ οὐ παύσεται φλυαρῶν; εἰπέ μοι, ὦ Σώκρατες, οὐκ αἰσχύνει, τηλικοῦτος ὤν, ὀνόματα θηρεύων, καὶ ἐάν τις ῥήματι ἁμάρτῃ, ἕρμαιον τοῦτο ποιού- C μενος; ἐμὲ γὰρ οἴει ἄλλο τι λέγειν τὸ κρείττους εἶναι ἢ τὸ βελτίους; οὐ πάλαι σοι λέγω, ὅτι ταὐτόν φημι εἶναι τὸ βέλτιον καὶ τὸ κρεῖττον; ἢ οἴει με λέγειν, ἐὰν συρφετὸς συλλεγῇ δούλων καὶ παντοδαπῶν ἀνθρώπων μηδενὸς

1 *βεβαιώσωμαι παρὰ σοῦ*=λάβω παρὰ σοῦ τὴν βεβαίωσιν.

2 *ἅτε ἱκανοῦ ἀνδρὸς διαγνῶναι ὡμολογηκότος*. Σύμπλ. ὧδε· «ἅτε ὡμολογηκότος (ταῦτα) ἀνδρὸς ἱκανοῦ διαγνῶναι».

11 *Οὑτοσὶ ἀνήρ*. Ὅρ. σελ. 467 b. *οὐ παύσεται φλυαρῶν!* Φλυαρίαν προωνόμασεν ὁ Καλλ. τὴν φιλοσοφ. μικρολογίαν. Ὁμοίως καὶ ἐνταῦθα φλυαρίαν ὀνομάζει τὸ θηρεύειν ὀνόματα, τὸ ἔχεσθαι τῶν λέξεων καὶ μὴ ἀποβλέπειν εἰς τὴν διάνοιαν τοῦ λέγοντος.

12 *οὐκ αἰσχύνει* κ.τ.λ. Τὰ *θηρεύων* καὶ *ποιούμενος* κατηγορ. μετοχαὶ τοῦ *αἰσχύνει*· τὸ *τηλικοῦτος ὤν*, ἐναντ. μετοχ. τῶν μετοχῶν=ἐν ᾧ εἶσαι τηλικοῦτος· ὡς ἀπρεπὲς ὂν τοῖς πρεσβυτέροις τὸ ὀνόματα θηρεύειν. Πρβλ. Ἀπολ. 17 c.

13 *ἐάν τις ῥήματι ἁμάρτῃ*. Ῥῆμα, ὅ τι λέγομεν σήμερον λέξις=«καὶ ἂν ὑποπέσῃ τις εἰς λεκτικόν τι ἁμάρτημα».

14 *ἐμὲ γὰρ οἴει* κ. τ. λ. Ὁ Καλλ. πειρᾶται νὰ σώσῃ τὴν ὑπόληψίν του, τονίζων τὸ ὅτι ὀρθῶς μὲν εἶπε κρείττους τοὺς βελτίους, κατὰ λεκτικὸν δ' ἁμάρτημα συμπεριέλαβε καὶ τοὺς ἰσχυροτέρους. «Ἀλλὰ τοῦτο, τρόπον τινὰ λέγει πρὸς τὸν Σωκ., ἔπρεπε καὶ σὺ νὰ τὸ καταλάβῃς, ὅτι δὲν ἦτο δυνατὸν νὰ νοῶ τὸν συρφετὸν παντοδαπῶν ἀνθρώπων, ὅτι εἶνε κρείττονες, διότι εἶνε ἰσχυρότεροι· ἦτο ὀνόματι ἁμάρτημα».

16 *ἢ οἴει με λέγειν* κ.τ.λ. Σύμπλεκε ὧδε· «ἢ οἴει με λέγειν ταῦτα εἶναι νόμιμα, ἐὰν συλλεγῇ συρφετὸς δούλων καὶ παντοδαπῶν ἀνθρώπων καὶ θῶσιν ἄττα».

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀξίων πλὴν ἴσως τῷ σώματι ἰσχυρίσασθαι, καὶ οὗτοι θῶσιν ἄττα, ταῦτα εἶναι νόμιμα;

ΣΩ. Εἶεν, ὦ σοφώτατε Καλλίκλεις· οὕτω λέγεις;

D ΚΑΛ. Πάνυ μὲν οὖν.

ΣΩ. Ἀλλ' ἐγὼ μέν, ὦ δαιμόνιε, καὶ αὐτὸς πάλαι τοπάζω τοιοῦτόν τί σε λέγειν τὸ κρεῖττον, καὶ ἀνερωτῶ γλιχόμενος σαφῶς εἰδέναι ὅ τι λέγεις. οὐ γὰρ δήπου σύ γε τοὺς δύο βελτίους ἡγεῖ τοῦ ἑνός, οὐδὲ τοὺς σοὺς δούλους βελτίους σοῦ, ὅτι ἰσχυρότεροί εἰσιν ἢ σύ. ἀλλὰ πάλιν ἐξ ἀρχῆς εἰπέ, τί ποτε λέγεις τοὺς βελτίους, ἐπειδὴ οὐ τοὺς ἰσχυροτέρους; καί, ὦ θαυμάσιε, πρᾳότερόν με προδίδασκε, ἵνα μὴ ἀποφοιτήσω παρὰ σοῦ.

E ΚΑΛ. Εἰρωνεύει, ὦ Σώκρατες.

ΣΩ. Μὰ τὸν Ζῆθον, ὦ Καλλίκλεις, ᾧ σὺ χρώμενος πολλὰ νῦν δὴ εἰρωνεύου πρός με· ἀλλ' ἴθι εἰπέ, τίνας λέγεις τοὺς βελτίους εἶναι;

ΚΑΛ. Τοὺς ἀμείνους ἔγωγε.

ΣΩ. Ὁρᾷς ἄρα, ὅτι σὺ αὐτὸς ὀνόματα λέγεις, δηλοῖς δὲ οὐδέν; οὐκ ἐρεῖς, τοὺς βελτίους καὶ κρείττους πότερον τοὺς φρονιμωτέρους λέγεις ἢ ἄλλους τινάς;

ΚΑΛ. Ἀλλὰ ναὶ μὰ Δία τούτους λέγω, καὶ σφόδρα γε.

490 ΣΩ. Πολλάκις ἄρα εἷς φρονῶν μυρίων μὴ φρονούντων κρείττων ἐστὶ κατὰ τὸν σὸν λόγον, καὶ τοῦτον ἄρχειν δεῖ, τοὺς δ' ἄρχεσθαι, καὶ πλέον ἔχειν τὸν ἄρχοντα τῶν ἀρχομένων· τοῦτο γάρ μοι δοκεῖς βούλεσθαι λέγειν —

1 *πλὴν ἰσχυρίσασθαι* = πλὴν ἀξίων ἰσχυρίσασθαι τῷ σώματι. Τὸ ἰσχυρίσασθαι = κατορθῶσαί τι λόγου ἄξιον τῷ σώματι, καὶ ἐπὶ τούτῳ ἐγκαυχᾶσθαι.

11 *πρᾳότερόν με προδίδασκε.* Διδάσκω τινὰ σημαίνει φωτίζω τὴν διάνοιάν του. Ἡ διδασκαλικὴ ὁδὸς εἶνε πολλάκις μακρά, ὁ δὲ φωτισμὸς τῆς διανοίας ἐπέρχεται κατὰ τὸ τέλος τῆς διδασκαλίας. Ἡ πρὸ τοῦ τέλους ἄρα διδασκαλικὴ διέξοδος δύναται νὰ θεωρηθῇ ὡς προδιδασκαλία. Διὰ τοῦτο εἶπε *προδίδασκε*. Εὐθύδ. 302 c· «εὐφήμει τε καὶ μὴ χαλεπῶς με προδίδασκε». Ἱππ. Μ. 291 b· «ἐμὲ οὖν προδίδασκε καὶ ἐμὴν χάριν ἀποκρίνου».

14 *Μὰ τὸν Ζῆθον* = Οὐ μὰ τὸν Ζῆθον. Ὅρ. πρκδλ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ οὐ ῥήματα θηρεύω — εἰ ὁ εἷς τῶν μυρίων κρείττων.

ΚΑΛ. Ἀλλὰ ταῦτ' ἐστιν ἃ λέγω. τοῦτο γὰρ οἶμαι ἐγὼ τὸ δίκαιον εἶναι φύσει, τὸ βελτίω ὄντα καὶ φρονιμώτερον καὶ ἄρχειν καὶ πλέον ἔχειν τῶν φαυλοτέρων.

ΜΕ'. ΣΩ. Ἔχε δὴ αὐτοῦ. τί ποτε αὖ νῦν λέγεις; ἐὰν B ἐν τῷ αὐτῷ ὦμεν, ὥσπερ νῦν, πολλοὶ [ἀθρόοι] ἄνθρωποι, καὶ ἡμῖν ᾖ ἐν κοινῷ πολλὰ σιτία καὶ ποτά, ὦμεν δὲ παντοδαποί, οἱ μὲν ἰσχυροί, οἱ δὲ ἀσθενεῖς, εἷς δὲ ἡμῶν ᾖ φρονιμώτερος περὶ ταῦτα, ἰατρὸς ὤν, ᾖ δέ, οἷον εἰκός, τῶν μὲν ἰσχυρότερος, τῶν δὲ ἀσθενέστερος, ἄλλο τι ἢ οὗτος, φρονιμώτερος ἡμῶν ὤν, βελτίων καὶ κρείττων ἔσται εἰς ταῦτα;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Ἦ οὖν τούτων τῶν σιτίων πλέον ἡμῶν ἑκτέον αὐτῷ, C ὅτι βελτίων ἐστίν, ἢ τῷ μὲν ἄρχειν πάντα ἐκεῖνον δεῖ νέμειν, ἐν δὲ τῷ ἀναλίσκειν τε αὐτὰ καὶ καταχρῆσθαι εἰς τὸ ἑαυτοῦ σῶμα οὐ πλεονεκτητέον, εἰ μὴ μέλλει ζημιοῦσθαι, ἀλλὰ τῶν μὲν πλέον, τῶν δ' ἔλαττον ἑκτέον· ἐὰν δὲ τύχῃ

1 *καὶ οὐ ῥήματα θηρεύω.* Ἀφ' οὗ ὁ Σωκ. ὑποβοηθῶν τὸν Καλλ. ὑπέβαλεν αὐτῷ καὶ τὴν προσήκουσαν λέξιν (τοὺς φρονιμωτέρους) καὶ τὴν προσήκουσαν διατύπωσιν τοῦ διανοήματός του, ἐπιφέρει «τοῦτο γάρ μοι δοκεῖς λέγειν, καὶ οὐ ῥήματα θηρεύω»· δηλ. «τοῦτό μοι φαίνεται ὅτι εἶνε τὸ νόημά σου, ἂν καὶ εἶσαι ἀνίκανος νὰ τὸ ἐκφράσῃς διὰ καταλλήλων λέξεων, καὶ δὲν ζητῶ νά σε πιάσω ἀπὸ τὰς λέξεις σου». Ταῦτα, ἀποκρούων τὴν μομφὴν τοῦ Καλλ. ὅτι ὁ Σωκ. θηρεύει ὀνόματα.

5 *Ἔχε δὴ αὐτοῦ.* Πρβλ. σελ. 460 a. Κατὰ τῆς οὕτω διατυπωθείσης γνώμης τοῦ Καλλ. ὁ Σωκ. δὲν ἔχει τινὰ ἀντίρρησιν· εἶνε καὶ αὐτὸς σύμφωνος ὅτι ὁ βελτίων καὶ ὁ φρονιμώτερος πρέπει νὰ ἄρχῃ καὶ νὰ πλεονεκτῇ τῶν φαυλοτέρων. Ἀλλ' ἐπέχει τὸν Καλλ. ἵνα διασαφήσῃ πῶς νοεῖ τὴν πλεονεξίαν.

6 *πολλοὶ ἀθρόοι*=πολλοὶ συνηθροισμένοι ὁμοῦ. Πολ. 492 b «ὅταν ξυγκαθεζόμενοι ἀθρόοι οἱ πολλοί».

7 *καὶ ἡμῖν ᾖ ἐν κοινῷ* = κοινά, πᾶσι τοῖς ἠθροισμένοις ἐξ ἴσου ἀνήκοντα· διότι ἂν ἦσαν ἴδια, θὰ ἐλάμβανεν ἕκαστος τὸ ἴδιον, καὶ τὸ παράδειγμα δὲν θὰ ἥρμοζεν.

*παντοδαποί*· κυρίως μὲν οἱ ἐκ παντὸς τόπου· καταχρηστικῶς δέ, ὅπως ἐνταῦθα, πάσης σωματικῆς ἕξεως καὶ ποιότητος ἄνθρωποι.

15 τῷ *μὲν ἄρχειν* = καθ' ὃ μὲν ἄρχων· δυνάμει τοῦ ἀξιώματος τοῦ ἄρχοντος.

16 *καὶ καταχρῆσθαι.* Ἡ *κατὰ* ἐπιτατική = πολλὴν ἢ συχνὴν χρῆσιν ποιεῖσθαι. Συντάσσεται δοτικῇ, ὡς καὶ τὸ ἁπλοῦν: καταχρῆσθαι αὐτοῖς. Ἐν-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πάντων ἀσθενέστατος ὤν, πάντων ἐλάχιστον τῷ βελτίστῳ, ὦ Καλλίκλεις; οὐχ οὕτως ὦ 'γαθέ;

ΚΑΛ. Περὶ σιτία λέγεις καὶ ποτὰ καὶ ἰατροὺς καὶ φλυ-
D αρίας· ἐγὼ δὲ οὐ ταῦτα λέγω.

ΣΩ. Πότερον, οὐ τὸν φρονιμώτερον βελτίω λέγεις; φάθι ἢ μή.

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Ἀλλ' οὐ τὸν βελτίω πλέον δεῖν ἔχειν;

ΚΑΛ. Οὐ σιτίων γε οὐδὲ ποτῶν.

ΣΩ. Μανθάνω, ἀλλ' ἴσως ἱματίων, καὶ δεῖ τὸν ὑφαντικώτατον μέγιστον ἱμάτιον ἔχειν καὶ πλεῖστα καὶ κάλλιστα ἀμπεχόμενον περιιέναι.

ΚΑΛ. Ποίων ἱματίων;

ΣΩ. Ἀλλ' εἰς ὑποδήματα δῆλον ὅτι δεῖ πλεονεκτεῖν
E τὸν φρονιμώτατον εἰς ταῦτα καὶ βέλτιστον. τὸν σκυτοτόμον ἴσως μέγιστα δεῖ ὑποδήματα καὶ πλεῖστα ὑποδεδεμένον περιπατεῖν.

ΚΑΛ. Ποῖα ὑποδήματα; φλυαρεῖς ἔχων.

ΣΩ. Ἀλλ' εἰ μὴ τὰ τοιαῦτα λέγεις, ἴσως τὰ τοιάδε· οἷον γεωργικὸν ἄνδρα, περὶ γῆν φρόνιμόν τε καὶ καλὸν καὶ ἀγαθόν, τοῦτον δὴ ἴσως δεῖ πλεονεκτεῖν τῶν σπερμάτων καὶ ὡς πλείστῳ σπέρματι χρῆσθαι εἰς τὴν αὑτοῦ γῆν.

---

ταῦθα κεῖται ἐκ παραλλήλου πρὸς τὸ ἀναλίσκειν.

1 *πάντων ἐλάχιστον τῷ βελτίστῳ.* Παραλάμβανε ἀπὸ κοινοῦ τὸ ἐκτέον = πάντων ἐλάχιστον δεῖ ἔχειν τὸν βέλτιστον.

3 *Περὶ σιτία λέγεις καὶ ποτὰ κ.τ.λ.* = Περὶ σιτία καὶ ποτὰ στρέφεις τοὺς λόγους.

9 *Οὐ σιτίων γε οὐδὲ ποτῶν.* Συμπλήρου ὧδε· «οὐ λέγω τὸν φρονιμώτερον δεῖν πλέον ἔχειν (τῶν ἄλλων) σιτίων οὐδὲ ποτῶν». Ἡ μὲν γεν. τῶν ἄλλων εἶνε ὁ β' ὅρος τῆς συγκρίσεως, αἱ δὲ γεν. σιτίων, ποτῶν, εἶνε μεριστικαί, ὁποῖαι καὶ αἱ γεν. τῶν μετέχειν, μεταλαμβάνειν, κοινωνεῖν κ.τ.τ.

10 *Μανθάνω.* Τὸ ἡμέτερον: Ἆ, κατάλαβα· μετ' εἰρωνικῆς προσποιήσεως.

18 *φλυαρεῖς ἔχων.* Καὶ κατωτέρω 497 a· «ὅτι ἔχων ληρεῖς». Φαῖδρ. «τί δῆτ' ἔχων στρέφει;» Ἡ τοιαύτη χρῆσις τῆς μετοχῆς *ἔχων* φαίνεται ὅτι ἦτο δημώδης, διὸ καὶ ὁ Ἀριστοφ. τὴν μεταχειρίζεται συχνάκις. «τί κυπτάζεις ἔχων περὶ τὴν θύραν; τί ἔχων στραγγεύομαι; τί γὰρ ἕστηκ' ἔχων;»

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΚΑΛ. Ὡς ἀεὶ ταὐτὰ λέγεις, ὦ Σώκρατες.

ΣΩ. Οὐ μόνον γε, ὦ Καλλίκλεις, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν.

ΚΑΛ. Νὴ τοὺς θεούς, ἀτεχνῶς γε ἀεὶ σκυτέας τε καὶ 491
κναφέας καὶ μαγείρους λέγων καὶ ἰατροὺς οὐδὲν παύει, ὡς περὶ τούτων ἡμῖν ὄντα τὸν λόγον.

ΣΩ. Οὐκοῦν σὺ ἐρεῖς περὶ τίνων ὁ κρείττων τε καὶ φρονιμώτερος πλέον ἔχων δικαίως πλεονεκτεῖ. ἢ οὔτε ἐμοῦ ὑποβάλλοντος ἀνέξει οὔτ' αὐτὸς ἐρεῖς;

ΚΑΛ. Ἀλλ' ἔγωγε καὶ πάλαι λέγω· πρῶτον μὲν τοὺς κρείττους, οἵ εἰσιν, οὐ σκυτοτόμους λέγω οὐδὲ μαγείρους, B
ἀλλ' οἳ ἂν εἰς τὰ τῆς πόλεως πράγματα φρόνιμοι ὦσιν, ὅντινα ἂν τρόπον εὖ οἰκοῖτο, καὶ μὴ μόνον φρόνιμοι, ἀλλὰ καὶ ἀνδρεῖοι, ἱκανοὶ ὄντες ἃ ἂν νοήσωσιν ἐπιτελεῖν, καὶ μὴ ἀποκάμνωσι διὰ μαλακίαν τῆς ψυχῆς.

ΜϚʹ. ΣΩ. Ὁρᾷς, ὦ βέλτιστε Καλλίκλεις, ὡς οὐ ταὐτὰ σύ τ' ἐμοῦ κατηγορεῖς καὶ ἐγὼ σοῦ; σὺ μὲν γὰρ ἐμὲ φῂς ἀεὶ ταῦτα λέγειν, καὶ μέμφει μοι· ἐγὼ δὲ σοῦ τοὐναντίον, ὅτι οὐδέποτε ταὐτὰ λέγεις περὶ τῶν αὐτῶν, ἀλλὰ τότε μὲν τοὺς βελτίους τε καὶ κρείττους τοὺς ἰσχυροτέρους ὡ- C
ρίζου, αὖθις δὲ τοὺς φρονιμωτέρους, νῦν δ' αὖ ἕτερόν τι ἥκεις ἔχων, ἀνδρειότεροί τινες ὑπὸ σοῦ λέγονται οἱ κρείττους καὶ οἱ βελτίους. ἀλλ', ὦ 'γαθέ, εἰπὼν ἀπαλλάγηθι, τίνας ποτὲ λέγεις τοὺς βελτίους τε καὶ κρείττους καὶ εἰς ὅ τι.

1 *Ὡς ἀεὶ ταὐτὰ λέγεις, ὦ Σώκ.* Τὸ ὡς ἐπιφων. = Πῶς πάντοτε τὰ ἴδια λέγεις! ἢ Δὲν βαριέσαι νὰ λέγῃς πάντοτε τὰ ἴδια;

2 *Οὐ μόνον γε,* κ.τ.λ. Ὅρα πρχβλ.

9 *Ἀλλ' ἔγωγε καὶ πάλαι λέγω.* Πάλιν καταφαίνεται ἡ ψευδοφιλοτιμία τοῦ Καλλ. ὅτι δῆθεν ἐμμένει σταθερὸς ἐν τῇ ἀρχικῇ γνώμῃ του, ἐν ᾧ πράγματι ἀποφαίνει καταγέλαστον μετάπτωσιν, καὶ νῦν δὲ ἐπιπροσθέτει ἐπὶ τῇ φρονήσει καὶ τὴν ἀνδρείαν ὡς προσὸν τοῦ κρείττονος.

*τοὺς κρείττους, οἵ εἰσιν.* Δὲν εἶνε ἀναφορ. πρότ. το *οἵ εἰσιν*, ἀλλὰ πλαγία ἐρωτ. Τὸ οἳ = οἵτινες = τίνες.

13 *καὶ μὴ ἀποκάμνωσι.* Ἀνακόλ. ἀντὶ «καὶ μὴ ἀποκάμνοντες».

21 *ἥκεις ἔχων·* καὶ ἡμεῖς· «μᾶς ἔρχεσαι, μᾶς παρουσιάζεσαι μὲ κἄτι καινούργιον». Σελ. 518 a· «ἥκεις δὲ ὀλίγον ὕστερον λέγων κ.τ.λ.»

23 *τίνας ποτὲ λέγεις τοὺς βελτίους τε καὶ κρείττους καὶ εἰς ὅ τι.* Ζητεῖται καὶ πάλιν ὁ ὁρισμὸς τοῦ βελτίονος καὶ κρείττονος. Ὁ πρότερον δοθείς,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΚΑΛ. Ἀλλ' εἴρηκά γε ἔγωγε τοὺς φρονίμους εἰς τὰ τῆς
D πόλεως πράγματα καὶ ἀνδρείους. τούτους γὰρ προσήκει
τῶν πόλεων ἄρχειν, καὶ τὸ δίκαιον τοῦτ' ἐστι, πλέον ἔχειν
τούτους τῶν ἄλλων, τοὺς ἄρχοντας τῶν ἀρχομένων.

ΣΩ. Τί δὲ αὐτῶν, ὦ ἑταῖρε; τί ἡγεῖ; ἄρχοντας ἢ ἀρχομένους;

ΚΑΛ. Πῶς λέγεις;

ΣΩ. Ἕνα ἕκαστον λέγω αὐτὸν ἑαυτοῦ ἄρχοντα· ἢ τοῦτο μὲν οὐδὲν δεῖ, αὐτὸν ἑαυτοῦ ἄρχειν, τῶν δὲ ἄλλων;

ΚΑΛ. Πῶς ἑαυτοῦ ἄρχοντα λέγεις;

ΣΩ. Οὐδὲν ποικίλον, ἀλλ' ὥςπερ οἱ πολλοί, σώφρονα
ὄντα καὶ ἐγκρατῆ αὐτὸν ἑαυτοῦ, τῶν ἡδονῶν καὶ ἐπιθυ-
E μιῶν ἄρχοντα τῶν ἐν ἑαυτῷ.

ΚΑΛ. Ὡς ἡδὺς εἶ· τοὺς ἠλιθίους λέγεις τοὺς σώφρονας.

ὅτι βελτίους εἰσὶν οἱ φρονιμώτεροι, ἀπεδείχθη ὑπ' αὐτοῦ τοῦ Καλλ. διττῶς ἀνακριβής· πρῶτον μὲν δὲν τῷ ἐξήρκεσεν ὁ ὅρος «*τῆς φρονήσεως*», ἀλλ' ἐπιπροσέθηκε καὶ τὸν τῆς ἀνδρείας· ἔπειτα δὲ ἐξήρεσε τόσον πολλοὺς ἐκ τῶν ὑπαγομένων ὑπὸ τὸν ὅρον τῆς φρονήσεως, ὥςτε παρέστη ἀνάγκη νὰ ὁρισθῇ ὅτι οὐχὶ ὁ περὶ πᾶν φρόνιμος, ἀλλ' ὁ περὶ τί;

1 ***Ἀλλ' εἴρηκά γε*** κ. τ. λ. Διὰ τοῦ ***εἴρηκα*** προσποιεῖται καὶ ἐνταῦθα ὁ Καλλ. ἐμμονὴν ἐπὶ τοῖς ἐν ἀρχῇ δεδογμένοις καὶ δεδηλωμένοις.

5 ***Τί δὲ αὐτῶν;*** κ. τ. λ. Τί δὲ ἡγεῖ ἑαυτῶν δεῖν εἶναι; ἄρχοντας ἢ ἀρχομένους;

8 ***ἢ τοῦτο μὲν οὐδὲν δεῖ.*** Τὸ *τοῦτο* εἶνε προεξαγγελία τοῦ ἀπαρεμφ. *αὐτὸν ἑαυτοῦ ἄρχειν*. Πολλὰ ῥήματα συντασσόμενα ἀπαρεμφάτῳ δέχονται ὡς προεξαγγελίαν ἢ ἀνακεφαλαίωσιν αὐτοῦ αἰτιατικὴν ἀντωνυμίας δεικτικῆς, ἢ ἀναφορικῆς ἢ ἐρωτηματικῆς οὐδετέρου γένους, ἐν ᾧ δὲν δύνανται νὰ δεχθῶσιν αἰτιατ. ἄλλου ὀνόματος· οἷον, ἀντὶ «ἔπεισαν αὐτοὺς πολεμεῖν» δύναται νὰ ῥηθῇ: ἔπεισαν αὐτοὺς ταῦτα· οὐχὶ δὲ καί: ἔπεισαν αὐτοὺς τὸν πόλεμον. Ἀπολ. 17 c· «τοῦτο ὑμῶν δέομαι καὶ παρίεμαι» καὶ κατωτέρω «τοῦτο ὑμῶν δέομαι δίκαιον». Τοιοῦτον καὶ ἐπὶ τοῦ προκειμένου τὸ τοῦτο.

10 *Πῶς ἑαυτοῦ ἄρχοντα λέγεις;* = Τί νοεῖς λέγων ἑαυτοῦ ἄρχοντα; Ἡ ἐπανειλημμένη αὕτη τοῦ Καλλ. ἀκαταληψία τῶν λόγων τοῦ Σωκ. σημαίνει ὅτι ὁ Καλλ. οὐδέποτε ἐν τῷ βίῳ ἤκουσεν ἢ ἐνενόησεν ὅτι ἐνδέχεταί τις νὰ ἄρχῃ καὶ ἑαυτοῦ.

11 ***Οὐδὲν ποικίλον.*** Συμπλήρου ὧδε· «Οὐδὲν ποικίλον λέγω (ἢ νοῶ), λέγων ἑαυτοῦ ἄρχοντα, ἀλλ' ὥςπερ οἱ πολλοὶ νοοῦσι τὸν ἑαυτοῦ ἄρχοντα, σώφρονα ὄντα κ. τ. λ.» *Ποικίλον* ἐνταῦθα τὸ σύνθετον καὶ περίπλοκον καὶ τοῖς πολλοῖς δυσκατάληπτον. Τὸ ἐναντίον εἶνε τὸ *ἁπλοῦν*. Μέν. 75 e. Συμπ. 182 b.

14 *Ὡς ἡδὺς εἶ!* Εἰρωνεία μετ' Ἀττ. ἀβροεπείας, ἀντὶ Ὡς μωρὸς εἶ! Καὶ ἡμεῖς: Τί νόστιμος ποῦ εἶσαι;

***τοὺς ἠλιθίους λέγεις τοὺς σώφρονας*** = λέγων (τοὺς) σώφρονας νο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΩ. Πῶς γὰρ οὔ; οὐδεὶς ὅςτις οὐκ ἂν γνοίη, ὅτι [οὐ]
τοῦτο λέγω.

ΚΑΛ. Πάνυ γε σφόδρα, ὦ Σώκρατες. ἐπεὶ πῶς ἂν εὐ-
δαίμων γένοιτο ἄνθρωπος δουλεύων ὁτῳοῦν; ἀλλὰ τοῦτ'
ἔστι τὸ κατὰ φύσιν καλὸν καὶ δίκαιον, ὃ ἐγώ σοι νῦν παρ-
ρησιαζόμενος λέγω, ὅτι δεῖ τὸν ὀρθῶς βιωσόμενον τὰς μὲν
ἐπιθυμίας τὰς ἑαυτοῦ ἐᾶν ὡς μεγίστας εἶναι καὶ μὴ κολά-
ζειν, ταύταις δὲ ὡς μεγίσταις οὔσαις ἱκανὸν εἶναι ὑπηρε- 492
τεῖν δι' ἀνδρείαν καὶ φρόνησιν, καὶ ἀποπιμπλάναι ὧν ἂν
ἀεὶ ἐν ἐπιθυμίᾳ γίγνηται. ἀλλὰ τοῦτ', οἶμαι, τοῖς πολλοῖς
οὐ δυνατόν· ὅθεν ψέγουσι τοὺς τοιούτους δι' αἰσχύνην,

εἴς τοὺς ἠλιθίους· ὥςτε τὸ μὲν *ἠλιθίους* εἶνε τὸ ἀντικ., τὸ δὲ *σώφρονας* τὸ κατηγορ.

1 ***Πῶς γὰρ οὔ; οὐδεὶς ὅστις*** κ.τ.λ. =Πῶς ὄχι; ἀκοῦς ἐκεῖ; καθεὶς τὸ καταλαμβάνει ὅτι ἔτσι λέγω (ὅτι τοῦτο νοῶ). Εἰρωνικὴ ἀντίφρασις, καθ' ἣν ἐπιβεβαιοῖ διὰ τοῦ λόγου τὸ ἐναντίον ἐκείνου ὅπερ νοεῖ, οὐχὶ ψευδόμενος, ἀλλὰ σαφῶς δηλῶν διὰ τοῦ εἰρωνικοῦ τόνου, ὅτι τὸ ἐναντίον τοῦ λεγομένου νοεῖ ὡς τὸ ἀληθές. Διὰ τοῦτο καὶ ὁ Καλλ. ὡς ἀρνηθέντος τοῦ Σωκ. ἐπιφέρει νέαν ἐπιβεβαίωσιν τοῦ προειρημένου ἰσχυρισμοῦ του διὰ τοῦ « ***Πάνυ γε σφόδρα***, καὶ ἀπόδειξιν αὐτοῦ διὰ τῶν: ***ἐπεὶ πῶς ἂν*** κ. τ. λ.

***ἐπεὶ πῶς ἂν γένοιτο*** κ. τ. λ. Ὁ λόγος ἐνθυμηματικός· ἔστι δὲ ἐνθύμημα κατ' Ἀριστοτ. συλλογισμὸς συνεπτυγμένος. Ἀναπτυσσόμενος ὁ συλλογισμὸς τοῦ Καλλ. θὰ εἶχεν ὧδε·

*Α'. Συλλογισμός.*

Α'. Πᾶς ἄνθρωπος ὑγιὴς τὸν νοῦν ἐφίεται εὐδαιμονίας. Καὶ ἀντιστρόφως, πᾶς τις ἐφιέμενος κακοδαιμονίας οὐχ ὑγιαίνει τὸν νοῦν (ἐστὶν ἠλίθιος).

Β'. Ὁ ἑκὼν δουλεύων, ἑκὼν γίνεται κακοδαίμων.

Γ'. Ὁ ἑκὼν ἄρα δουλεύων ἐστὶν ἠλίθιος.

*Β'. Συλλογισμός.*

Α'. Ὁ ἑκὼν δουλεύων ὁτῳοῦν ἐστιν ἠλίθιος.

Β'. Ὁ σώφρων ἑκὼν δουλεύει τῷ νόμῳ καὶ τῇ γνώμῃ τῶν πολλῶν.

Γ'. Ὁ σώφρων ἄρα ἐστὶν ἠλίθιος.

Τούτων ὁ μὲν Α' Συλλογισμὸς εἶνε ἀνεπίληπτος· τοῦ δὲ Β' εἶνε ἐπιλήψιμος ἡ Ἐλάσσων· διότι τὴν σωφροσύνην ὑπολαμβάνει δουλείαν, ἐν ᾧ κατ' ἀλήθειαν εἶνε ἐλευθερία τοῦ κυριωτάτου τῆς ψυχῆς τοῦ ἀνθρώπου, τοῦ νοῦ καὶ τῆς φρονήσεως ἀπὸ τοῦ ζῳώδους καὶ ἀλόγου μορίου αὐτῆς, τοῦ ἐπιθυμητικοῦ.

5 ***ὃ ἐγώ σοι νῦν παρρησιαζόμενος λέγω.*** Λέγει τὸ πάντων ἀναισχυντότατον καὶ ἀνατρεπτικώτατον τῶν βάσεων πάσης κοινωνίας ἀνθρώπων, οὐ μόνον τῶν ἡμέρων καὶ εὐνομουμένων, ἀλλὰ καὶ τῶν ἀγρίων τῶν ἄνευ νόμων καὶ δίκης ἐν κοινωνίᾳ ζώντων. Ταύτην δὲ τὴν ἀναισχυντίαν ὀνομάζει εὐπροσώπως παρρησίαν, ἥτις ὄντως ἐστὶν ἀρετὴ καὶ ἐπαινετόν, ὅταν δι' αὐτῆς δηλῶται πᾶν ὅ τι ῥητὸν καὶ θεμιτόν, οὐχὶ δὲ τὰ ἄρρητα καὶ ἀθέμιτα. Τὸ νὰ ὁμολογῇ τις παρρησιαζόμενος ὅτι εἶνε ἐπίορκος, ἱερόσυλος, λῃστής, ἀσελγὴς κ.τ.τ. δὲν εἶνε βέβαια διὰ τὴν παρρησίαν ταύτην ἀξιάγαστος. Προσ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀποκρυπτόμενοι τὴν αὑτῶν ἀδυναμίαν, καὶ αἰσχρὸν δή φασιν εἶναι τὴν ἀκολασίαν, ὅπερ ἐν τοῖς πρόσθεν ἐγὼ ἔλεγον, δουλούμενοι τοὺς βελτίους τὴν φύσιν ἀνθρώπους· καὶ αὐ-
B τοὶ οὐ δυνάμενοι ἐκπορίζεσθαι ταῖς ἡδοναῖς πλήρωσιν ἐπαινοῦσι τὴν σωφροσύνην καὶ τὴν δικαιοσύνην διὰ τὴν αὑτῶν ἀνανδρίαν. ἐπεί γε οἷς ἐξ ἀρχῆς ὑπῆρξεν ἢ βασιλέων υἱέσιν εἶναι ἢ αὐτοὺς τῇ φύσει ἱκανοὺς ἐκπορίσασθαι ἀρχήν τινα ἢ τυραννίδα ἢ δυναστείαν, τί τῇ ἀληθείᾳ αἴσχιον καὶ κάκιον ἂν εἴη σωφροσύνης τούτοις τοῖς ἀνθρώποις, οἷς ἐξὸν ἀπολαύειν τῶν ἀγαθῶν καὶ μηδενὸς ἐμποδὼν ὄντος, αὐτοὶ ἑαυτοῖς δεσπότην ἐπαγάγοιντο τὸν τῶν πολλῶν ἀνθρώπων νόμον τε καὶ λόγον καὶ ψόγον; ἢ πῶς οὐκ ἂν ἄθλιοι γεγο-
C νότες εἴησαν ὑπὸ τοῦ καλοῦ τοῦ τῆς δικαιοσύνης [καὶ τῆς σωφροσύνης], μηδὲν πλέον νέμοντες τοῖς φίλοις τοῖς αὑτῶν ἢ τοῖς ἐχθροῖς, καὶ ταῦτα ἄρχοντες ἐν τῇ ἑαυτῶν πόλει; ἀλλὰ τῇ ἀληθείᾳ, ὦ Σώκρατες, ἣν φῂς σὺ διώκειν, ὧδ' ἔχει· τρυφὴ καὶ ἀκολασία καὶ ἐλευθερία, ἐὰν ἐπικουρίαν

έθηκε τὸ *νῦν*, ἵνα δηλώση ὅτι τώρα πρώτην φοράν λέγει καθαρὰ καὶ ξάστερα τὴν πλήρη καὶ ἀληθινὴν γνώμην του.

6 *οἷς ἐξ ἀρχῆς* κ.τ.λ. Παραλαμβανομένων καὶ τῶν παραλειπομένων, ὁ λόγος θὰ εἶχεν ὧδε· «οἷς ἐξ ἀρχῆς ὑπῆρξε βασιλέων υἱέσιν εἶναι, ἢ οἷς ὑπῆρξε τῇ φύσει ἱκανοὺς εἶναι αὐτοὺς ἐκπορίσασθαι ἀρχήν τινα κ.τ.λ.» Ἐντεῦθεν γίνεται καταφανὴς ἡ ἀνάγκη ἣν εἶχε νὰ μεταβάλη τὴν πτῶσιν ἐν τῷ β' διαζευκτικῷ κώλῳ ἀπὸ δοτ. προσωπ. τοῦ *ὑπῆρξεν* εἰς αἰτιατ. ὑποκείμενον τοῦ *ἐκπορίσασθαι*· ἡ αἰτιατ. δηλοῖ σαφέστερον τὸ ἐνεργοῦν ὑποκείμενον ἢ ἡ δοτική.

8 *τί τῇ ἀληθείᾳ αἴσχιον καὶ κάκιον ἂν εἴη σωφροσύνης*. Τὰ ῥήματα ταῦτα ἀποτελοῦσι τὴν κορυφὴν τῆς ἀναισχυντίας τοῦ Καλλ. Τὸ *κάκιον* συμπαρέλαβεν ὡς στήριγμα τοῦ *αἴσχιον*. Ὅτι ἀποφαίνει τὴν σωφροσύνην κακὸν δὲν εἶνε τόσον παράδοξον, καὶ πολλοὺς εἶχε καὶ ἔχει συνομολογητάς· ἀλλὰ δυσκόλως θὰ εὕρισκε τὸν τολμῶντα νὰ συνομολογήση αὐτῷ ὅτι εἶνε καὶ αἰσχρόν. Ἐπειδὴ δ' ὅμως ἐν τοῖς ἔμπροσθεν καὶ ὁ Σωκ. ἐταύτισε τὸ κακὸν καὶ τὸ αἰσχρόν, καὶ ὁ Καλλ. συνεφώνησε κατὰ τοῦτο, παραθέτει ἐνταῦθα τὸ *κάκιον*, τὸ πολλοῖς καὶ ἄλλοις δοκοῦν, παρὰ τὸ *αἴσχιον* ἵνα καταστήση αὐτὸ εὐαποδεκτότερον τοῖς ἀκούουσι.

13 *ὑπὸ τοῦ καλοῦ τοῦ τῆς δικαιοσύνης καὶ τῆς σωφροσύνης*. Εἰς τὴν σπουδάζουσαν ἀναισχυντολογίαν ἐπιπροστίθεται ἡ χαριεντιζομένη, ὡς ἐπίμετρον τῆς ἀναισχυντίας. Τὸ εἶδος τῆς εἰρωνείας ἀντίφρασις. Λέγων τὸ καλὸν νοεῖ τὸ αἰσχρόν.

17 *ἀκολασία καὶ ἐλευθερία*. Τὴν ἱερὰν λέξιν *ἐλευθερία* ἔθεσεν ἐκ παραλ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔχῃ, τοῦτ᾽ ἐστιν ἀρετή τε καὶ εὐδαιμονία· τὰ δὲ ἄλλα ταῦτ᾽ ἐστι, τὰ καλλωπίσματα, τὰ παρὰ φύσιν συνθήματα ἀνθρώπων, φλυαρία καὶ οὐδενὸς ἄξια.

ΜΖ΄. ΣΩ. Οὐκ ἀγεννῶς γε, ὦ Καλλίκλεις, ἐπεξέρχει D τῷ λόγῳ παρρησιαζόμενος· σαφῶς γὰρ σὺ νῦν λέγεις, ἃ οἱ ἄλλοι διανοοῦνται μέν, λέγειν δὲ οὐκ ἐθέλουσι. δέομαι οὖν ἐγώ σου μηδενὶ τρόπῳ ἀνεῖναι, ἵνα τῷ ὄντι κατάδηλον γένηται πῶς βιωτέον. καί μοι λέγε· τὰς μὲν ἐπιθυμίας φῄς οὐ κολαστέον, εἰ μέλλει τις οἷον δεῖ εἶναι, ἐῶντα δὲ αὐτὰς ὡς μεγίστας πλήρωσιν αὐταῖς ἁμόθεν γέ ποθεν ἑτοιμάζειν, καὶ τοῦτο εἶναι τὴν ἀρετήν.

ΚΑΛ. Φημὶ ταῦτα ἐγώ. E

ΣΩ. Οὐκ ἄρα ὀρθῶς λέγονται οἱ μηδενὸς δεόμενοι εὐδαίμονες εἶναι.

ΚΑΛ. Οἱ λίθοι γὰρ ἂν οὕτω γε καὶ οἱ νεκροὶ εὐδαιμονέστατοι ἦσαν.

ΣΩ. Ἀλλὰ μὲν δὴ καὶ ὥς γε σὺ λέγεις δεινὸς ὁ βίος.

λήλου παρὰ τὴν *ἀκολασίαν,* ἵνα κολάσῃ ταύτης τὸ ἀποτρόπαιον. Δῆλον ὅτι ἐλευθερίαν νοεῖ ἐνταῦθα ἐκεῖνο ὅπερ οἱ ἀρχαῖοι ἐδήλουν διὰ τοῦ ἰαμβείου. Ἐλευθέρα Κέρκυρα . . .

1 *τὰ δὲ ἄλλα ταῦτα* κ.τ.λ. Σύμπλεκε ὧδε· «τὰ δ᾽ ἄλλα ταῦτα, τὰ καλλωπίσματα, τὰ παρὰ φύσιν συνθήματα ἀνθρώπων, ἐστὶ φλυαρία καὶ οὐδενὸς ἄξια».

4 *Οὐκ ἀγεννῶς—παρρησιαζόμενος.* Τὸ *ἐπεξέρχει* = διηγεῖσαι ἢ ἐκθέτεις τὰ διανοήματά σου. *Τῷ λόγῳ* δοτ. ὀργαν. τοῦ *ἐπεξέρχει· παρρησιαζόμενος* τροπ. μετ. τοῦ *ἐπεξέρχει· ἀγεννῶς,* εἴς τε τὸ *ἐπεξέρχει* καὶ εἰς τὸ *παρρησιαζόμενος.* Εἰρωνικὸς ἔπαινος τῆς παρρησίας τοῦ Καλλ.

7 *ἀνεῖναι.* Χαλαρώνω, ἐνδίδω. Ἐκ τούτου τὸ *ἀνέδην.*

9 *φῂς οὐ κολαστέον εἶναι — ἑτοιμάζειν δέ.* Ἐπειδὴ τὸ *οὐ κολαστέον εἶναι* = οὐ δεῖν κολάζειν, ἐπήνεγκε τὸ *ἑτοιμάζειν* ὡς νὰ προεῖπε *δεῖν.*

11 *καὶ τοῦτο εἶναι τὴν ἀρετὴν* = καὶ τοῦτο φῂς εἶναι τὴν ἀρ.

13 *Οὐκ ἄρα ὀρθῶς λέγονται* κ.τ.λ. Ἦτο τὸ θεμελιῶδες δόγμα τῶν κυνικῶν φιλοσόφων, ὑπὸ Ἀντισθένους ἀνακηρυχθέν, οὐδ᾽ ὑπὸ Σωκ. καταφρονούμενον. Πρβλ. Ξνφ. Ἀπομν. Α΄, ϛ΄, 10· «Ἐγὼ δὲ νομίζω τὸ μὲν μηδενὸς δεῖσθαι θεῖον εἶναι, τὸ δὲ ὡς ἐλαχίστων, ἐγγυτάτω τοῦ θείου, καὶ τὸ μὲν θεῖον κράτιστον, τὸ δ᾽ ἐγγυτάτω τοῦ θείου ἐγγυτάτω τοῦ κρατίστου».

17 *Ἀλλὰ μὲν δὴ καὶ ὥς γε σὺ λέγεις δεινὸς ὁ βίος.* Ὁ ἐφεξῆς λόγος τοῦ Σωκ. εἶνε οὕτω κεχρωσμένος ὥστε νὰ ἀντίχηται πρὸς τὸν τοῦ Καλλ. ὡς ὁ μονόχρους μέλας ἱματισμὸς τῆς κοσμίως καὶ σεμνοπρεπῶς ἐνδεδυμένης γυναικὸς πρὸς τὰ κοκκινοπάρδαλα ἐνδύματα καὶ ἐξαρτήματα τῶν ἑταιρῶν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐ γάρ τοι θαυμάζοιμ᾽ ἄν, εἰ Εὐριπίδης ἀληθῆ ἐν τοῖςδε λέγει, λέγων·

τίς δ᾽ οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
τὸ κατθανεῖν δὲ ζῆν;

493 καὶ ἡμεῖς τῷ ὄντι ἴσως τέθναμεν· ὃ δή του ἔγωγε καὶ ἤκουσα τῶν σοφῶν, ὡς νῦν ἡμεῖς τέθναμεν, καὶ τὸ μὲν σῶμά ἐστιν ἡμῖν σῆμα, τῆς δὲ ψυχῆς τοῦτο, ἐν ᾧ αἱ ἐπιθυμίαι εἰσί, τυγχάνει ὂν οἷον ἀναπείθεσθαι καὶ μεταπίπτειν ἄνω κάτω. καὶ τοῦτο ἄρα τις μυθολογῶν κομψὸς ἀνήρ, ἴσως Σικελός τις ἢ Ἰταλικός, παράγων τῷ ὀνόματι, διὰ τὸ πι-

Καὶ λίαν ἐπικαίρως ὁ Σωκ. πρὶν ἐλέγξῃ διαλεκτικῶς τὴν οὐτιδανότητα τοῦ ἀκολάστου βίου, ἐπιχειρεῖ διὰ σεμνοῦ καί πως μελαγχολικοῦ λόγου νὰ ἐπιδείξῃ ὅτι ὁ βίος τοῦ ἀνθρώπου δὲν εἶνε παιδιὰ ἐπιπόλαιος καὶ βέβηλος, ἀλλὰ σπουδὴ ἱεροπρεπής. Εὐαρμοστεῖ δὲ ὁ μελαγχολικὸς οὗτος τόνος πρὸς τὴν κατέχουσαν τότε τὸν Πλ. ἐπὶ τῷ θανάτῳ τοῦ Σωκ. ψυχικὴν διάθεσιν.

Τὸ κύριον νόημα τοῦ Σωκ. εἶνε τόδε· «Εἶνε μὲν ἀληθὲς ὅτι τὸ μηδενὸς δεῖσθαι εἶνε νεκροῦ εὐδαιμονία, ἀλλὰ καὶ οἵαν σὺ λέγεις τὴν εὐδαιμονίαν, τὸ διάγειν τὸν βίον ἀκολάστως, εἶνε εὐδαιμονία ἄλλου εἴδους νεκρῶν· διότι δὲν εἶνε παράδοξον, καθὼς λέγει ὁ Εὐριπ. καὶ ἄλλοι σοφοί, ὅτι ἡμεῖς νομίζομεν ζωήν, νὰ εἶνε θάνατος καὶ τἀνάπαλιν, καὶ τὸ σῶμα ἡμῶν νὰ εἶνε τάφος.

6 *ὃ δή* κ. τ. λ. Οἱ σοφοὶ οἱ δοξάζοντες ὅτι ἡ παροῦσα ζωὴ εἶνε θάνατος καὶ τὸ σῶμα σῆμα (=τάφος), ἦσαν οἱ Πυθαγόρειοι. Κρατ. 400 b· «καὶ γὰρ σῆμά τινές φασιν αὐτὸ εἶναι τῆς ψυχῆς, ὡς τεθαμμένης ἐν τῷ νῦν παρόντι». Εἰς ταῦτα σημειοῖ ὁ Θεοδώρητος τάδε· «Σύμφωνα δὲ τούτων καὶ Φιλόλαος ὁ Πυθαγόρειος ἔφη· λέγει δὲ ὧδε· μαρτυρέονται δὲ καὶ οἱ παλαιοὶ θεολόγοι τε καὶ μάντεις, ὡς διά τινας τιμωρίας ἡ ψυχὴ τῷ σώματι συνέζευκται καὶ καθάπερ ἐν σήματι τούτῳ τέθαπται». Οἱ Θηβαῖοι Σιμμίας καὶ Κέβης ἐγένοντο πρότερον μαθηταὶ τοῦ Φιλολάου καταφυγόντος εἰς Θήβας, ὕστερον δὲ συνεμαθήτευον μετὰ Πλ. παρὰ Σωκ. καὶ ἦσαν, ὡς πολλαχόθεν ἔστιν εἰκάσαι, ἑταιρότατοι. Οἱ ἄνδρες οὗτοι ἐγένοντο τοῦ Πλ. διδάσκαλοι τῶν Πυθαγορείων δογμάτων, ὡς ὁ Κρατύλος τῶν Ἡρακλειτείων, πρὸ τῆς μεγάλης ἐπιστημονικῆς ἀποδημίας του.

8 *οἷον ἀναπείθεσθαι καὶ μεταπίπτειν*. Ἐξέλεξε τὰς λέξεις ταύτας ἵνα ἐξ αὐτῶν κατωτέρω παραγάγῃ παρωνύμως τὸ *πιθανὸν* καὶ *πιστικόν*, καὶ ἐκ τούτων *τὸν πίθον*. Οἱ ἀρχαῖοι ἐνηπίαζον οὕτω περὶ τὴν ἐτυμολογίαν τῶν λέξεων, ὥστε διὰ μικρὰν τῶν φθόγγων ὁμοιότητα κατέτασσον εἰς τὴν αὐτὴν ὁμογένειαν λέξεις οὐδὲν κοινὸν πρὸς ἀλλήλας ἐχούσας· οἷον ἐν Κρατ. 411 d, ἡ φρόνησις ἐτυμολογεῖται: *φορᾶς νόησις ἢ ὄνησις*· ἡ γνώμη, *γονῆς νώμησις*, ἡ νόησις, τοῦ *νέου ἔσις*, οἱονεὶ νεόεσις κ. τ. τ.

9 *κομψὸς ἀνήρ*. Τὸ *κομψὸς* συχνάκις ἐπὶ τῶν ἐνδόξων σοφῶν, μετὰ ἐλαφρᾶς εἰρωνείας.

10 *Σικελός τις ἢ Ἰταλικός*. Φαίνεται ὅτι νοεῖ τὸν Ἐμπεδοκλέα, Σικελὸν μὲν ὄντα, Ἀκραγαντῖνον, ἀλλ᾽ ἐξ Ἰταλίας καταγόμενον.

*παράγων τῷ ὀνόματι*. Παράγω τι ὄνομα = δι᾽ ἐλαφρᾶς παραποιήσεως τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θανόν τε καὶ πιστικὸν ὠνόμασε πίθον, τοὺς δὲ ἀνοήτους ἀμυήτους· τῶν δ' ἀμυήτων τοῦτο τῆς ψυχῆς, οὗ αἱ ἐπι- B θυμίαι εἰσί, τὸ ἀκόλαστον αὐτοῦ καὶ οὐ στεγανόν, ὡς τετρημένος εἴη πίθος, διὰ τὴν ἀπληστίαν ἀπεικάσας. τοὐναντίον δὴ οὗτος σοί, ὦ Καλλίκλεις, ἐνδείκνυται ὡς τῶν ἐν Ἅιδου — τὸ ἀειδὲς δὴ λέγων — οὗτοι ἀθλιώτατοι ἂν

φθόγγων καθιστῶ ὅμοιον ἢ ἀποφαίνω συγγενὲς ὄνομά τι πρός ἄλλο τι. Ἐνταῦθα μετὰ δοτ. *παράγων τῷ ὀνόματι* = διὰ τὴν τῶν ὀνομάτων ὁμοιότητα ἀποφαίνων συγγενῆ αὐτὰ τὰ νοούμενα πράγματα, οἷον τὸ ἐπιθυμητικόν, τὸ πιθανὸν καὶ τὸν πίθον.

*διὰ τὸ πιθανόν τε καὶ πιστικόν.* Ἀμφότερα παθητικῶς = διὰ τὸ εὔπιστον. Ξνφ. Κ. Π. Β', ϛ', 10. Πιθανοὶ δ' οὕτως εἰσί τινες, ὥστε πρὶν εἰδέναι τὸ προστασσόμενον, πρότερον πείθονται.

1 *τοὺς δὲ ἀνοήτους ἀμυήτους.* Τὰ μὲν ὀνόματα οὐδὲν ἄλλο κοινὸν ἔχουσι, πλὴν ὅτι εἶνε πάρισα· τὸ δὲ σημαινόμενον διὰ τῆς λέξεως *ἀμύητος* ἐνταῦθα εἶνε λίαν ἐμβριθές. Ἐτυμολογικῶς μὲν (ἐκ τοῦ μύειν = κλείειν) ἀμύητοί εἰσιν οἱ μὴ στέγοντες, οἱ τετρημένοι ὡς ὁ τῶν Δαναΐδων πίθος· μεταφορικῶς δὲ οἱ μὴ μεμυημένοι τὰ μύχια τῆς ἀνθρωπίνης ψυχῆς μυστήρια, ἰδίως δὲ ποίαν ἄρρητον ἡδονὴν αἰσθάνεται ἡ ψυχὴ τοῦ σοφοῦ ἐν τῷ καταμανθάνειν τοὺς ἀϊδίους φυσικοὺς καὶ ἠθικοὺς νόμους τοὺς διέποντας τὸν κόσμον τοῦτον καὶ τὰ ἀνθρώπινα, καὶ ἐν τῷ ῥυθμίζειν ἑαυτὸν καί, ἐφ' ὅσον ἔνεστι, καὶ τὸν πλησίον πρὸς τοὺς νόμους τούτους.

2 *τοῦτο τῆς ψυχῆς — τὸ ἀκόλαστον αὐτοῦ καὶ οὐ στεγανόν.* Τά: *τὸ ἀκόλαστον* κ. τ. λ. ἐπηνέχθησαν ὡς ἀκριβέστερος ἢ εἰδικώτερος προσδιορισμὸς τοῦ: *τοῦτο τῆς ψυχῆς.* = Τῶν δ' ἀμυήτων τοῦτο τῆς ψυχῆς, οὗ αἱ ἐπιθυμίαι εἰσί, τὸ ἀκόλαστον δηλ. αὐτοῦ καὶ οὐ στεγανὸν (ἤ: εἰς τὸ ἀκόλαστον δηλ. αὐτοῦ καὶ οὐ στεγανὸν ἀποβλέπων) εἶπεν ὡς τετρημένος κ. τ. λ.

3 *ὡς τετρημένος εἴη πίθος.* Ἐκ τοῦ προηγηθέντος *ὠνόμασε* νόει κατὰ ζεῦγμα τὸ *ἔφη*, ἐξ οὗ ἐξάρτα τὸ προκείμενον.

4 *διὰ τὴν ἀπληστίαν ἀπεικάσας* = ἀπεικάσας αὐτὸ πίθῳ τετρημένῳ διὰ τὸ μηδέποτε πίμπλασθαι.

5 *ὡς τῶν ἐν Ἅιδου, — τὸ ἀειδὲς δὴ λέγων* κ.τ.λ. Ἡ προαίρεσις τοῦ κομψοῦ ἐκείνου φιλοσόφου ἦτο νὰ δώσῃ ἀλληγορικὴν ἑρμηνείαν εἰς τὸν περὶ τῶν Δαναΐδων μῦθον, ἀποφαίνων ὅτι καὶ ἐν τῷ παρόντι βίῳ οἱ ἀνόητοι καὶ ἀκόλαστοι πάσχουσι τοιαῦτα, οἷα καὶ αἱ Δαναΐδες ἐν Ἅιδου. Παρωμοίωσε λοιπὸν τὸ μὲν ἐπιθυμητικὸν τῶν ἀκολάστων πρὸς τὸν τετρημένον ἐκείνων πίθον, τὴν δὲ ὅλην ψυχὴν αὐτοῦ (ὑποατόπως!) πρὸς τὸ τετρημένον ἐκείνων κόσκινον, τὴν δὲ ἀέναον σπουδὴν καὶ τὸ ἐγκόνημα τῶν ἀκολάστων ὅπως πορίζωνται πλήρωσιν τῶν ἀεὶ ἀναγεννωμένων ἐπιθυμιῶν, πρὸς τὴν σπουδὴν καὶ τὸ ἐγκόνημα ἐκείνων. Ὑπελείπετο ἡ ἀλληγορικὴ ἑρμηνεία τοῦ Ἅιδου, ἐν ᾧ αἱ Δαναΐδες μοχθοῦσι ταῦτα. Τοῦτον ἡρμήνευσεν ὁ σοφὸς ὡς τὸ ἀειδές. Τί σημαίνει τὸ ἀειδὲς παρὰ Πλ. γίνεται δῆλον ἐκ τῶν ἑξῆς χωρίων: Φαίδ. 97 b· «ὁρατὸν ἢ ἀειδὲς ἡ ψυχή;» 80 d· «ἡ δὲ ψυχὴ ἄρα, τὸ ἀειδές, τὸ εἰς τοιοῦτον τόπον ἕτερον οἰχόμενον γενναῖον καὶ καθαρὸν καὶ ἀειδῆ, εἰς Ἅιδου ὡς ἀληθῶς, παρὰ τὸν ἀγαθὸν καὶ φρόνιμον θεόν». 81 d· «οὐκοῦν οὕτω μὲν ἔχουσα εἰς τὸ ὅμοιον αὐτῇ τὸ ἀειδὲς ἀπέρχεται, τὸ θεῖόν τε καὶ ἀθάνατον καὶ φρόνιμον...

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἶεν, οἱ ἀμύητοι, καὶ φοροῖεν εἰς τὸν τετρημένον πίθον ὕδωρ ἑτέρῳ τοιούτῳ τετρημένῳ κοσκίνῳ. τὸ δὲ κόσκινον ἄρα λέγει, ὡς ἔφη ὁ πρὸς ἐμὲ λέγων, τὴν ψυχὴν εἶναι· τὴν δὲ
C ψυχὴν κοσκίνῳ ἀπείκασε τὴν τῶν ἀνοήτων ὡς τετρημένην, ἅτε οὐ δυναμένην στέγειν δι' ἀπιστίαν τε καὶ λήθην. ταῦτ' ἐπιεικῶς μέν ἐστιν ὑπό τι ἄτοπα, δηλοῖ μὴν ὃ ἐγὼ βούλομαί σοι ἐνδειξάμενος, ἐάν πως οἷός τε ὦ, πεῖσαι μεταθέσθαι, ἀντὶ τοῦ ἀπλήστως καὶ ἀκολάστως ἔχοντος βίου τὸν κοσμίως καὶ τοῖς ἀεὶ παροῦσιν ἱκανῶς καὶ ἐξαρκούντως ἔχοντα βίον ἑλέσθαι. ἀλλὰ πότερον πείθω τί σε
D μετατίθεσθαι εὐδαιμονεστέρους εἶναι τοὺς κοσμίους τῶν ἀκολάστων, ἢ οὐδ' ἂν ἄλλα πολλὰ τοιαῦτα μυθολογῶ, οὐδέν τι μᾶλλον μεταθήσει;

ΚΑΛ. Τοῦτ' ἀληθέστερον εἴρηκας, ὦ Σώκρατες.

ὥςπερ δὲ λέγεται κατὰ τῶν μεμυημένων, ὡς ἀληθῶς τὸν λοιπὸν χρόνον μετὰ τῶν θεῶν διάγουσα». Εἶνε ἄρα κατὰ Πλ. τὸ ἀειδές, ὁ νοητὸς τόπος, ἐν ᾧ ἐνδιαιτῶνται τὰ νοητὰ ὄντα, τὰ ἀπηλλαγμένα σώματος. Ἡ ψυχὴ τοῦ φιλοσόφου ἡ κεκαθαρμένη καὶ ἀπηλλαγμένη τῶν τοῦ σώματος ἐπιθυμιῶν καὶ τῆς ἐξ αὐτοῦ ταραχῆς καὶ ἐπισκοτίσεως (Φαίδ. 69 b) δύναται καὶ ἐν τῷ βίῳ τούτῳ νὰ ἀναπτερωθῇ, ἐπειγομένη νὰ διατρίβῃ ἄνω ἐν τῷ νοητῷ ἐκείνῳ τόπῳ (Πολιτ. 517 c). Οἱ δὲ ἀκάθαρτοι καὶ ἀμύητοι ἐν τῷ ἀειδεῖ τούτῳ τόπῳ πάσχουσι τὸ τῶν Δαναΐδων.

5 *δι' ἀπιστίαν τε καὶ λήθην*. Οἱ ἀμύητοι, μὴ δυνάμενοι νὰ ἀντιληφθῶσι διὰ τοῦ ὄμματος τῆς διανοίας τὰ νοητὰ καὶ ἀΐδια, εἰθισμένοι δὲ νὰ στρέφωσι καὶ προσηλῶσιν αὐτὸ πρὸς τὰ ἐφήμερα καὶ γεώδη, δὲν πιστεύουσιν εἰς τὴν ὕπαρξιν τῶν νοητῶν ὄντων· πᾶς λοιπὸν περὶ τούτων λόγος διαρρέει εὐθὺς δι' ἀπιστίαν ἢ καὶ μετ' ὀλίγον χρόνον διὰ λήθην.

6 *ὑπό τι ἄτοπα*. Ἡ *ὑπὸ* δὲν εἶνε πρόθεσις τοῦ τι, ἀλλ' ὡς ἐπιρρημ. προσδιορισμὸς τοῦ *ἄτοπα* = ὀλίγον τι ἄτοπα. Φαῖδρ. 242 d «ὑπό τι ἀσεβῆ». Ὁμοίαν σημασίαν ἔχει ἡ *ὑπὸ* ἐν τοῖς ὑποάμουσος, ὑπόχρυσος, ὑπόχαλκος, ὑπόκωφος, ὑποσκάζω, ὑπομαντεύομαι, ὑποβαρβαρίζω. Ἡ πρόθεσις ἐν τοῖς τοιούτοις διασώζει τὴν ἀρχικὴν ἐπιρρηματικὴν σημασίαν της, καὶ διὰ τοῦτο δὲν ἐπῆλθε σύμφυσις μετὰ τοῦ ὀνόματος εἰς ἀποτέλεσιν ἑνὸς συνθέτου, ἀλλὰ καὶ τὸ τελ. φωνῆέν της φυλάττει πρὸ φωνήεντος καὶ εὐκόλως ἀποχωρίζεται. (Πρβλ. ἐν τῇ ἡμετέρᾳ τὴν *παρὰ* ἐν ταῖς λέξεσι: τὸ παραεξήλωσες, παραέφαγα, παραεχόρτασα κ. τ. τ.)

*ὃ ἐγὼ βούλομαι — πεῖσαι* κ.τ.λ. = ὃ ἐγὼ βούλομαί σοι ἐνδείξασθαι, καὶ ἐνδειξάμενος πεῖσαί σε μεταθέσθαι. Τὸ ἑπόμενον ἀπαρέμφ. *ἑλέσθαι* ἐξάρτα οὐχὶ ἐκ τοῦ *μεταθέσθαι*, ἀλλ' ἐκ τοῦ *πεῖσαι*, καὶ ἐκλάμβανε ὡς ἐπεξήγησιν ἢ ἀνάπτυξιν τοῦ *μεταθέσθαι*.

10 *πείθω τί σε μετατίθεσθαι εὐδαιμονεστέρους εἶναι*. Τὸ *εἶναι* ἐνταῦθα ἐκ τοῦ μετατίθεσθαι, ὅπερ = *μετατιθέμενον ὁμολογεῖν εἶναι*.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΜΗ΄. ΣΩ. Φέρε δή, ἄλλην σοι εἰκόνα λέγω ἐκ τοῦ αὐτοῦ γυμνασίου τῇ νῦν. σκόπει γὰρ εἰ τοιόνδε λέγεις περὶ τοῦ βίου ἑκατέρου, τοῦ τε σώφρονος καὶ τοῦ ἀκολάστου, οἷον εἰ δυοῖν ἀνδροῖν ἑκατέρῳ πίθοι πολλοὶ εἶεν, καὶ τῷ μὲν ἑτέρῳ ὑγιεῖς καὶ πλήρεις, ὁ μὲν οἴνου, ὁ δὲ μέλιτος, E ὁ δὲ γάλακτος, καὶ ἄλλοι ἄλλων πολλῶν, νάματα δὲ σπάνια καὶ χαλεπὰ ἑκάστου τούτων εἴη καὶ μετὰ πολλῶν πόνων καὶ χαλεπῶν ἐκποριζόμενα· ὁ μὲν οὖν ἕτερος πληρωσάμενος μήτ' ἐποχετεύοι μήτε τι φροντίζοι, ἀλλ' ἕνεκα τούτων ἡσυχίαν ἔχοι· τῷ δ' ἑτέρῳ τὰ μὲν νάματα, ὥςπερ καὶ ἐκείνῳ, δυνατὰ μὲν πορίζεσθαι, χαλεπὰ δέ, τὰ δ' ἀγγεῖα τετρημένα καὶ σαθρά, ἀναγκάζοιτο δ' ἀεὶ καὶ νύκτα καὶ ἡμέραν πιμπλάναι αὐτά, ἢ τὰς ἐσχάτας λυποῖτο λύ- 494 πας· ἆρα τοιούτου ἑκατέρῳ ὄντος τοῦ βίου, λέγεις τὸν τοῦ ἀκολάστου εὐδαιμονέστερον εἶναι ἢ τὸν τοῦ κοσμίου; πείθω τί σε ταῦτα λέγων συγχωρῆσαι τὸν κόσμιον βίον τοῦ ἀκολάστου ἀμείνω εἶναι, ἢ οὐ πείθω;

ΚΑΛ. Οὐ πείθεις, ὦ Σώκρατες. τῷ μὲν γὰρ πληρωσαμένῳ ἐκείνῳ οὐκέτ' ἔστιν ἡδονὴ οὐδεμία, ἀλλὰ τοῦτ' ἐστιν, ὃ νῦν δὴ ἐγὼ ἔλεγον, τὸ ὥςπερ λίθον ζῆν, [ἐπειδὰν πληρώσῃ], μήτε χαίροντα ἔτι μήτε λυπούμενον. ἀλλ' ἐν B τούτῳ ἐστὶ τὸ ἡδέως ζῆν, ἐν τῷ ὡς πλεῖστον ἐπιρρεῖν.

ΣΩ. Οὐκοῦν ἀνάγκη γ', ἂν πολὺ ἐπιρρέῃ, πολὺ καὶ τὸ ἀπιὸν εἶναι, καὶ μεγάλ' ἄττα τὰ τρήματα εἶναι ταῖς ἐκροαῖς.

ΚΑΛ. Πάνυ μὲν οὖν.

ΣΩ. Χαραδριοῦ τινα αὖ σὺ βίον λέγεις, ἀλλ' οὐ νεκροῦ

1 *ἐκ τοῦ αὐτοῦ γυμνασίου*. Δηλ. τῆς αὐτῆς ὑποθέσεως· διότι καὶ ἐν ταύτῃ περὶ πίθων πληρουμένων πρόκειται· ἀλλ' ἡ μὲν προηγουμένη ἦτο μυθικὴ καὶ ἀλληγορικὴ εἰκών, ἡ δὲ προκειμένη παραδειγματικὴ πεπλασμένη ὑπ' αὐτοῦ τοῦ Σωκ.

6 *νάματα δὲ ἑκάστου τούτων*· τῶν εἰδῶν δηλ.

8 *πληρωσάμενος* = πληρώσας τοὺς ἑαυτοῦ πίθους.

13 *ἢ τὰς ἐσχάτας*. Τὸ ἢ = εἰ δὲ μή.

27 *Χαραδριοῦ*. Σχολ. «Χαραδριός ὄρνις τις, ὃς ἅμα τῷ ἐσθίειν ἐκκρίνει».

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐδὲ λίθου. καί μοι λέγε· τὸ τοιόνδε λέγεις, οἷον πεινῆν καὶ πεινῶντα ἐσθίειν;

ΚΑΛ. Ἔγωγε.

C ΣΩ. Καὶ διψῆν γε καὶ διψῶντα πίνειν;

ΚΑΛ. Λέγω, καὶ τὰς ἄλλας ἐπιθυμίας ἁπάσας ἔχοντα καὶ δυνάμενον πληροῦν, χαίροντα εὐδαιμόνως ζῆν.

ΜΘ΄. ΣΩ. Εὖγε, ὦ βέλτιστε· διατέλει γὰρ ὥςπερ ἤρξω, καὶ ὅπως μὴ ἀπαισχυνεῖ. δεῖ δέ, ὡς ἔοικε, μηδ' ἐμὲ ἀπαισχυνθῆναι, καὶ πρῶτον μὲν εἰπέ, εἰ καὶ ψωρῶντα καὶ κνησιῶντα, ἀφθόνως ἔχοντα τοῦ κνῆσθαι, κνώμενον διατελοῦντα τὸν βίον εὐδαιμόνως ἔστι ζῆν.

D ΚΑΛ. Ὡς ἄτοπος εἶ, ὦ Σώκρατες, καὶ ἀτεχνῶς δημηγόρος.

ΣΩ. Τοιγάρτοι, ὦ Καλλίκλεις, Πῶλον μὲν καὶ Γοργίαν καὶ ἐξέπληξα καὶ αἰσχύνεσθαι ἐποίησα, σὺ δὲ οὐ μὴ ἐκπλαγῇς οὐδὲ μὴ αἰσχυνθῇς· ἀνδρεῖος γὰρ εἶ. ἀλλ' ἀποκρίνου μόνον.

ΚΑΛ. Φημὶ τοίνυν καὶ τὸν κνώμενον ἡδέως ἂν βιῶναι.

ΣΩ. Οὐκοῦν εἴπερ ἡδέως, καὶ εὐδαιμόνως;

ΚΑΛ. Πάνυ γε.

E ΣΩ. Πότερον εἰ τὴν κεφαλὴν μόνον κνησιῷ, ἢ ἔτι τί σε ἐρωτῶ; ὅρα, ὦ Καλλίκλεις, τί ἀποκρινεῖ, ἐάν τίς σε τὰ

8 *Δεῖ δέ, ὡς ἔοικε* κ. τ. λ. Ταῦτα προτάσσει, οἱονεὶ παραιτούμενος τοὺς ἀκροατὰς δι' ἃ μέλλει νὰ φέρῃ ἀπρεπῆ παραδείγματα.

9 *εἰ καὶ ψωρῶντα* κ.τ.λ. Σύμπλεκε ὧδε· «εἰ ἔστιν εὐδαιμόνως ζῆν καὶ ψωρῶντα καὶ κνησιῶντα, ἔχοντα ἀφθόνως τοῦ κνῆσθαι, διατελοῦντα τὸν βίον κνώμενον». Τὸ *διατελοῦντα* μετοχ. ὑποθ. ἢ αἰτιολογ. τοῦ εὐδαιμόνως ζῆν· τὸ δὲ *ἔχοντα* μετοχ. ὑποθ. ἢ αἰτιολ. τοῦ *διατελοῦντα*.

15 *ἐξέπληξα* κ.τ.λ. = τοὺς ἔκαμα νὰ τὰ χάσουν καὶ νὰ ἐντραποῦν.

16 *ἀνδρεῖος γὰρ εἶ*. Ὁ Καλλ. εἶχε προσθέσει καὶ τὴν ἀνδρείαν ὡς ἀναγκαῖον προσὸν τῶν κρειττόνων, ἵνα ἐπιτελῶσιν ἃ ἂν νοήσωσιν (σελ. 491 b). Ὁ Σωκ. ἐνταῦθα προσνέμει αὐτῷ ἀνδρείαν ὡς λέγοντι παρρησίᾳ ὅσα διανοεῖται καὶ μὴ αἰσχυνομένῳ.

21 *ἢ ἔτι τί σε ἐρωτῶ;* = ἢ νά σε ἐρωτήσω καί τι ἄλλο (μέλος τοῦ σώματος); Τὸ *τὶ* ἀόρ. ἀντ., οὐχὶ ἐρωτημ.

22 *τὰ ἐχόμενα τούτοις ἐφεξῆς*. Τὸ μὲν *ἔχομαι* μετὰ γεν., τὸ δὲ *ἐφεξῆς* μετὰ δοτ. Τὸ *τούτοις* συνταχθὲν πρὸς τὸ ἐφεξῆς νοητέον κατὰ γεν. καὶ εἰς τὸ *ἐχόμενα*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐχόμενα τούτοις ἐφεξῆς ἅπαντα ἐρωτᾷ· καὶ τούτων τοιούτων ὄντων κεφάλαιον, ὁ τῶν κιναίδων βίος, οὗτος οὐ δεινὸς καὶ αἰσχρὸς καὶ ἄθλιος; ἢ καὶ τούτους τολμήσεις λέγειν εὐδαίμονας εἶναι, ἐὰν ἀφθόνως ἔχωσιν ὧν δέονται;

ΚΑΛ. Οὐκ αἰσχύνει εἰς τοιαῦτα ἄγων, ὦ Σώκρατες, τοὺς λόγους;

ΣΩ. Ἦ γὰρ ἐγὼ ἄγω ἐνταῦθα, ὦ γενναῖε, ἢ ἐκεῖνος, ὃς
ἂν φῇ ἀνέδην οὕτω τοὺς χαίροντας, ὅπως ἂν χαίρωσιν, εὐ-
δαίμονας εἶναι, καὶ μὴ διορίζηται τῶν ἡδονῶν ὁποῖαι ἀγα- 495
θαὶ καὶ κακαί; ἀλλ' ἔτι καὶ νῦν λέγε, πότερον φῂς εἶναι τὸ αὐτὸ ἡδὺ καὶ ἀγαθόν, ἢ εἶναί τι τῶν ἡδέων, ὃ οὐκ ἔστιν ἀγαθόν;

ΚΑΛ. Ἵνα δή μοι μὴ ἀνομολογούμενος ᾖ ὁ λόγος, ἐὰν ἕτερον φήσω εἶναι, τὸ αὐτό φημι εἶναι.

ΣΩ. Διαφθείρεις, ὦ Καλλίκλεις, τοὺς πρώτους λόγους, καὶ οὐκ ἂν ἔτι μετ' ἐμοῦ ἱκανῶς τὰ ὄντα ἐξετάζοις, εἴπερ παρὰ τὰ δοκοῦντα σαυτῷ ἐρεῖς.

ΚΑΛ. Καὶ γὰρ σύ, ὦ Σώκρατες. B

ΣΩ. Οὐ τοίνυν ὀρθῶς ποιῶ οὔτ' ἐγώ, εἴπερ ποιῶ τοῦτο,

8 *ἀνέδην οὕτω.* Ἐκ τοῦ *ἀνίημι* = χαλαρῶς, ἄνευ περισκέψεως.

13 *Ἵνα δή μοι* κ.τ.λ. Ἐκ τῶν παραδειγμάτων τούτων διηνοίχθησαν οἱ ὀφθαλμοὶ τοῦ Καλλ. καὶ εἶδεν εἰς ποῖα ἄτοπα ἀπάγει αὐτὸν ὁ ἀνέδην ἰσχυρισμὸς ὅτι ἡδονὴ καὶ εὐδαιμονία εἶνε τὸ αὐτό· ἀλλὰ ἀναισχύντως ὁμολογεῖ ὅτι ἐμμένει εἰς τὰ ἐν ἀρχῇ εἰρημένα, οὐχὶ διότι πιστεύει εἰς τὴν ὀρθότητα τούτων, ἀλλ' ἵνα μὴ φανῇ ἀντιφάσκων.

*ἀνομολογούμενος.* Παθητικόν. Ἡ *ἀνὰ* ὅπως καὶ ἐν τῷ *ἀνατίθεμαι,* ὥστε = ἀνατιθέμενος, ἄλλως λεγόμενος ὁ λόγος ἢ πρότερον. Ὅ.. πρκδλ.

15 *Διαφθείρεις τοὺς πρώτους λόγους.* Ἐν οἷς ἐμέμφετο τὸν Γοργ. καὶ τὸν Πῶλ. ὅτι αἰσχυνθέντες εἶπον παρὰ τὰ δοκοῦντα αὐτοῖς, καὶ αὐτὸς ὑπέσχετο ὅτι θὰ λέγῃ παρρησίᾳ τὰ δοκοῦντα αὐτῷ.

18 *Καὶ γὰρ σύ, ὦ Σώκ.* Ἡ συνήθης τῶν ἀναισχύντων ἀπολογία· δὲν ἀρνοῦνται μὲν τὴν ἀποδιδομένην αὐτοῖς κακίαν, ἀλλὰ πειρῶνται νὰ ἀποδείξωσιν ὅτι δὲν εἶνε μόνοι, ἀλλὰ καὶ ἄλλοι ὁμοήθεις αὐτοῖς. Ὡς βάσιν τῆς κατὰ Σωκ. μομφῆς ταύτης λαμβάνει ὁ Καλλ. αὐτὰ ἐκεῖνα, ἅτινα καὶ ὁ Πῶλ. ἐμέμφθη αὐτὸν ὅτι δὲν δοξάζει ὄντως ὅσα λέγει, ἀλλ' ἀγαπᾷ νὰ ὑποσκελίζῃ τοὺς ἄλλους (σελ. 461 b).

19 *Οὐ τοίνυν ὀρθῶς ποιῶ.* Ὁ Σωκ. ἀποφεύγων τὴν φιλονικίαν, δὲν ἐπιχειρεῖ νὰ ἀπαλλάξῃ ἑαυτὸν τῆς μομφῆς, ἀλλ' ἀποφαίνεται ὅτι τοῦτο εἶνε κακὸν καὶ φευκτόν, εἴτε ἐγὼ τὸ κάμνω, εἴτε ἄλλος τις.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὔτε σύ. ἀλλ', ὦ μακάριε, ἄθρει, μὴ οὐ τοῦτο ᾖ τὸ ἀγαθόν, τὸ πάντως χαίρειν· ταῦτά τε γὰρ τὰ νῦν δὴ αἰνιχθέντα πολλὰ καὶ αἰσχρὰ φαίνεται συμβαίνοντα, εἰ τοῦτο οὕτως ἔχει, καὶ ἄλλα πολλά.

ΚΑΛ. Ὡς σύ γε οἴει, ὦ Σώκρατες.

ΣΩ. Σὺ δὲ τῷ ὄντι, ὦ Καλλίκλεις, ταῦτα ἰσχυρίζει;

ΚΑΛ. Ἔγωγε.

C Ν'. ΣΩ. Ἐπιχειρῶμεν ἄρα τῷ λόγῳ ὡς σοῦ σπουδάζοντος.

ΚΑΛ. Πάνυ γε σφόδρα.

ΣΩ. Ἴθι δή μοι, ἐπειδὴ οὕτω δοκεῖ, διελοῦ τάδε· ἐπιστήμην που καλεῖς τι;

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Οὐ καὶ ἀνδρείαν νῦν δὴ ἔλεγές τινα εἶναι μετὰ ἐπιστήμης;

ΚΑΛ. Ἔλεγον γάρ.

ΣΩ. Ἄλλο τι οὖν ὡς ἕτερον τὴν ἀνδρείαν τῆς ἐπιστήμης δύο ταῦτα ἔλεγες;

ΚΑΛ. Σφόδρα γε.

D ΣΩ. Τί δέ; ἡδονὴν καὶ ἐπιστήμην ταὐτὸν ἢ ἕτερον;

ΚΑΛ. Ἕτερον δήπου, ὦ σοφώτατε σύ.

ΣΩ. Ἦ καὶ ἀνδρείαν ἑτέραν ἡδονῆς;

ΚΑΛ. Πῶς γὰρ οὔ;

8 *Ἐπιχειρῶμεν ἄρα τῷ λόγῳ*. Τὰ ἀρτίως καταλεχθέντα παραδείγματα *κατεδείκνυον* μὲν τὸ ἄτοπον τοῦ ἰσχυρισμοῦ τοῦ Καλλ. ἀλλὰ δὲν *ἀπεδείκνυον* τὸ ψευδὲς αὐτοῦ, οὕτως ὥστε νὰ ἀναγκασθῇ καὶ αὐτὸς νὰ ὁμολογήσῃ τοῦτο. Ἤδη προβαίνει εἰς διαλεκτικὴν ἀπόδειξιν.

11 *διελοῦ τάδε* = διόρισον ταῦτα, τί κοινὸν καὶ τί διάφορον ἔχουσι.

16 *Ἔλεγον γὰρ* = Ἔλεγόν γε ἄρα. Ὁ *γὰρ* ἐκ τῶν δύο τούτων μορίων προελθὼν πολλάκις ἰσοδυναμεῖ τούτοις καὶ δὲν εἶνε αἰτιολογικός.

21 *ἕτερον δήπου, ὦ σοφώτατε σύ*. Τὸ *ὦ σοφώτατε σύ*· λέγει θαρρῶν ὅτι δὲν θὰ ἐλεγχθῇ καὶ χλευάζων τὸν Σωκ. ὅτι ἐρωτᾷ οὕτω καταφανῆ πράγματα, μὴ ὑποπτεύων ὅτι ἀκριβῶς ἐνταῦθα, διαστέλλων τὴν ἡδονὴν τῆς ἐπιστήμης, συμποδίζεται· διότι διὰ παντὸς μέχρι τοῦδε ταυτίζει τὸ ἀγαθὸν μετὰ τῆς ἡδονῆς, ἀπέφηνε δὲ καὶ τὴν ἐπιστήμην ἢ τὴν φρόνησιν ἀγαθόν· ἀ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΩ. Φέρε δὴ ὅπως μεμνησόμεθα ταῦτα, ὅτι Καλλικλῆς ἔφη Ἀχαρνεὺς ἡδὺ μὲν καὶ ἀγαθὸν ταὐτὸν εἶναι, ἐπιστήμην δὲ καὶ ἀνδρείαν καὶ ἀλλήλων καὶ τοῦ ἀγαθοῦ ἕτερον.

ΚΑΛ. Σωκράτης δέ γε ἡμῖν ὁ Ἀλωπεκῆθεν οὐχ ὁμολογεῖ ταῦτα. ἢ ὁμολογεῖ;

ΣΩ. Οὐχ ὁμολογεῖ. οἶμαι δέ γε οὐδὲ Καλλικλῆς, ὅταν E
αὐτὸς αὐτὸν θεάσηται ὀρθῶς. εἰπὲ γάρ μοι, τοὺς εὖ πράττοντας τοῖς κακῶς πράττουσιν οὐ τοὐναντίον ἡγεῖ πάθος πεπονθέναι;

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Ἆρ' οὖν, εἴπερ ἐναντία ἐστὶ ταῦτα ἀλλήλοις, ἀνάγκη περὶ αὐτῶν ἔχειν ὥσπερ περὶ ὑγιείας ἔχει καὶ νόσου; οὐ γὰρ ἅμα δήπου ὑγιαίνει τε καὶ νοσεῖ ὁ ἄνθρωπος, οὐδὲ ἅμα ἀπαλλάττεται ὑγιείας τε καὶ νόσου.

ΚΑΛ. Πῶς λέγεις;

ΣΩ. Οἷον περὶ ὅτου βούλει τοῦ σώματος ἀπολαβὼν σκό-
πει. νοσεῖ που ἄνθρωπος ὀφθαλμούς, ᾧ ὄνομα ὀφθαλμία. 496

νάγκη ἄρα καὶ ἡ ἐπιστήμη, ἀγαθὸν ουσα, νὰ εἶναι καὶ ἡδονή.

1 *Φέρε δὴ ὅπως μεμνησόμεθα ταῦτα.* Ἐξυπακουστέον ῥῆμα ὑποτακτ. ἐγκλ. ἐκ τοῦ *φέρε*, ἐξ οὗ ἐξαρτητέον τὸ *ὅπως μεμν.*, οἷον· «ποιῶμεν ὅπως μεμνησόμεθα». Ἡρόδ. Α', 8· «ποίει ὅκως ἐκείνην θηήσεαι γυμνήν».

*ὅτι Καλλικλῆς ἔφη Ἀχαρνεύς.* Διατυποῖ τὸν λόγον ἐν εἴδει ἐπισήμου συμβολαίου· διὰ τοῦτο προσθέτει καὶ τὰ ὀνόματα τῶν δήμων.

3 *ἐπιστήμην δὲ καὶ ἀνδρείαν . . . καὶ τοῦ ἀγαθοῦ ἕτερον.* Ὁ Καλλ. εἶπε μόνον τῆς ἡδονῆς ἕτερον, ἀλλὰ τεθείσης ἀμέσως ἀνωτέρω τῆς ταυτότητος ἡδονῆς καὶ ἀγαθοῦ, ἠδύνατο ἀνεπιλήπτως νὰ μεταλάβῃ τοῦτο ἀντ' ἐκείνης.

7 *ὅταν αὐτὸς ἑαυτὸν θεάσηται κ.τ.λ.* = ὅταν σκεψάμενος ἴδῃ τὴν ἐν τοῖς λόγοις του ἀντίφασιν.

13 *ἀνάγκη περὶ αὐτῶν ἔχειν ὥςπερ κ.τ.λ.* Ἡ τοιαύτη σύνταξις τοῦ *ἔχειν* εἶνε ἀπρόσωπος. Φαῖδρ. 236 d· «Οἶσθ' ὡς ἔχει; παῦσαι» κ. τ. λ. Ἐνίοτε τὸ ἀπρόσωπον τοῦτο *ἔχει* παραλε!πεται εὐκόλως νοούμενον. Γοργ. 467 d· «Ἄλλο τι οὖν οὕτω καὶ περὶ πάντων;» Μέν. 72 c· «οὕτω δὴ καὶ περὶ τῶν ἀρετῶν».

17 *οἷον περὶ ὅτου βούλει.* Σύντασσε ὧδε· «σκόπει περὶ ὅτου βούλει τοῦ σώματος, ἀπολαβὼν αὐτό». Τὸ *ἀπολαμβάνω τι* = ἀποχωρίζω τι ἀπὸ ἄλλων καὶ τὸ λαμβάνω ἵνα τὸ ἐξετάσω καθ' ἑαυτό. Ἔπιθι πρχβλ. εἰς σελ. 455 b.

18 *ᾧ ὄνομα* = ᾧ νοσήματι. Σχῆμα κατὰ τὸ νοούμενον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΚΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Οὐ δήπου καὶ ὑγιαίνει γε ἅμα τοὺς αὐτούς.

ΚΑΛ. Οὐδ' ὁπωςτιοῦν.

ΣΩ. Τί δέ; ὅταν τῆς ὀφθαλμίας ἀπαλλάττηται, ἆρα τότε καὶ τῆς ὑγιείας ἀπαλλάττεται τῶν ὀφθαλμῶν καὶ τελευτῶν ἅμα ἀμφοτέρων ἀπήλλακται;

B ΚΑΛ. Ἥκιστά γε.

ΣΩ. Θαυμάσιον γάρ, οἶμαι, καὶ ἄλογον γίγνεται. ἦ γάρ;

ΚΑΛ. Σφόδρα γε.

ΣΩ. Ἀλλ' ἐν μέρει, οἶμαι, ἑκάτερον καὶ λαμβάνει καὶ ἀπολλύει.

ΚΑΛ. Φημί.

ΣΩ. Οὐκοῦν καὶ ἰσχὺν καὶ ἀσθένειαν ὡσαύτως;

ΚΑΛ. Ναί.

ΣΩ. Καὶ τάχος καὶ βραδυτῆτα;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Ἦ καὶ τἀγαθὰ καὶ τὴν εὐδαιμονίαν καὶ τἀναντία τούτων, κακά τε καὶ ἀθλιότητα, ἐν μέρει λαμβάνει καὶ ἐν μέρει ἀπαλλάττεται ἑκατέρου;

ΚΑΛ. Πάντως δήπου.

C ΣΩ. Ἐὰν εὕρωμεν ἄρα ἄττα, ὧν ἅμα τε ἀπαλλάττεται ἄνθρωπος καὶ ἅμα ἔχει, δῆλον ὅτι ταῦτά γε οὐκ ἂν εἴη τό τε ἀγαθὸν καὶ τὸ κακόν. ὁμολογοῦμεν ταῦτα; καὶ εὖ μάλα σκεψάμενος ἀποκρίνου.

8 *Θαυμάσιον γὰρ καὶ ἄλογον γίγνεται.* Νόει ὑποκ. τὸ *οἴεσθαι καὶ ἰσχυρίζεσθαι τὸ τοιοῦτον.*

10 *Ἀλλ' ἐν μέρει ἑκάτερον* = διαδοχικῶς· ἕνα βαθμὸν ὑγιείας λαμβάνει, ἕνα βαθμὸν νόσου ἀπολλύει.

21 *Ἐὰν εὕρωμεν ἄρα ἄττα* κ.τ.λ Μέχρι τοῦδε ὁ Σωκ. μετήρχετο τὴν καλουμένην ἐπαγωγικὴν μέθοδον· ἀπὸ παραδειγμάτων ἐμπειρικῶν καὶ ὁμολογουμένων ὁρμώμενος ἀνῆλθεν εἰς τὴν καθόλου πρότασιν, ὅτι τὰ ἀγαθὰ καὶ τὴν εὐδαιμονίαν, καὶ τὰ ἐναντία τούτων, τὰ κακὰ καὶ τὴν ἀθλιότητα, ὁ ἄνθρωπος οὐχὶ ἅμα, ἀλλ' ἐν μέρει ἑκάτερον λαμβάνει καὶ ἀπολλύει. Ἡ πρότασις αὕτη τίθεται ὡς ἡ Μείζων τοῦ ἐπιφερομένου συλλογισμοῦ. Ἡ Ἐλάσσων ἔσται, ὅτι ἡ ἡδονὴ καὶ ἡ λύπη ἅμα παραγίνονται καὶ ἅμα ἀπέρχονται. Τὸ δ' ἐκ τούτων συμπέρασμα, ὅτι ἡδονὴ καὶ λύπη δὲν εἶνε τὸ ἀγαθὸν καὶ τὸ κακόν.

ΚΑΛ. Ἀλλ' ὑπερφυῶς ὡς ὁμολογῶ.

ΝΑ'. ΣΩ. Ἴθι δὴ ἐπὶ τὰ ἔμπροσθεν ὡμολογημένα. τὸ πεινῆν ἔλεγες πότερον ἡδὺ ἢ ἀνιαρὸν εἶναι; αὐτὸ λέγω τὸ πεινῆν.

ΚΑΛ. Ἀνιαρὸν ἔγωγε· τὸ μέντοι πεινῶντα ἐσθίειν ἡδύ.

ΣΩ. Καὶ ἐγώ· μανθάνω· ἀλλ' οὖν τό γε πεινῆν αὐτὸ ἀ- D
νιαρόν. ἢ οὐχί;

ΚΑΛ. Φημί.

ΣΩ. Οὐκοῦν καὶ τὸ διψῆν;

ΚΑΛ. Σφόδρα γε.

ΣΩ. Πότερον οὖν ἔτι πλείω ἐρωτῶ, ἢ ὁμολογεῖς ἅπασαν ἔνδειαν καὶ ἐπιθυμίαν ἀνιαρὸν εἶναι;

ΚΑΛ. Ὁμολογῶ, ἀλλὰ μὴ ἐρώτα.

ΣΩ. Εἶεν· διψῶντα δὲ δὴ πίνειν ἄλλο τι ἢ ἡδὺ φῇς εἶναι;

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Οὐκοῦν τούτου οὗ λέγεις τὸ μὲν διψῶντα λυπούμενον δήπου ἐστίν.

ΚΑΛ. Ναί. E

ΣΩ. Τὸ δὲ πίνειν πλήρωσίς τε τῆς ἐνδείας καὶ ἡδονή.

ΚΑΛ. Ναί.

ΣΩ. Οὐκοῦν κατὰ τὸ πίνειν χαίρειν λέγεις.

ΚΑΛ. Μάλιστα.

ΣΩ. Διψῶντά γε.

3 *αὐτὸ λέγω τὸ πεινῆν* = αὐτὸ καθ' ἑαυτὸ ἄνευ τοῦ ἐσθίειν.

11 *ἢ ὁμολογεῖς ἅπασαν ἔνδειαν* κ. τ. λ. Ἀπὸ τῶν καθ' ἕκαστον ἀνιαρῶν, *τοῦ πεινῆν, τοῦ διψῆν* κ. τ. τ. ἐπήγαγε καθόλου, ὅτι ἅπασα ἔνδεια καὶ ἐπιθυμία ἀνιαρόν. Πρόσφορον παράδειγμα ἐπαγωγῆς κατὰ τὸν Ἀριστοτ. ὁρισμόν. Τοπ. Α', 12· «Ἐπαγωγὴ ἡ ἀπὸ τῶν καθ' ἕκαστα ἐπὶ τὰ καθόλου ἔφοδος». Ἀναλ. Ὑστ. Α', 13· «Ἔστι δ' ἡ μὲν ἀπόδειξις ἐκ τῶν καθόλου, ἡ δ' ἐπαγωγὴ ἐκ τῶν κατὰ μέρος».

16 *Οὐκοῦν τούτου οὗ λέγεις* κ.τ.λ. = τούτου, τοῦ διψῶντα πίνειν, ὃ λέγεις, τὸ μὲν *διψῶντα* = λυπούμενον, τὸ δὲ πίνειν = χαίρειν. Ὥςτε τὸ *τούτου* εἶνε γεν. διαιρετ. Ἀντὶ δὲ τοῦ *διψῶντα πίνειν* μεταλαμβάνει τοὺς (κατὰ Καλλ.) ἰσοδυνάμους ὅρους: *λυπούμενον χαίρειν*. Ἐκ τούτου συμβαίνει ἐν τῷ λυπεῖσθαι νὰ χαίρῃ τις, λύπη καὶ χαρὰ συμβαίνουσιν ἅμα· ἐν ᾧ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΚΑΛ. Φημί.

ΣΩ. Λυπούμενον.

ΚΑΛ. Ναί.

ΣΩ. Αἰσθάνει οὖν τὸ συμβαῖνον, ὅτι λυπούμενον χαίρειν λέγεις ἅμα, ὅταν διψῶντα πίνειν λέγῃς; ἢ οὐχ ἅμα τοῦτο γίγνεται κατὰ τὸν αὐτὸν τόπον καὶ χρόνον εἴτε ψυχῆς εἴτε σώματος βούλει; οὐδὲν γάρ, οἶμαι, διαφέρει. ἔστι ταῦτα ἢ οὔ;

ΚΑΛ. Ἔστιν.

ΣΩ. Ἀλλὰ μὴν εὖ γε πράττοντα κακῶς πράττειν ἅμα ἀδύνατον ἔφης εἶναι.

ΚΑΛ. Φημὶ γάρ.

497 ΣΩ. Ἀνιώμενον δέ γε χαίρειν δυνατὸν ὡμολόγηκας.

ΚΑΛ. Φαίνεται.

ΣΩ. Οὐκ ἄρα τὸ χαίρειν ἐστὶν εὖ πράττειν οὐδὲ τὸ ἀνιᾶσθαι κακῶς, ὥστε ἕτερον γίγνεται τὸ ἡδὺ τοῦ ἀγαθοῦ.

ΚΑΛ. Οὐκ οἶδ' ἅττα σοφίζει, ὦ Σώκρατες.

ΣΩ. Οἶσθα, ἀλλ' ἀκκίζει, ὦ Καλλίκλεις· καὶ πρόϊθί γε ἔτι εἰς τοὔμπροσθεν —

ΚΑΛ. Ὅτι ἔχων ληρεῖς, ἵν' εἰδῇς.

B ΣΩ. Ὡς σοφὸς ὤν με νουθετεῖς. οὐχ ἅμα διψῶν τε ἕκαστος ἡμῶν πέπαυται καὶ ἅμα ἡδόμενος διὰ τοῦ πίνειν;

ΚΑΛ. Οὐκ οἶδα ὅ τι λέγεις.

ΓΟΡ. Μηδαμῶς, ὦ Καλλίκλεις, ἀλλ' ἀποκρίνου καὶ ἡμῶν ἕνεκα, ἵνα περανθῶσιν οἱ λόγοι.

τὸ ἀγαθὸν καὶ τὸ κακὸν προωμολογήθη ὅτι ἀδύνατον νὰ συμβαίνωσιν ἅμα.

5 *ἢ οὐχ ἅμα τοῦτο* κ. τ. λ. Τά: *κατὰ τὸν αὐτὸν τόπον καὶ χρόνον*, σαφέστερος ὁρισμὸς τοῦ *ἅμα*. Αἱ γεν. *εἴτε ψυχῆς εἴτε σώματος*, ἐτέθησαν ὡς γενικαὶ τοῦ *τόπου καὶ χρόνου*, ἀντὶ νὰ εἴπῃ *ἐν τῇ ψυχῇ, ἐν τῷ σώματι*, ἢ *κατὰ τὴν ψυχήν, κατὰ τὸ σῶμα.*

16 *ὥστε ἕτερον γίγνεται τὸ ἡδὺ τοῦ ἀγαθοῦ.* Τὸ *γίγνεται* ὡς καὶ ἔμπροσθεν (σελ. 459 a) = φαίνεται ὄν, ἀποδεικνύεται ὂν ἕτερον.

18 *Οἶσθα, ἀλλ' ἀκκίζει* = κάμώνεσαι. Ὅρα πρκβλ.

24 *Μηδαμῶς, ὦ Καλλ.* Ἐξυπάκουε: *ποίει ταῦτα*. Ὁ Γοργ. παρεμβάλλει τὸ ἀξίωμά του, ἵνα πραΰνῃ τὸν ὑπὸ τῆς ἥττης παραπαίοντα Καλλικλέα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΚΑΛ. Ἀλλ' ἀεὶ τοιοῦτός ἐστι Σωκράτης, ὦ Γοργία· σμικρὰ καὶ ὀλίγου ἄξια ἀνερωτᾷ καὶ ἐξελέγχει.

ΓΟΡ. Ἀλλὰ τί σοὶ διαφέρει; πάντως οὐ σὴ αὕτη ἡ τιμή, ὦ Καλλίκλεις· ἀλλ' ὑπόσχες Σωκράτει ἐξελέγξαι ὅπως ἂν βούληται.

ΚΑΛ. Ἐρώτα δὴ σὺ τὰ σμικρά τε καὶ στενὰ ταῦτα, C ἐπείπερ Γοργίᾳ δοκεῖ οὕτως.

ΝΒ'. ΣΩ. Εὐδαίμων εἶ, ὦ Καλλίκλεις, ὅτι τὰ μεγάλα μεμύησαι πρὶν τὰ σμικρά· ἐγὼ δ' οὐκ ᾤμην θεμιτὸν εἶναι. ὅθεν οὖν ἀπέλιπες, ἀποκρίνου, εἰ οὐχ ἅμα παύεται διψῶν ἕκαστος ἡμῶν καὶ ἡδόμενος.

ΚΑΛ. Φημί.

ΣΩ. Οὐκοῦν καὶ πεινῶν καὶ τῶν ἄλλων ἐπιθυμιῶν καὶ ἡδονῶν ἅμα παύεται.

ΚΑΛ. Ἔστι ταῦτα.

ΣΩ. Οὐκοῦν καὶ τῶν λυπῶν καὶ τῶν ἡδονῶν ἅμα παύεται. D

ΚΑΛ. Ναί.

ΣΩ. Ἀλλὰ μὴν τῶν ἀγαθῶν καὶ κακῶν οὐχ ἅμα παύεται, ὡς σὺ ὡμολόγεις· νῦν δὲ οὐχ ὁμολογεῖς;

ΚΑΛ. Ἔγωγε· τί οὖν δή;

ΣΩ. Ὅτι οὐ ταὐτὰ γίγνεται, ὦ φίλε, τἀγαθὰ τοῖς ἡδέσιν οὐδὲ τὰ κακὰ τοῖς ἀνιαροῖς. τῶν μὲν γὰρ ἅμα παύεται, τῶν δὲ οὔ, ὡς ἑτέρων ὄντων· πῶς οὖν ταὐτὰ ἂν εἴη

1 *σμικρὰ — ἀνερωτᾷ καὶ ἐξελέγχει.* Διὰ τούτων ὁμολογεῖ ὁ Καλλ. ὅτι ἐξηλέγχθη, ἀλλὰ παρηγορεῖται ὅτι ἡττήθη περὶ μικρὰ καὶ ὀλίγου ἄξια.

3 *οὐ σὴ αὕτη ἡ τιμή.* Κατ' εὐφημισμὸν ἀντί: τοῦτο τὸ ὄνειδος τὸ τῆς μικρολογίας δὲν εἶνε σόν.

4 *ὑπόσχες Σωκράτει ἐξελέγξαι.* Ὑπέχω τινί, ἄνευ ἀντικ. = παρέχω τινὶ ἔδαφος, βάσιν λαβὴν ἤ τι τοιοῦτον, ἵνα πράξῃ τι.

8 *ὅτι τὰ μεγάλα μεμύησαι πρὶν τὰ σμικρά.* Συμπλ. *μυηθῆναι.* Τὰ μεγάλα καὶ τὰ μικρὰ μυστήρια. Σχολ. «Διττὰ ἦν τὰ μυστήρια παρ' Ἀθηναίοις, καὶ τὰ μὲν μικρὰ ἐκαλεῖτο, ἅπερ ἐτέλουν ἐν ἄστει, τὰ δὲ μεγάλα, ἅπερ Ἐλευσῖνι ἤγετο, καὶ πρότερον ἔδει τὰ μικρὰ μυηθῆναι, εἶτα τὰ μεγάλα»

22 *οὐ ταὐτὰ γίγνεται.* Πρβλ. τὰ ἀνωτέρω 497 a.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰ ἡδέα τοῖς ἀγαθοῖς ἢ τὰ ἀνιαρὰ τοῖς κακοῖς; ἐὰν δὲ βού-
λῃ, καὶ τῇδ' ἐπίσκεψαι· οἶμαι γάρ σοι οὐδὲ ταύτῃ ὁμολο-
E γεῖσθαι. ἄθρει δέ· τοὺς ἀγαθοὺς οὐχὶ ἀγαθῶν παρουσίᾳ
ἀγαθοὺς καλεῖς, ὥςπερ τοὺς καλοὺς οἷς ἂν κάλλος παρῇ;

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Τί δέ; ἀγαθοὺς ἄνδρας καλεῖς τοὺς ἄφρονας καὶ δειλούς; οὐ γὰρ ἄρτι γε, ἀλλὰ τοὺς ἀνδρείους καὶ φρονίμους ἔλεγες· ἢ οὐ τούτους ἀγαθοὺς καλεῖς;

ΚΑΛ. Πάνυ μὲν οὖν.

ΣΩ. Τί δέ; παῖδα ἀνόητον χαίροντα ἤδη εἶδες;

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Ἄνδρα δὲ οὔπω εἶδες ἀνόητον χαίροντα;

ΚΑΛ. Οἶμαι ἔγωγε· ἀλλὰ τί τοῦτο;

ΣΩ. Οὐδέν· ἀλλ' ἀποκρίνου.

ΚΑΛ. Εἶδον.

498 ΣΩ. Τί δέ; νοῦν ἔχοντα λυπούμενον καὶ χαίροντα;

ΚΑΛ. Φημί.

ΣΩ. Πότεροι δὲ μᾶλλον χαίρουσι καὶ λυποῦνται, οἱ φρόνιμοι ἢ οἱ ἄφρονες;

ΚΑΛ. Οἶμαι ἔγωγε οὐ πολύ τι διαφέρειν.

ΣΩ. Ἀλλ' ἀρκεῖ καὶ τοῦτο. ἐν πολέμῳ δὲ ἤδη εἶδες ἄνδρα δειλόν;

ΚΑΛ. Πῶς γὰρ οὔ;

1 *Ἐὰν δὲ βούλῃ, καὶ τῇδ' ἐπίσκεψαι.* Β' ἀποδεικτ. συλλογισμὸς ὅτι ἡ ἡδονὴ καὶ τὸ ἀγαθὸν δὲν εἶνε τὸ αὐτό. Ἀγαθός ἐστιν ὁ ἄνθρωπος ἀγαθῶν παρουσίᾳ, ὅπως καλὸς κάλλους παρόντος. Οἱ φρόνιμοι καὶ οἱ ἀνδρεῖοι ὁμολογοῦνται καὶ ὑπὸ Καλλ. ἀγαθοί, τοὐναντίον οἱ ἄφρονες καὶ οἱ δειλοὶ κακοί. Ἀλλὰ καὶ οἱ ἀγαθοὶ καὶ οἱ κακοὶ ὁμοίως χαίρουσιν ἐπὶ τοῖς χαρτοῖς καὶ ὁμοίως λυποῦνται ἐπὶ τοῖς λυπηροῖς, καί τι μᾶλλον οἱ κακοὶ τῶν ἀγαθῶν. Ἂν λοιπὸν ἡ ἡδονὴ καὶ τὸ ἀγαθὸν ἦτο τὸ αὐτό, θὰ συνέβαινεν ὥςτε οἱ χαίροντες νὰ εἶνε ἀγαθοὶ διὰ τὸ χαίρειν, καὶ οἱ λυπούμενοι κακοὶ διὰ τὸ λυπεῖσθαι. Ἐπειδὴ δὲ καὶ οἱ ἀγαθοὶ καὶ οἱ κακοί εἰσιν ὁμοίως χαίροντες καὶ ὁμοίως λυπούμενοι, καί τι μᾶλλον οἱ κακοὶ τῶν ἀγαθῶν, εἰσὶν ἄρα οἱ ἀγαθοὶ καὶ οἱ κακοὶ ὁμοίως ἀγαθοὶ καὶ ὁμοίως κακοί, καί τι μᾶλλον οἱ κακοί εἰσιν ἀγαθοὶ καὶ κακοὶ τῶν ἀγαθῶν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΩ. Τί οὖν; ἀπιόντων τῶν πολεμίων πότεροί σοι ἐδόκουν μᾶλλον χαίρειν, οἱ δειλοὶ ἢ οἱ ἀνδρεῖοι;

ΚΑΛ. Οἱ πρότεροι ἔμοιγε μᾶλλον· εἰ δὲ μή, παραπλησίως γε. B

ΣΩ. Οὐδὲν διαφέρει. χαίρουσι δ' οὖν καὶ οἱ δειλοί.

ΚΑΛ. Σφόδρα γε.

ΣΩ. Καὶ οἱ ἄφρονες, ὡς ἔοικεν.

ΚΑΛ. Ναί.

ΣΩ. Προσιόντων δὲ οἱ δειλοὶ μόνον λυποῦνται ἢ καὶ οἱ ἀνδρεῖοι;

ΚΑΛ. Ἀμφότεροι.

ΣΩ. Ἆρα ὁμοίως;

ΚΑΛ. Μᾶλλον ἴσως οἱ δειλοί.

ΣΩ. Ἀπιόντων δ' οὐ μᾶλλον χαίρουσιν;

ΚΑΛ. Ἴσως.

ΣΩ. Οὐκοῦν λυποῦνται μὲν καὶ χαίρουσι καὶ οἱ ἄφρονες καὶ οἱ φρόνιμοι καὶ οἱ δειλοὶ καὶ οἱ ἀνδρεῖοι παραπλησίως, ὡς σὺ φής, μᾶλλον δὲ οἱ δειλοὶ τῶν ἀνδρείων. C

ΚΑΛ. Φημί.

ΣΩ. Ἀλλὰ μὴν οἵ γε φρόνιμοι καὶ οἱ ἀνδρεῖοι ἀγαθοί, οἱ δὲ δειλοὶ καὶ ἄφρονες κακοί.

ΚΑΛ. Ναί.

ΣΩ. Παραπλησίως ἄρα χαίρουσι καὶ λυποῦνται οἱ ἀγαθοὶ καὶ οἱ κακοί.

ΚΑΛ. Φημί.

ΣΩ. Ἆρ' οὖν παραπλησίως εἰσὶν ἀγαθοὶ καὶ κακοὶ οἱ ἀγαθοί τε καὶ οἱ κακοί· ἢ καὶ ἔτι μᾶλλον ἀγαθοὶ [οἱ ἀγαθοὶ] καὶ κακοί εἰσιν οἱ κακοί.

ΝΓ'. ΚΑΛ. Ἀλλὰ μὰ Δί' οὐκ οἶδ' ὅ τι λέγεις. D

ΣΩ. Οὐκ οἶσθ' ὅτι τοὺς ἀγαθοὺς ἀγαθῶν φῂς παρουσίᾳ εἶναι ἀγαθούς, κακοὺς δὲ κακῶν, τὰ δὲ ἀγαθὰ εἶναι τὰς ἡδονάς, κακὰ δὲ τὰς ἀνίας;



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Οὐκοῦν τοῖς χαίρουσι πάρεστι τἀγαθά, αἱ ἡδοναί, εἴπερ χαίρουσιν.

ΚΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Οὐκοῦν ἀγαθῶν παρόντων ἀγαθοί εἰσιν οἱ χαίροντες.

ΚΑΛ. Ναί.

ΣΩ. Τί δέ; τοῖς ἀνιωμένοις οὐ πάρεστι τὰ κακά, αἱ λῦπαι;

ΚΑΛ. Πάρεστιν.

E ΣΩ. Κακῶν δέ γε παρουσίᾳ φῂς σὺ εἶναι κακοὺς τοὺς κακούς· ἢ οὐκέτι φῄς;

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Ἀγαθοὶ ἄρα οἳ ἂν χαίρωσι, κακοὶ δὲ οἳ ἂν ἀνιῶνται.

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Οἱ μέν γε μᾶλλον μᾶλλον, οἱ δ' ἧττον ἧττον, οἱ δὲ παραπλησίως παραπλησίως.

ΚΑΛ. Ναί.

ΣΩ. Οὐκοῦν φῂς παραπλησίως χαίρειν καὶ λυπεῖσθαι τοὺς φρονίμους καὶ τοὺς ἄφρονας καὶ τοὺς δειλοὺς καὶ τοὺς ἀνδρείους, ἢ καὶ μᾶλλον ἔτι τοὺς δειλούς.

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Συλλόγισαι δὴ κοινῇ μετ' ἐμοῦ, τί ἡμῖν συμβαίνει ἐκ τῶν ὡμολογημένων· καὶ δὶς γάρ τοι καὶ τρίς φασι
499 καλὸν εἶναι τὰ καλὰ λέγειν τε καὶ ἐπισκοπεῖσθαι. ἀγαθὸν μὲν εἶναι τὸν φρόνιμον καὶ ἀνδρεῖόν φαμεν. ἢ γάρ;

ΚΑΛ. Ναί.

ΣΩ. Κακὸν δὲ τὸν ἄφρονα καὶ δειλόν.

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Ἀγαθὸν δὲ αὖ τὸν χαίροντα.

15 *οἱ μέν γε μᾶλλον, μᾶλλον* κ.τ.λ. Συμπλήρου ὧδε· «οἱ μέν γε μᾶλλον χαίροντες καὶ ἀνιώμενοι, μᾶλλον ἀγαθοὶ καὶ κακοί εἰσιν, οἱ δ' ἧττον (χ. κ. ἀν.) ἧττον ἀγαθοὶ καὶ κακοί εἰσιν, οἱ δὲ παραπλησίως (χ. κ. ἀν.) παραπλησίως ἀγαθοὶ καὶ κακοί εἰσι.

23 *καὶ δὶς γάρ τοι καὶ τρίς φασι.*

ΚΑΛ. Ναί.

ΣΩ. Κακὸν δὲ τὸν ἀνιώμενον.

ΚΑΛ. Ἀνάγκη.

ΣΩ. Ἀνιᾶσθαι δὲ καὶ χαίρειν τὸν ἀγαθὸν καὶ κακὸν ὁμοίως, ἴσως δὲ καὶ μᾶλλον τὸν κακόν.

ΚΑΛ. Ναί.

ΣΩ. Οὐκοῦν ὁμοίως γίγνεται κακὸς καὶ ἀγαθὸς τῷ ἀγαθῷ ἢ καὶ μᾶλλον *κακὸς καὶ* ἀγαθὸς ὁ κακός. οὐ ταῦτα B
συμβαίνει καὶ τὰ πρότερα ἐκεῖνα, ἐάν τις ταὐτὰ φῇ ἡδέα τε καὶ ἀγαθὰ εἶναι; οὐ ταῦτα ἀνάγκη, ὦ Καλλίκλεις;

ΝΔʹ. ΚΑΛ. Πάλαι τοί σου ἀκροῶμαι, ὦ Σώκρατες, καθομολογῶν, ἐνθυμούμενος ὅτι, κἂν παίζων τίς σοι ἐνδῷ ὁτιοῦν, τούτου ἄσμενος ἔχει ὥςπερ τὰ μειράκια. ὡς δε σὺ οἴει ἐμὲ ἢ καὶ ἄλλον ὁντινοῦν ἀνθρώπων οὐχ ἡγεῖσθαι τὰς μὲν βελτίους ἡδονάς, τὰς δὲ χείρους!

ΣΩ. Ἰοὺ ἰού, ὦ Καλλίκλεις, ὡς πανοῦργος εἶ, καί μοι

Τὸ *φασὶ* δηλοῖ ὅτι ἡ φράσις ἦτο παροιμιώδης. Πρβλ. Φίληβ. 59 e, Νόμ. 957 a, Φαῖδρ. 235 a.

7 ***Οὐκοῦν ὁμοίως γίγνεται κακός.*** Τὸ γίγνεται = ἀποφαίνεται. Πρβλ. σελ. 497 d, a.

9 ***καὶ τὰ πρότερα ἐκεῖνα.*** Τὰ προκαταδειχθέντα ἄτοπα, τὰ περὶ τῶν κνησιώντων, καὶ τὰ περὶ συμπτώσεως ἡδονῆς καὶ λύπης.

11 *Πάλαι τοί σου ἀκροῶμαι* κ.τ.λ. Ἐν τοῖς ἔμπροσθεν (σελ. 495 a) ὁ Σωκ. διὰ παραδειγμάτων κατέδειξε τὸ ἄτοπον τῆς ταυτίσεως τῆς ἡδονῆς καὶ τοῦ ἀγαθοῦ καὶ ὑπεδήλωσε τῷ Καλλ. τὴν ἀνάγκην τῆς διακρίσεως ἡδονῶν ἀγαθῶν καὶ ἡδονῶν κακῶν. Ἀλλὰ τὰ παραδείγματα δὲν ἔχουσιν ἀναγκαστικὴν δύναμιν· καὶ ὁ Καλλ. ἠδυνήθη τότε νὰ ἰσχυρισθῇ ὅτι καὶ οἱ ψωριῶντες, ξυόμενοι, εἰσὶν εὐδαίμονες, καίπερ μὴ πιστεύων εἰς τοῦτο, ἵνα μὴ ὁ λόγος εἴη αὐτῷ ἀνομολογούμενος. Νῦν ἐπειγόμενος ὑπὸ τῶν διαλεκτικῶν ἀποδείξεων τοῦ Σωκ. ἠναγκάσθη νὰ ἀποδεχθῇ τὰ ἐναντία ἐκείνων· ἀλλ' ἵνα μὴ φανῇ ἀντιφάσκων, προσποιεῖται ὅτι ἔκτοτε (πάλαι) εἶχε ταύτην τὴν γνώμην, καὶ ὅτι παίζων ἰσχυρίζετο ὅτι ἡδονὴ καὶ ἀγαθὸν εἶνε τὸ αὐτό. Ἔπιθι πρκβλ.

12 *ἐνθυμούμενος*· ὅπως καὶ τὸ *ἐννοῶν* = ἐν νῷ ἔχων, συλλογιζόμενος.

*κἂν παίζων τίς σοι ἐνδῷ ὁτιοῦν* = σοὶ δώσῃ ἀφορμὴν λόγων δι' ἀντιρρήσεων.

13 *ὡς δὴ σὺ οἴει* = τὸ νὰ πιστεύῃς δὲ ὅτι ἐγὼ ἢ καὶ ἄλλος ὁστιςδήποτε ἄνθρωπος δὲν κάμνει διάκρισιν ἀγαθῶν καὶ κακῶν ἡδονῶν! παράξενόν μοι φαίνεται. Ἔπιθι πρκβλ.

16 *Ἰοὺ ἰού.* Ἐπιφώνημα ἐνταῦθα, οὐχὶ σχετλιασμοῦ, ἀλλὰ καταπλήξεως. Ἱππ. Μ. 291 e· «Ἰού, ἰού, ὦ Ἱππία, ἦ θαυμασίως τε καὶ μεγάλως καὶ ἀξίως σαυτοῦ εἴρηκας»· καὶ Πολ. 432 d.

Ὁ Σωκ. προσποιεῖται ὅτι πιστεύει

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

C ὥςπερ παιδὶ χρῇ, τοτὲ μὲν ταῦτα φάσκων οὕτως ἔχειν, τοτὲ δὲ ἑτέρως, ἐξαπατῶν με. καίτοι οὐκ ᾤμην γε κατ' ἀρχὰς ὑπὸ σοῦ ἑκόντος εἶναι ἐξαπατηθήσεσθαι, ὡς ὄντος φίλου· νῦν δὲ ἐψεύσθην, καὶ ὡς ἔοικεν ἀνάγκη μοι κατὰ τὸν παλαιὸν λόγον τὸ παρὸν εὖ ποιεῖν καὶ τοῦτο δέχεσθαι τὸ διδόμενον παρὰ σοῦ. ἔστι δὲ δή, ὡς ἔοικεν, ὃ νῦν λέγεις, ὅτι ἡδοναί τινές εἰσιν αἱ μὲν ἀγαθαί, αἱ δὲ κακαί. ἢ γάρ;

ΚΑΛ. Ναί.

D ΣΩ. Ἆρ' οὖν ἀγαθαὶ μὲν αἱ ὠφέλιμοι, κακαὶ δὲ αἱ βλαβεραί;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Ὠφέλιμοι δέ γε αἱ ἀγαθόν τι ποιοῦσαι, κακαὶ δὲ αἱ κακόν τι;

ΚΑΛ. Φημί.

ΣΩ. Ἆρ' οὖν τὰς τοιάσδε λέγεις; οἷον κατὰ τὸ σῶμα ἃς νῦν δὴ ἐλέγομεν ἐν τῷ ἐσθίειν καὶ πίνειν ἡδονάς, εἰ ἄρα τούτων αἱ μὲν ὑγίειαν ποιοῦσιν ἐν τῷ σώματι ἢ ἰσχὺν ἢ ἄλλην τινὰ ἀρετὴν τοῦ σώματος, αὗται μὲν ἀγαθαί, αἱ δὲ τἀναντία τούτων, κακαί;

ΚΑΛ. Πάνυ γε.

E ΣΩ. Οὐκοῦν καὶ λῦπαι ὡσαύτως αἱ μὲν χρησταί εἰσιν, αἱ δὲ πονηραί;

τὸν Καλλ. ταῦτα λέγοντα. Ὁ κύριος σκοπός του εἶνε ἡ εὕρεσις τῆς ἀληθείας· τὸ ἂν θὰ φανῇ ὁ Καλλ. ἐπιστήμων ἢ ἀμαθής, ἐμβριθὴς ἢ ἐπιπόλαιος, τοῦτο εἶνε τῷ Σωκ. πάρεργον.

4 *νῦν δὲ ἐψεύσθην*. Τὸ μὲν μέσον: ψεύδομαι, ψεύσομαι, ἐψευσάμην, ἔψευσμαι = λέγω ψευδῆ. Τὸ δὲ παθ. ψεύδομαι, ψευσθήσομαι, ἐψεύσθην, ἔψευσμαι = ἀπατῶμαι περί τινα γνώμην, ἐλπίδα, προσδοκίαν, ὅταν ταῦτα ἔχωσιν ἢ ἀποβαίνωσιν ἄλλως ἢ ὡς ὑπελάμβανον. Τὸ πρᾶγμα οὗ ἐψεύσθην ἐκφέρεται ὧδε· τινός, περί τινος, περί τι. Θεαίτ. 194 c· «τὸ μὲν γὰρ ἀληθὲς δοξάζειν καλόν, τὸ δὲ ψεύδεσθαι (τοῦ ἀληθοῦς) αἰσχρόν». Εὐθύδ. 286 d. «τοῦτ' ἂν εἴη ἀμαθία, τὸ ψεύδεσθαι τῶν πραγμάτων». Πολ. 413 a· «ἐψεῦσθαι τῆς ἀληθείας»· καὶ 382 b· «περὶ τὰ ὄντα ψεύδεσθαι». Πρωταγ. 358 c· «ἐψεῦσθαι περὶ τῶν πραγμάτων».

*ἀνάγκη — τὸ παρὸν εὖ ποιεῖν* = νὰ στεργω τὸ παρόν, τὸ νῦν διδόμενον. Ἦτο παροιμιώδης φράσις: τὸ παρὸν εὖ ποιεῖν, ἢ εὖ τίθεσθαι. Πρβλ. Θουκ. Α', 75.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΚΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Οὐκοῦν τὰς μὲν χρηστὰς καὶ ἡδονὰς καὶ λύπας καὶ αἱρετέον ἐστὶ καὶ πρακτέον;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Τὰς δὲ πονηρὰς οὔ;

ΚΑΛ. Δῆλον δή.

ΣΩ. Ἕνεκα γάρ που τῶν ἀγαθῶν ἅπαντα ἡμῖν ἔδοξε πρακτέον εἶναι, εἰ μνημονεύεις, ἐμοί τε καὶ Πώλῳ. ἆρα καὶ σοὶ συνδοκεῖ οὕτω, τέλος εἶναι ἁπασῶν τῶν πράξεων τὸ ἀγαθόν, καὶ ἐκείνου ἕνεκεν δεῖν πάντα τἆλλα πράττεσθαι, ἀλλ' οὐχ ἐκεῖνο τῶν ἄλλων; σύμψηφος ἡμῖν εἶ καὶ 500
σὺ ἐκ τρίτων;

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Τῶν ἀγαθῶν ἄρα ἕνεκα δεῖ καὶ τἆλλα καὶ τὰ ἡδέα πράττειν, ἀλλ' οὐ τἀγαθὰ τῶν ἡδέων.

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Ἆρ' οὖν παντὸς ἀνδρός ἐστιν ἐκλέξασθαι, ποῖα ἀγαθὰ τῶν ἡδέων ἐστὶ καὶ ποῖα κακά, ἢ τεχνικοῦ δεῖ εἰς ἕκαστον;

ΚΑΛ. Τεχνικοῦ.—

ΝΕ'. ΣΩ. Ἀναμνησθῶμεν δὴ ὧν αὖ ἐγὼ πρὸς Πῶλον καὶ Γοργίαν ἐτύγχανον λέγων. ἔλεγον γάρ, εἰ μνημονεύεις, ὅτι εἶεν παρασκευαί, αἱ μὲν μέχρι ἡδονῆς, αὐτὸ τοῦτο μό- B
νον παρασκευάζουσαι, ἀγνοοῦσαι δὲ τὸ βέλτιον καὶ τὸ χεῖρον, αἱ δὲ γιγνώσκουσαι ὅ τι τε ἀγαθὸν καὶ ὅ τι κακόν· καὶ ἐτίθην τῶν μὲν περὶ τὰς ἡδονὰς τὴν μαγειρικὴν ἐμπειρίαν, ἀλλ' οὐ τέχνην, τῶν δὲ περὶ τὸ ἀγαθὸν τὴν ἰατρικὴν τέ-

7 *ἔδοξε—ἐμοί τε καὶ Πώλῳ·* ἐν σελ. 467 c, 468 b.

11 *σύμψηφος ἐκ τρίτων;*=ὡς τρίτος μεθ' ἡμῶν τῶν ἄλλων δύο ὄντων. Συμπ. 213 b· «Ὑπολύετε, ὦ παῖδες, τὸν Ἀλκιβιάδην, ἵνα ἐκ τρίτων κατακέηται.— Πάνυ γε, εἰπεῖν τὸν Ἀλκ. ἀλλὰ τίς ἡμῖν τρίτος ὧδε ξυμπότης;»

23 *αὐτὸ τοῦτο μόνον παρασκευάζουσαι·* δηλ. τὴν ἡδονήν. Ἡ μετοχ. πρότασις εἶνε ἀνάπτυξις τοῦ συνεπτυγμένως ἐξενεχθέντος: *μέχρι ἡδονῆς.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χνην. καὶ πρὸς φιλίου, ὦ Καλλίκλεις, μήτε αὐτὸς οἴου
δεῖν πρὸς ἐμὲ παίζειν μηδ' ὅ τι ἂν τύχῃς παρὰ τὰ δοκοῦντα
ἀποκρίνου, μήτ' αὖ τὰ παρ' ἐμοῦ οὕτως ἀποδέχου ὡς παί-
C ζοντος· ὁρᾷς γάρ, ὅτι περὶ τούτου εἰσὶν ἡμῖν οἱ λόγοι, οὗ
τί ἂν μᾶλλον σπουδάσειέ τις καὶ σμικρὸν νοῦν ἔχων ἄν-
θρωπος, ἢ τοῦτο, ὅντινα χρὴ τρόπον ζῆν, πότερον ἐπὶ ὃν
σὺ παρακαλεῖς ἐμέ, τὰ τοῦ ἀνδρὸς δὴ ταῦτα πράττοντα,
λέγοντά τε ἐν τῷ δήμῳ καὶ ῥητορικὴν ἀσκοῦντα καὶ πο-
λιτευόμενον τοῦτον τὸν τρόπον, ὃν ὑμεῖς νῦν πολιτεύεσθε,
ἢ ἐπὶ τόνδε τὸν βίον τὸν ἐν φιλοσοφίᾳ, καὶ τί ποτ' ἐστὶν οὗ-
D τος ἐκείνου διαφέρων. ἴσως οὖν βέλτιστόν ἐστιν, ὡς ἄρτι
ἐγὼ ἐπεχείρησα, διαιρεῖσθαι, διελομένους δὲ καὶ ὁμολογή-

1 *Καὶ πρὸς φιλίου.* Ἐξυπάκουε: *Διός.* Διακόπτει τὸν μίτον τοῦ λόγου, ἵνα παραινέσῃ τὸν Καλλ. νὰ μὴ παίζῃ πλέον, ὡς προκειμένου περὶ τῶν ὑψίστων σπουδασμάτων τοῦ ἀνθρώπου.

*μήτε αὐτὸς οἴου — μήτε αὖ τὰ παρ' ἐμοῦ* κ. τ. λ. Αἱ δύο αὗται διὰ του *μήτε* προτάσεις συμπλέκονται μετ' ἀλλήλων· ἡ δὲ ἐν τῷ μέσῳ διὰ τοῦ *μηδέ,* συμπλέκεται μετὰ μόνης τῆς πρώτης, ὡς συμπλήρωσις ἐκείνης. Ἡ σύνταξις εἶνε ὁμαλωτάτη.

4 *οὗ τί ἂν μᾶλλον — ἢ τοῦτο.* Ἀξιοσημείωτος σύνταξις· τὸ *οὗ* εἶνε προφανῶς ὁ 6' ὅρος τῆς συγκρ. καὶ ὅμως ἐπήνεγκε τὸ *ἢ τοῦτο* ὅπερ καὶ αὐτὸ εἶνε ὁ 6' ὅρος τῆς συγκρίσεως, σημαίνει δὲ τὸ αὐτὸ ὅπερ καὶ τὸ *οὗ,* ἀλλὰ διὰ τῶν ἐπιφερομένων ἀναπτύσσει αὐτά. Νόμ. 738 d' «καὶ φιλοφρονῶνται ἀλλήλους καὶ γνωρίζωσιν· οὗ μεῖζον οὐδὲν πόλει ἀγαθόν, ἢ γνωρίμους αὐτοὺς ἑαυτοῖς εἶναι».

6 *πότερον, ἐπὶ ὃν σὺ παρακαλεῖς ἐμὲ* κ.τ.λ. Ἀξιοσημείωτος ἀνακολουθία καὶ σύνταξις κατὰ τὸ νοούμενον. Τὸ *ἐπὶ ὃν* δὲν δύναται κατὰ τὴν λέξιν νὰ ἔχῃ ἄλλο συμπλήρωμα ἤ: *ἐπὶ ὃν τρόπον τοῦ ζῆν·* ἐν τούτοις ὁ Σωκ. ἐνόει: *ἐπὶ ὃν βίον.* Τοῦτο μαρτυρεῖ ἤδη τὸ ὀλίγον κατωτέρω: *πολιτευόμενον τοῦτον τὸν τρόπον,* ὅπερ θὰ ἦτο ἄτοπον, ἂν ἐκεῖ ἐπάνω ἐνόει *τρόπον·* προϊὼν δὲ τὸ λέγει σαφῶς: ἢ *ἐπὶ τόνδε τὸν βίον.* Ἐνταῦθα δὲ πάλιν παρέχει πράγματα ἡ *ἐπί,* ἥτις ἐτέθη κατά τινα ἐξομοίωσιν πρὸς τὸ *ἐπὶ ὄν,* ἀλλ' ἐκεῖ κεῖται ὀρθῶς ἡ *ἐπὶ* ὡς ἀπαιτεῖ τὸ *παρακαλεῖς,* ἐνταῦθα δὲ δὲν ὑπάρχει τι ἀπαιτοῦν τὴν *ἐπί.*

7 *τὰ τοῦ ἀνδρὸς δή.* Τὸ *δὴ* εἰρωνικῶς = αὐτὰ δὰ τὰ ἀνδρικά, ὅπως σὺ τὰ ὀνομάζεις.

8 *λέγοντά τε* κ.τ.λ. Αἱ τρεῖς ἐπιφερόμεναι μετοχαὶ εἰσιν ἀναπτύξεις τῆς: τὰ τοῦ ἀνδρὸς πράττοντα.

9 *τοῦτον τὸν τρόπον, ὃν ὑμεῖς νῦν πολιτεύεσθε.* Δῆλον ὅτι ὁ Σωκ. δὲν ἀποδοκιμάζει ἁπλῶς τὸ πολιτεύεσθαι, ἀλλὰ τὸν τρόπον ὃν ἐπολιτεύοντο οἱ περὶ τὸν Καλλ. καὶ μονονοὺ πάντες οἱ σύγχρονοι πολιτικοί.

10 *καὶ τί ποτ' ἐστὶν οὗτος ἐκείνου διαφέρων.* Συνδέεται μετὰ τῶν ἐπάνω: «*ὅν τινα χρὴ τρόπον ζῆν*», καὶ ἐξαρτᾶται ὡσαύτως ἐκ τοῦ: «*τί ἂν τις σπουδάσειεν, ἢ τοῦτο*».

12 *διαιρεῖσθαι·* δηλ. δύο τρόπους βίων.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σαντας ἀλλήλοις, εἰ ἔστι τούτω διττὼ τὼ βίω, σκέψασθαι, τί τε διαφέρετον ἀλλήλοιν καὶ ὁπότερον βιωτέον αὐτοῖν. ἴσως οὖν οὔπω οἶσθα τί λέγω.

ΚΑΛ. Οὐ δῆτα.

ΣΩ. Ἀλλ' ἐγώ σοι σαφέστερον ἐρῶ. ἐπειδὴ ὡμολογήκαμεν ἐγώ τε καὶ σὺ εἶναι μέν τι ἀγαθόν, εἶναι δέ τι ἡδύ, ἕτερον δὲ τὸ ἡδὺ τοῦ ἀγαθοῦ, ἑκατέρου δὲ αὐτοῖν μελέτην τινὰ εἶναι καὶ παρασκευὴν τῆς κτήσεως, τὴν μὲν τοῦ ἡδέος θήραν, τὴν δὲ τοῦ ἀγαθοῦ — αὐτὸ δέ μοι τοῦτο πρῶτον ἢ σύμφαθι ἢ μή· σύμφῃς; E

ΚΑΛ. Οὕτω φημί.

ΝϚʹ. ΣΩ. Ἴθι δή, ἃ καὶ πρὸς τούσδε ἐγὼ ἔλεγον, διομολόγησαί μοι, εἰ ἄρα σοι ἔδοξα τότε ἀληθῆ λέγειν. ἔλεγον δέ που, ὅτι ἡ μὲν ὀψοποιικὴ οὔ μοι δοκεῖ τέχνη εἶναι ἀλλ' ἐμπειρία, ἡ δ' ἰατρική, λέγων ὅτι ἡ μὲν τούτου οὗ 501 θεραπεύει καὶ τὴν φύσιν ἔσκεπται καὶ τὴν αἰτίαν ὧν πράττει, καὶ λόγον ἔχει τούτων ἑκάστου δοῦναι, ἡ ἰατρική· ἡ δ' ἑτέρα τῆς ἡδονῆς, πρὸς ἣν ἡ θεραπεία αὐτῇ

1 *εἰ ἔστι τούτω*. Ὑποθετ. πρότ. οὐχὶ πλαγία ἐρωτ. Ἐνταῦθα συμβαίνει τὸ καλούμενον σχῆμα Πινδαρικὸν ἢ Βοιώτιον (τὼ βίω ἐστίν, ἀντὶ *ἐστόν)*· περὶ οὗ ἔπιθι τὰ ὑπὸ Βερναρδάκη ἐν παρεκβλ. εἰς Φοινίσ. στίχ. 351 πεπραγματευμένα.

2 *καὶ ὁπότερον*. Συμπλ. βίον. Σύστοιχ. ἀντιχ.

3 *ἴσως οὖν οὔπω οἶσθα*. Πρόφασις τοῦ Πλ. πρὸς ἀνακεφαλαίωσιν, χάριν τοῦ ἀναγνώστου γινομένην.

7 *ἑκατέρου δὲ αὐτοῖν* κ.τ.λ. Σύμπλεκε ὧδε· «μελέτην δέ τινα εἶναι καὶ παρασκευὴν τῆς κτήσεως ἑκατέρου αὐτῶν, τὴν μὲν (=ἄλλην μὲν) τοῦ ἡδέος θήραν, τὴν δὲ (=ἄλλην δὲ) τοῦ ἀγαθοῦ».

9 *αὐτὸ δέ μοι τοῦτο*. Πρὸ τούτων διέκοψε τὸν μίτον τοῦ λόγου, καὶ ἀφῆκεν αὐτὸν ἀναπόδοτον, ἵνα λάβῃ παρὰ Καλλ. ἐπιβεβαίωσιν τῶν μέχρι τοῦδε. Κατωτέρω δὲν ἀναλαμβάνει πάλιν αὐτόν, ἀλλὰ κάμνει νέαν ἀρχήν.

13 *εἰ ἄρα σοι ἔδοξα*. Ὑποθ. πρότ., οὐχὶ πλαγ. ἐρωτ.

15 *ἡ δ' ἰατρική*. Συμπλήρου: *δοκεῖ μοι τέχνη εἶναι*. Μετὰ ἀρνητ. πρότασιν ἐπήνεγκε τὴν ἐναντίαν ἐκείνης διὰ τοῦ *δὲ* ἀντὶ τοῦ *ἀλλά*· ὁ *δὲ* εἶνε θετικός. Φαῖδρ. 230 d· «τὰ μὲν οὖν χωρία καὶ τὰ δένδρα οὐδέν μ' ἐθέλει διδάσκειν, οἱ δ' ἐν τῷ ἄστει ἄνθρωποι». Νόμ. 707 d· «οὐ τὸ σώζεσθαί τε καὶ εἶναι μόνον ἀνθρώποις τιμιώτατον ἡγούμενοι, — τὸ δ' ὡς βελτίστους γίγνεσθαί τε καὶ εἶναι (δηλ. τιμιώτατον ἡγούμενοι)».

17 *ἡ ἰατρική*. Παρετέθη πρὸς διασάφησιν τοῦ ἀορίστου: *ἡ μέν*.

18 *ἡ δ' ἑτέρα τῆς ἡδονῆς*. Διενοεῖτο νὰ προβῇ κατὰ τὸν αὐτὸν ῥυθμὸν καθ'

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐστὶν ἅπασα, κομιδῇ ἀτέχνως ἐπ' αὐτὴν ἔρχεται, οὔτε τι τὴν φύσιν σκεψαμένη τῆς ἡδονῆς οὔτε τὴν αἰτίαν, ἀλόγως τε παντάπασιν, ὡς ἔπος εἰπεῖν, οὐδὲν διαριθμησαμένη, τριβῇ καὶ ἐμπειρίᾳ μνήμην μόνον σωζομένη τοῦ εἰωθότος γίγνεσθαι, ᾧ δὴ καὶ πορίζεται τὰς ἡδονάς. ταῦτ'
B οὖν πρῶτον σκόπει εἰ δοκεῖ σοι ἱκανῶς λέγεσθαι, καὶ εἶναί τινες καὶ περὶ ψυχὴν τοιαῦται ἄλλαι πραγματεῖαι, αἱ μὲν τεχνικαί, προμήθειάν τινα ἔχουσαι τοῦ βελτίστου περὶ τὴν ψυχήν, αἱ δὲ τούτου μὲν ὀλιγωροῦσαι, ἐσκεμμέναι δ' αὖ, ὥςπερ ἐκεῖ, τὴν ἡδονὴν μόνον τῆς ψυχῆς, τίνα ἂν αὐτῇ τρόπον γίγνοιτο, ἥτις δὲ ἢ βελτίων ἢ χείρων τῶν ἡδονῶν, οὔτε σκοπούμεναι οὔτε μέλον αὐταῖς ἄλλο ἢ χα-

ὂν καὶ ἐν τῷ α' κώλῳ: «*ἡ μὲν τούτου, οὗ θεραπεύει, καὶ τὴν φύσιν ἔσκεπται*»· οὕτω καὶ ἐνταῦθα: «*ἡ δὲ ἑτέρα τῆς ἡδονῆς οὔτε τὴν φύσιν ἔσκεπται*» κ.τ.λ. ἀλλὰ προβαίνων ἐλησμόνησε τὴν γεν. ἡδονῆς, καὶ κατέλιπεν αὐτὴν ἐκκρεμῆ καὶ ἀσύντακτον.

1 *κομιδῇ ἀτέχνως — ἀλόγως τε.* Σύνδει τά: *ἀτέχνως, ἀλόγως τε,* ὡς τροπ. προσδ. τοῦ *ἔρχεται*· τά: *οὔτε τὴν φύσιν διασκεψαμένη οὔτε τὴν αἰτίαν*, λάμβανε ὡς ἀνάπτυξιν τοῦ *ἀτέχνως*· τό: *οὐδὲν διαριθμησαμένη* ὡς ἀνάπτυξιν τοῦ: *ἀλόγως*. Διαριθμοῦμαί τι = ἀπαριθμῶν ἕκαστα κατατάσσω εἰς τὰς οἰκείας κατηγορίας, ἄλλα εἰς ἄλλας. Νόμ. 728 a· «ἅπερ ἂν νομοθέτης αἰσχρὰ εἶναι καὶ κακὰ διαριθμούμενος τάττῃ καὶ τοὐναντίον ἀγαθὰ καὶ καλά»· ἔνθα δῆλον ὅτι τὸ διαριθμούμενος = καταλέγων ἓν πρὸς ἕν.

4 *τριβῇ καὶ ἐμπειρίᾳ μνήμην μόνον σωζομένη* = μόνον μνήμην τοῦ συνήθως γινομένου διασώζουσα, ἀγνοοῦσα δὲ καὶ οὐδέποτε φροντίσασα νὰ μάθῃ τὸ *διατί*, καὶ ἂν εὖ καὶ καλῶς ἢ κακῶς καὶ αἰσχρῶς γίνεται ὡς γίνεται· τοῦτο θὰ ἦτο τὸ λόγον ἔχειν καὶ διαριθμεῖσθαι.

5 *ᾧ δὴ* = ᾧ τρόπῳ, ἢ μεθόδῳ.

*ταῦτ' οὖν σκόπει εἰ δοκεῖ σοι* κ.τ.λ. Ἐκλάμβανε τὸ *δοκεῖ* προσωπ. τὸ *ταῦτα* ὡς αἰτιατ. ἀντικ. τοῦ *σκόπει*, νόει δὲ αὐτὸ καὶ ὡς ὑποκ. τοῦ *δοκεῖ* κατ' ὀνομαστ. κατὰ πρόληψιν = *σκόπει οὖν εἰ ταῦτα δοκεῖ σοι.*

6 *καὶ εἶναί τινες.* Συμπλήρου «καὶ εἰ δοκοῦσί σοι εἶναί τινες».

10 *ὥςπερ ἐκεῖ* = ἐν τῷ σώματι ἡ ὀψοποιϊκὴ καὶ ἡ κομμωτική.

12 *οὔτε σκοπούμεναι οὔτε μέλον αὐταῖς.* Τὸ *μέλον* διὰ τὴν ἰδιοφυΐαν του δὲν ἠδύνατο νὰ ταυτοπροσωπήσῃ μετὰ τοῦ *σκοπούμεναι*. Λέγεται σκοποῦμαί (ἐγὼ) τι· ἀλλὰ μέλει μοί τι ἤ τινος. Διὰ τοῦτο ἐτέθη κατ' αἰτιατ. ἀπόλυτον.

Παρὰ Πλάτ. τὸ *μέλειν* εὕρηται κείμενον ἢ ἀπροσώπως ἢ προσωπ. συντεταγμένον. Ἀπροσώπως μὲν μετὰ γεν. τοῦ μελήματος καὶ δοτ. τοῦ προσώπου τοῦ ἔχοντος τὸ μέλημα· οἷον: *μέλει μοί τινος*, ἐνίοτε δὲ καὶ *περί τινος*. Ἐνίοτε προστίθεται εἰς τὴν ἀπρόσωπον ταύτην σύνταξιν καί τις αἰτιατ. τοῦ κατά τι, οἷον *τι, οὐδέν, πολύ, ὀλίγον* κ.τ.τ. Προσωπικῶς δὲ μετὰ ὀνομαστ. ὡς ὑποκειμένου, δηλούσης τὸ μέλημα, καὶ μετὰ δοτ. τοῦ προσώπου τοῦ ἔχοντος τὸ μέλημα. Τὸ ὑποκ,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρίζεσθαι μόνον, εἴτε βέλτιον εἴτε χεῖρον. ἐμοὶ μὲν γάρ, ὦ C Καλλίκλεις, δοκοῦσί τε εἶναι, καὶ ἔγωγέ φημι τὸ τοιοῦτον κολακείαν εἶναι καὶ περὶ σῶμα καὶ περὶ ψυχὴν καὶ περὶ ἄλλο ὅτου ἄν τις τὴν ἡδονὴν θεραπεύῃ, ἀσκέπτως ἔχων τοῦ ἀμείνονός τε καὶ τοῦ χείρονος· σὺ δὲ δὴ πότερον συγκατατίθεσαι ἡμῖν περὶ τούτων τὴν αὐτὴν δόξαν ἢ ἀντίφῃς;

ΚΑΛ. Οὐκ ἔγωγε, ἀλλὰ συγχωρῶ, ἵνα σοι καὶ περανθῇ ὁ λόγος καὶ Γοργίᾳ τῷδε χαρίσωμαι.

ΣΩ. Πότερον δὲ περὶ μὲν μίαν ψυχήν ἔστι τοῦτο, περὶ D δὲ δύο καὶ πολλὰς οὐκ ἔστιν;

ΚΑΛ. Οὔκ, ἀλλὰ καὶ περὶ δύο καὶ περὶ πολλάς.

ΣΩ. Οὐκοῦν καὶ ἀθρόαις ἅμα χαρίζεσθαι ἔστι, μηδὲ σκοπούμενον τὸ βέλτιστον;

ΚΑΛ. Οἶμαι ἔγωγε.

ΝΖ΄. ΣΩ. Ἔχεις οὖν εἰπεῖν, αἵτινές εἰσιν αἱ ἐπιτηδεύσεις αἱ τοῦτο ποιοῦσαι; μᾶλλον δέ, εἰ βούλει, ἐμοῦ ἐρωτῶντος, ἣ μὲν ἄν σοι δοκῇ τούτων εἶναι, φάθι, ἣ δ' ἂν μή, μὴ φάθι. πρῶτον δὲ σκεψώμεθ:: τὴν αὐλητικήν. οὐ δοκεῖ E

ἐν τῇ προσωπ. συντάξει εἶνε ἀείποτε γ΄ προσώπου, ὅθεν καὶ τὸ ῥῆμα οὐδαμοῦ εὑρίσκεται κατὰ α΄ ἢ β΄ πρόσωπον παρὰ Πλάτωνι. Φαῖδρ 238 d· «ταῦτα θεῷ μελήσει». Νόμ. 835 d· «ἐν ᾗ (πόλει) θυσίαι τε καὶ ἑορταὶ καὶ χοροὶ πᾶσι μέλουσι διὰ βίου». Ἡ ἀπρόσωπ. διακρίνεται τῆς προσωπ. ἀπὸ τῆς γεν. συντακτικῆς μέλει μοί τινος· ὑπαρχούσης τοιαύτης γεν. ἡ σύνταξις εἶνε ἀπρόσωπος. Ἐν δὲ τῷ προκειμένῳ προσωπική· τὸ *ἄλλο* ὑποκ.

1 *εἴτε βέλτιον εἴτε χεῖρον.* Συμπλήρου: ἔστι τοῦτο, δηλ. τὸ χαρίζεσθαι.

2 *δοκοῦσί τε εἶναι.* Ἀπόκρισις εἰς τὴν ἐρώτησιν: *εἰ δοκοῦσί σοι εἶναί τινες καὶ περὶ ψυχὴν* κ. τ. λ.

*τὸ τοιοῦτον* = τὰς τοιαύτας πραγματείας.

5 *συγκατατίθεσαι ἡμῖν — τὴν αὐτὴν δόξαν.* Τὸ *συγκατατίθεμαι* κυριολεκτικῶς ἐπὶ ψηφοφορίας = κατατίθεμαι σύν τινι ἄλλῳ τὴν αὐτὴν ψῆφον ἐνταῦθα δὲ μεταφορ. ἐπὶ γνώμης ἢ δόξης. Ὁμοίως ἀνωτέρω (500 a) «σύμψηφος ἡμῖν εἶ καὶ σὺ ἐκ τρίτων». Ἐνταῦθα τὸ *ἡμῖν* περιλαμβάνει καὶ τὸν Γοργίαν.

7 *Οὐκ ἔγωγε, ἀλλὰ συγχωρῶ.* Τὸ *οὐκ* ἀποφάσκει τὸ ἀντίφῃς, οὐχὶ τὸ συγκατατίθεσαι = οὐκ ἀντίφημι ἀλλὰ συγχωρῶ.

17 *ἣ μὲν ἄν σοι δοκῇ τούτων εἶναι.* Τὸ *τούτων* γεν. διαιρ. τοῦ *εἶναι* μία *τούτων*, ὅπως λέγεται εἰμὶ τῶν πολιτικῶν, τῶν ἡδέως ἐλεγχομένων κ.τ.τ.

*φάθι, ἣ δ' ἂν μή, μὴ φάθι.* Φάθι = *εἰπὲ ναί· μὴ φάθι* = οὐχὶ *μὴ εἴπῃς*, ἀλλ' *εἰπὲ ὄχι*.

18 *πρῶτον — τὴν αὐλητικήν.* Ἡ ἔμφυτος φιλοκαλία τῶν Ἀθηναίων ἐνεποίει αὐτοῖς ἀποστροφὴν πρὸς τὴν αὐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σοι τοιαύτη τις εἶναι, ὦ Καλλίκλεις, τὴν ἡδονὴν ἡμῶν μόνον διώκειν, ἄλλο δ' οὐδὲν φροντίζειν;

ΚΑΛ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Οὐκοῦν καὶ αἱ τοιαίδε ἅπασαι, οἷον ἡ κιθαριστικὴ ἡ ἐν τοῖς ἀγῶσιν;

ΚΑΛ. Ναί.

ΣΩ. Τί δὲ ἡ τῶν χορῶν διδασκαλία καὶ ἡ τῶν διθυράμβων ποίησις; οὐ τοιαύτη τίς σοι καταφαίνεται; ἢ ἡγεῖ τι
502 φροντίζειν Κινησίαν τὸν Μέλητος, ὅπως ἐρεῖ τι τοιοῦτον ὅθεν ἂν οἱ ἀκούοντες βελτίους γίγνοιντο *μᾶλλον*, ἢ ὅ τι μέλλει χαριεῖσθαι τῷ ὄχλῳ τῶν θεατῶν;

λητικήν. Διηγεῖται ὁ Πλούτ. ἐν Βίῳ Ἀλκιβ. § Β΄, τάδε· «Τὸ αὐλεῖν ἔφευγεν, ὡς ἀγεννὲς καὶ ἀνελεύθερον· πλήκτρου μὲν γὰρ καὶ λύρας χρῆσιν οὐδὲν οὔτε σχήματος οὔτε μορφῆς, ἐλευθέρῳ πρεπούσης, διαφθείρειν, αὐλοὺς δὲ φυσῶντος ἀνθρώπου στόματι καὶ τοὺς συνήθεις ἂν πάνυ μόλις διαγνῶναι τὸ πρόσωπον· ἔτι δὲ τὴν μὲν λύραν τῷ χρωμένῳ συμφθέγγεσθαι καὶ συνᾴδειν, τὸν δ' αὐλὸν ἐπιστομίζειν καὶ ἀποφράττειν, ἑκάστου τήν τε φωνὴν καὶ τὸν λόγον ἀφαιρούμενον. Αὐλείτωσαν οὖν, ἔφη, Θηβαίων παῖδες· οὐ γὰρ ἴσασι διαλέγεσθαι· ἡμῖν δὲ τοῖς Ἀθηναίοις, ὡς οἱ πατέρες λέγουσιν, ἀρχηγέτις Ἀθηνᾶ καὶ πατρῷος Ἀπόλλων ἐστίν, ὧν ἡ μὲν ἔρριψε τὸν αὐλόν, ὁ δὲ καὶ τὸν αὐλητὴν (τὸν Μαρσύαν) ἐξέδειρε». Πρβλ. καὶ Πολιτ. 399 d, e.

4 *ἡ κιθαριστικὴ ἡ ἐν τοῖς ἀγῶσιν*. Οὐχὶ πᾶσαν τὴν κιθαριστικὴν κατακρίνει, ἀλλὰ τὴν ἐν τοῖς ἀγῶσιν, ἣν οἱ ἐξ ἐπαγγέλματος κιθαρισταὶ ἤσκουν ὡς βιοποριστικὸν ἔργον καὶ διηγωνίζοντο πρὸς ἐπίδειξιν. Ἐν τῇ Πολιτείᾳ διαρρήδην συνιστᾷ τὴν λύραν καὶ τὴν κιθάραν ὡς χρήσιμα κατὰ τὴν πόλιν, δηλονότι πρὸς ἰδιωτικὴν χρῆσιν καὶ τέρψιν ἑκάστου πολίτου σχολάζοντος,

7 *ἡ τῶν χορῶν διδασκαλία*. Χορούς νοεῖ ἐνταῦθα τοὺς διθυραμβικούς. Ἡρόδ. Α΄, 23· «Ἀρίονα τὸν Μυθημναῖον — ἐόντα κιθαρῳδὸν τῶν τότε οὐδενὸς δεύτερον, καὶ διθύραμβον πρῶτον ἀνθρώπων, τῶν ἡμεῖς ἴδμεν, ποιήσαντά τε καὶ ὀνομάσαντα καὶ διδάξαντα ἐν Κορίνθῳ. Οἱ χοροὶ οὗτοι ἐτελοῦντο κατὰ τὴν ἑορτὴν τοῦ Διονύσου· ἦσαν δὲ κύκλιοι, οἷοι καὶ οἱ τοῦ ἡμετέρου λαοῦ τὴν σήμερον. Ὁ κορυφαῖος τοῦ χοροῦ ἐξῆρχεν ᾄδων κατὰ στίχον ἢ στροφὴν τὸ διθυραμβικὸν ᾆσμα, οἱ δὲ συγχορευταὶ ἐπανελάμβανον ἑκάστοτε τὸ προᾳδόμενον. Ὁ χορὸς συνέκειτο ἔστιν ὅτε καὶ ἐκ πεντήκοντα προσώπων, ἅτινα προεγυμνάζοντο εἰς τὸ ᾄδειν καὶ εἰς τὰς τοῦ χοροῦ ἐρρύθμους κινήσεις. Ἐκ τοῦ διθυραμβικοῦ χοροῦ προῆλθεν ὁ τραγικὸς χορὸς καὶ ἡ τραγῳδία.

10 *ἢ ὅ τι μέλλει χαριεῖσθαι*. Ὅρα πρκβλ.

Ὁ Κινησίας ἦτο νεωτεριστὴς περὶ τὴν διθυραμβοποιίαν ἐπὶ τὰ χείρω· ἔτερπε μὲν τὸν ὄχλον, ἀλλ' οἱ σπουδαιότεροι τῶν πολιτῶν εὕρισκον τὴν ποίησίν του καὶ τὰς ὀρχηστικὰς κινήσεις λίαν ἀνειμένας. Διασύρεται ὑπὸ τῶν κωμικῶν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΚΑΛ. Δῆλον δὴ 'τοῦτό γε, ὦ Σώκρατες, Κινησίου γε πέρι.

ΣΩ. Τί δὲ ὁ πατὴρ αὐτοῦ Μέλης; ἦ πρὸς τὸ βέλτιστον βλέπων ἐδόκει σοι κιθαρῳδεῖν; ἢ ἐκεῖνος μὲν οὐδὲ πρὸς τὸ ἥδιστον· ἠνία γὰρ ᾄδων τοὺς θεατάς· ἀλλὰ δὴ σκόπει· οὐχὶ ἥ τε κιθαρῳδικὴ δοκεῖ σοι πᾶσα καὶ ἡ τῶν διθυράμβων ποίησις ἡδονῆς χάριν εὑρῆσθαι;

ΚΑΛ. Ἔμοιγε.

ΣΩ. Τί δὲ δὴ ἡ σεμνὴ αὕτη καὶ θαυμαστή, ἡ τῆς τρα- B γῳδίας ποίησις; [ἐφ' ᾧ ἐσπούδακε;] πότερόν ἐστιν αὐτῆς τὸ ἐπιχείρημα καὶ ἡ σπουδή, ὡς σοὶ δοκεῖ, χαρίζεσθαι τοῖς θεαταῖς μόνον, ἢ καὶ διαμάχεσθαι, ἐάν τι αὐτοῖς ἡδὺ μὲν ᾖ καὶ κεχαρισμένον, πονηρὸν δέ, ὅπως τοῦτο μὲν μὴ ἐρεῖ, εἰ δέ τι τυγχάνει ἀηδὲς καὶ ὠφέλιμον, τοῦτο δὲ καὶ λέξει καὶ ᾄσεται, ἐάν τε χαίρωσιν ἐάν τε μή; ποτέρως σοι δοκεῖ παρεσκευάσθαι ἡ τῶν τραγῳδιῶν ποίησις;

ΚΑΛ. Δῆλον δὴ τοῦτό γε, ὦ Σώκρατες, ὅτι πρὸς τὴν ἡδονὴν μᾶλλον ὥρμηται καὶ τὸ χαρίζεσθαι τοῖς θεαταῖς. C

ΣΩ. Οὐκοῦν τὸ τοιοῦτον, ὦ Καλλίκλεις, ἔφαμεν νῦν δὴ κολακείαν εἶναι;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Φέρε δή, εἴ τις περιέλοιτο τῆς ποιήσεως πάσης

11 *ὡς σοὶ δοκεῖ*. Προσδιορίζει οὐχὶ τὸ *χαρίζεσθαι*, ἀλλὰ τό: *πότερόν ἐστιν αὐτῆς* κ.τ.λ. Ὁμαλώτερον θὰ ἔλεγε τὸ αὐτὸ ὧδε· «Πότερόν σοι δοκεῖ τὸ ἐπιχείρημα αὐτῆς καὶ ἡ σπουδὴ εἶναι;»

13 *καὶ κεχαρισμένον* = κατὰ γνώμην αὐτῶν εἰρημένον, εὐχάριστον.

14 *ἀηδὲς καὶ ὠφέλιμον*. Ἀηδὲς = τὸ οὐχ ἡδύ· οὐχὶ δὲ καὶ τὸ σιχαντόν, ὡς παρ' ἡμῖν. 503 a· «εἴτε ἡδίω εἴτε ἀηδέστερα ἔσται τοῖς ἀκούουσι». Πολ. 398 a· «αὐτοὶ δ' ἂν τῷ ἀηδεστέρῳ ποιητῇ χρῴμεθα». Τοιοῦτος ἀηδὴς λόγος τοῖς δικασταῖς ἐγένετο ἡ Ἀπολογία τοῦ Σωκ. Καὶ οἱ Φιλιππικοὶ δὲ τοῦ Δημοσθένους ἦσαν τοῦτον τὸν τρόπον ἀηδεῖς τοῖς Ἀθηναίοις.

15 *ποτέρως σοι δοκεῖ παρεσκευάσθαι*. Τὸ ποτέρως = ἐπὶ πότερα, ἢ πρὸς πότερα.

22 *εἴ τις περιέλοιτο*. Ἡ οὐσία, ὁ πυρὴν τῆς ποιήσεώς εἰσιν οἱ λόγοι, δηλ. τὰ νοήματα τοῦ ποιητοῦ τὰ διὰ λόγων ἐκδηλούμενα. Μέλος δὲ καὶ ῥυθμὸς καὶ μέτρον εἰσὶ περιβλήματα πρὸς στολισμὸν καὶ ἡδονήν. Διὰ τοῦτο μετεχειρίσθη ἐπ' αὐτῶν τὸ *περιέλοιτο*.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

τό τε μέλος καὶ τὸν ῥυθμὸν καὶ τὸ μέτρον, ἄλλο τι ἢ λόγοι γίγνονται τὸ λειπόμενον;

ΚΑΛ. Ἀνάγκη.

ΣΩ. Οὐκοῦν πρὸς πολὺν ὄχλον καὶ δῆμον οὗτοι λέγονται οἱ λόγοι;

ΚΑΛ. Φημί.

ΣΩ. Δημηγορία ἄρα τίς ἐστιν ἡ ποιητική.

D ΚΑΛ. Φαίνεται.

ΣΩ. Οὐκοῦν ῥητορικὴ δημηγορία ἂν εἴη· ἢ οὐ ῥητορεύειν δοκοῦσί σοι οἱ ποιηταὶ ἐν τοῖς θεάτροις;

ΚΑΛ. Ἔμοιγε.

ΣΩ. Νῦν ἄρα ἡμεῖς εὑρήκαμεν ῥητορικήν τινα πρὸς δῆμον τοιοῦτον οἷον παίδων τε ὁμοῦ καὶ γυναικῶν καὶ ἀνδρῶν, καὶ δούλων καὶ ἐλευθέρων, ἣν οὐ πάνυ ἀγάμεθα· κολακικὴν γὰρ αὐτήν φαμεν εἶναι.

ΚΑΛ. Πάνυ γε.

ΝΗ΄. ΣΩ. Εἶεν· τί δὲ ἡ πρὸς τὸν Ἀθηναίων δῆμον ῥη-
E τορικὴ καὶ τοὺς ἄλλους τοὺς ἐν ταῖς πόλεσι δήμους τοὺς τῶν ἐλευθέρων ἀνδρῶν, τί ποτε ἡμῖν αὕτη ἐστί; πότερόν σοι δοκοῦσι πρὸς τὸ βέλτιστον ἀεὶ λέγειν οἱ ῥήτορες, τούτου στοχαζόμενοι, ὅπως οἱ πολῖται ὡς βέλτιστοι ἔσονται διὰ τοὺς αὐτῶν λόγους, ἢ καὶ οὗτοι, πρὸς τὸ χαρίζεσθαι

7 *Δημηγορία ἄρα.* Ἐπειδὴ τὸ οὐσιῶδες τῆς τραγῳδίας, οἱ λόγοι, γίνονται πρὸς τὸ πλῆθος (οὐχὶ πρὸς λογάδας ἐπιστήμονας), ἐκ τούτου συνάγει ὅτι ἡ τραγῳδία ἐστὶ δημηγορία, καὶ ἀκριβέστερον, ῥητορικὴ δημηγορία· διότι καὶ ὁ ποιητής, ὅπως καὶ ὁ ῥήτωρ, ἐμποιεῖ πειθὼ πιστικὴν οὐχὶ διδασκαλικήν.

13 ***οἷον παίδων τε ὁμοῦ καὶ γυναικῶν.*** Ἐξαίρει ἐνταῦθα το σύμμικτον διαφόρων φύσεων, ἠθῶν καὶ ἀντιληπτικῶν δυνάμεων, ἵνα δείξῃ ὅτι οὐ μόνον ἑκόντες ἀλλὰ καὶ ἐξ ἀνάγκης οἵ τε ποιηταὶ καὶ οἱ ῥήτορες ῥυθμίζουσι τοὺς λόγους των πρὸς τὴν ἀντιληπτικότητα καὶ τὴν εὐαρέστησιν τοιούτου φυράματος ἀκροατῶν. Νόμ. 817 c· «Μὴ δὴ δόξητε ἡμᾶς ῥᾳδίως γε οὕτως ὑμᾶς ποτε παρ᾽ ἡμῖν ἐάσειν σκηνάς τε πήξαντας κατ᾽ ἀγορὰν καὶ καλλιφώνους ὑποκριτὰς εἰσαγαγομένους, μεῖζον φθεγγομένους ἡμῶν, ἐπιτρέψειν ὑμῖν δημηγορεῖν πρός παῖδάς τε καὶ γυναῖκας καὶ τὸν πάντα ὄχλον, τῶν αὐτῶν λέγοντας ἐπιτηδευμάτων πέρι μὴ τὰ αὐτα, ἅπερ ἡμεῖς, ἀλλ᾽ ὡς τὸ πολὺ καὶ ἐναντία τὰ πλεῖστα».

22 ***ἢ καὶ οὗτοι — προσομιλοῦσι.*** Τὸ δ΄ τοῦτο κῶλον τῆς διαζεύξεως δὲν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῖς πολίταις ὡρμημένοι καὶ ἕνεκα τοῦ ἰδίου τοῦ αὑτῶν ὀλιγωροῦντες τοῦ κοινοῦ, ὥσπερ παισὶ προσομιλοῦσι τοῖς δήμοις, χαρίζεσθαι αὐτοῖς πειρώμενοι μόνον, εἰ δέ γε βελτίους ἔσονται ἢ χείρους διὰ ταῦτα, οὐδὲν φροντίζουσιν;

ΚΑΛ. Οὐχ ἁπλοῦν ἔτι τοῦτο ἐρωτᾷς· εἰσὶ μὲν γὰρ οἳ 503
κηδόμενοι τῶν πολιτῶν λέγουσιν ἃ λέγουσιν, εἰσὶ δὲ καὶ οἵους σὺ λέγεις.

ΣΩ. Ἐξαρκεῖ. εἰ γὰρ καὶ τοῦτό ἐστι διπλοῦν, τὸ μὲν ἕτερόν που τούτου κολακεία ἂν εἴη καὶ αἰσχρὰ δημηγορία, τὸ δ' ἕτερον καλόν, τὸ παρασκευάζειν ὅπως ὡς βέλτισται ἔσονται τῶν πολιτῶν αἱ ψυχαί, καὶ διαμάχεσθαι λέγοντα τὰ βέλτιστα, εἴτε ἡδίω εἴτε ἀηδέστερα ἔσται τοῖς ἀκούουσιν. ἀλλ' οὐ πώποτε σὺ ταύτην εἶδες τὴν ῥητορικήν· ἢ εἴ B
τινα ἔχεις τῶν ῥητόρων τοιοῦτον εἰπεῖν, τί οὐχὶ καὶ ἐμοὶ αὐτὸν ἔφρασας τίς ἐστιν;

ΚΑΛ. Ἀλλὰ μὰ Δί' οὐκ ἔχω ἔγωγέ σοι εἰπεῖν τῶν γε νῦν ῥητόρων οὐδένα.

ΣΩ. Τί δέ; τῶν παλαιῶν ἔχεις τινὰ εἰπεῖν, δι' ὅντινα αἰτίαν ἔχουσιν Ἀθηναῖοι βελτίους γεγονέναι, ἐπειδὴ ἐκεῖνος ἤρξατο δημηγορεῖν, ἐν τῷ πρόσθεν χρόνῳ χείρους ὄντες; ἐγὼ μὲν γὰρ οὐκ οἶδα τίς ἐστιν οὗτος.

ἐξήρτησεν ἐκ τοῦ *δοκοῦσιν*· ἐντεῦθεν ἐλαφρὰ ἀνακολουθία.

5 *Οὐχ ἁπλοῦν ἔτι τοῦτο ἐρωτᾷς* = Οὐκέτι ἁπλοῦν ἔστι τοῦτο ὃ ἐρωτᾷς. Ἁπλοῦν, τὸ ἄνευ περιορισμῶν, διακρίσεων, ἐξαιρέσεων κ. τ. τ.

8 *εἰ γὰρ καὶ τοῦτο.* Σύμπλεκε· «εἰ καὶ ἔστι τοῦτο διπλοῦν».

10 *τὸ δ' ἕτερον καλόν.* Καὶ ἐντεῦθεν δῆλον, ὅτι ὁ Πλ. δὲν καταχρίνει ἁπλῶς τὴν ῥητορικήν, ἀλλὰ τὴν κολακεύουσαν.

18 *δι' ὅντινα αἰτίαν ἔχουσιν* κ.τ.λ. *Οἱ Ἀθηναῖοι ἔχουσιν αἰτίαν γεγονέναι βελτίους διὰ τὸν δεῖνα ῥήτορα.* Ἡ φράσις ἐνέχει τινὰ λογικὴν ἀτοπίαν· διότι ὀρθῶς ἔχει μόνον τὸ αἰτίαν ἔχω ποιῆσαί τι, οὐχί, παθεῖν τι. Ἀπολ. 38 c· «ὄνομα ἕξετε καὶ αἰτίαν ὡς Σωκράτην ἀπεκτόνατε». Ἀλλὰ τὸ *αἰτίαν ἔχω* ἐνταῦθα ἰσοδυναμεῖ τῷ: *λέγομαι ὑπὸ τῶν ἀνθρώπων*, ὅπως κατωτέρω σελ. 515 e· «λέγονται Ἀθηναῖοι διὰ Περικλέα βελτίους γεγονέναι» Οὕτως οὐδὲν κωλύει πλέον νὰ λέγηται ἐνεργ. «ὁ Περικλῆς λέγεται ἢ αἰτίαν ἔχει Ἀθηναίους βελτίους πεποιηκέναι», καὶ παθητ. «οἱ Ἀθηναῖοι λέγονται ἢ αἰτίαν ἔχουσιν διὰ Περικλέα βελτίους γεγονέναι».

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

C ΚΑΛ. Τί δέ; Θεμιστοκλέα οὐκ ἀκούεις ἄνδρα ἀγαθὸν γεγονότα καὶ Κίμωνα καὶ Μιλτιάδην καὶ Περικλέα τουτονὶ τὸν νεωστὶ τετελευτηκότα, οὗ καὶ σὺ ἀκήκοας;

ΣΩ. Εἰ ἔστι γε, ὦ Καλλίκλεις, ἣν πρότερον σὺ ἔλεγες ἀρετήν, ἀληθής, τὸ τὰς ἐπιθυμίας ἀποπιμπλάναι καὶ τὰς αὑτοῦ καὶ τὰς τῶν ἄλλων· εἰ δὲ μὴ τοῦτο, ἀλλ' ὅπερ ἐν τῷ ὑστέρῳ λόγῳ ἠναγκάσθημεν ἡμεῖς ὁμολογεῖν, ὅτι,
D αἳ μὲν τῶν ἐπιθυμιῶν πληρούμεναι βελτίω ποιοῦσι τὸν ἄνθρωπον, ταύτας μὲν ἀποτελεῖν, αἳ δὲ χείρω, μή, τοῦτο δὲ τέχνη τις εἶναι, τοιοῦτον ἄνδρα τούτων τινὰ γεγονέναι ἔχεις εἰπεῖν;

1 *οὐκ ἀκούεις ἄνδρα ἀγαθὸν γεγονότα.* Ἡ κανονικὴ σύνταξις τοῦ *ἀκούω* εἶνε μετὰ γεν. τοῦ φθεγγομένου ἢ ἠχοῦντος καὶ αἰτιατ. τοῦ φθέγματος ἢ ἤχου. Ἀκούω σοῦ ταῦτα· ἀκούω τοῦ λέοντος τὸν βρυχηθμόν, τῆς θαλάσσης τὸν κτύπον κ.τ.τ. Συνηθέστερον ἀντὶ τῆς αἰτιατ. τίθεται κατηγορηματ. μετοχὴ κατὰ γεν. πτῶσιν, ἵνα συμφωνῇ πρὸς τὸ ὑποκείμενόν της. Ἀκήκοα Προδίκου διαιροῦντος, ἀκούω τινὸς ληροῦντος κ.τ.τ. Πολλάκις συντάσσεται μετ' ἀπαρεμφ., ἀλλὰ τότε συμβαίνει βραχυλογία τις. Τό: *ἤκουσα Περικλέους συμβουλεύοντος*, καὶ τό: *ἤκουσα Περικλέα συμβουλεύειν*, ὃ αφέρουσι πολὺ ἀλλήλων. Ἐκεῖνο μὲν σημαίνει, ὅτι αὐτὸς παρὼν ἤκουσα αὐτοῦ Περικλέους λέγοντος· τοῦτο δέ, ὅτι ἤκουσα ἄλλων ἀνθρώπων λεγόντων ὅτι ὁ Περικλῆς συνεβούλευε. Τὸ ἀπαρέμφατον λοιπὸν δὲν ἐξαρτᾶται ἐκ τοῦ *ἀκούω*, ἀλλ' ἐκ τῆς παραλειπομένης κατηγορηματικῆς μετοχῆς τοῦ *ἀκούω*, ἥτις εἶνε τὸ *λέγοντος* ἢ *λεγόντων* ἤ τι συγγενὲς τούτων.

Ἐν τῷ προκειμένῳ συμβαίνει ἡ περίστασις ἡ ἀπαιτοῦσα τὸ ἀπαρέμφατον· ἀντ' αὐτοῦ ἔχομεν μετοχὴν κατὰ πτῶσιν αἰτιατικήν. Ζητεῖται τίνα λόγον ἔχει ἡ μετοχή. Νομίζω ὅτι οὐδένα ἄλλον δύναται νὰ ἔχῃ, ἢ ὅτι τὸ *ἀκούεις* ἔθεσεν ἐνταῦθα ὁ Πλ. = τῷ *ἀκούων οἶσθα*· συνέταξεν ἄρα αὐτὸ κατὰ τὸ *οἶσθα*. Οὕτω καὶ Σοφ. Φιλ. 614 «τὸν μάντιν εἰπόντ' ἤκουσεν». Ὁμ. Ἰλ. Η. 129 «εἰ πτώσσοντας ὑφ' Ἕκτορι πάντας ἀκούσαι». Ὥστε τὸ μέν, *ἀκούω τινὰ γεγονότα* = *ἀκούων οἶδά τινα γεγονότα*· τὸ δὲ *ἀκούω τινὰ γεγονέναι* = ἀκούω λεγόντων ὅτι γέγονέ τις, χωρὶς νὰ ἐπιβεβαιῶ τὴν ἀλήθειαν τῶν λεγομένων.

4 *Εἴ ἔστι γε καὶ τὰς τῶν ἄλλων.* Παραλάμβανε ἐκ τῶν προηγουμένων τὴν ἀπόδοσιν τοιάνδε: «Ὀρθῶς δοκοῦσί σοι οἱ ἄνδρες οὗτοι γεγονέναι ἀγαθοί».

*ἣν πρότερον σὺ ἔλεγες ἀρετήν.* Καθ' ἕλξιν, ἀντί: «ἡ ἀρετὴ ἣν σὺ πρότερον ἔλεγες».

6 *εἰ δὲ μὴ τοῦτο.* Συμπλήρου: τὸ τὰς ἐπιθυμίας ἀποπιμπλάναι ἐστὶν ἡ ἀληθὴς ἀρετή.

7 *ἐν τῷ ὑστέρῳ λόγῳ.* Ἐν σελ. 499 d.

*ὅτι, αἳ μὲν — ταύτας μὲν ἀποτελεῖν.* Ὅρ. πρχβλ.

9 *τοῦτο δὲ τέχνη τις εἶναι.* Ἀνακόλουθος ἡ σύνταξις, ὡς νὰ εἶχεν ἐν νῷ ὁ Πλ. ἐκ τοῦ προειρημένου, *ἠναγκάσθημεν ὁμολογεῖν*, τὸ *ὡμολογήθη ἢ ἔδοξεν ἡμῖν*. Ἀναφέρει εἰς τὰ ἐν σελ. 500 a· «ἢ τεχνικοῦ δεῖ εἰς ἕκαστον; — Τεχνικοῦ».

10 *τοιοῦτον ἄνδρα.* Σύμπλ. ὧδε·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΚΑΛ. Οὐκ ἔχω ἔγωγε πῶς εἴπω.

ΝΘ΄. ΣΩ. Ἀλλ᾽ ἐὰν ζητῇς καλῶς, εὑρήσεις· ἴδωμεν δὴ οὑτωσὶ ἀτρέμα σκοπούμενοι, εἴ τις τούτων τοιοῦτος γέγονε. φέρε γάρ, ὁ ἀγαθὸς ἀνὴρ καὶ ἐπὶ τὸ βέλτιστον λέγων, ἃ ἂν λέγῃ, ἄλλο τι οὐκ εἰκῇ ἐρεῖ, ἀλλ᾽ ἀποβλέπων πρός τι; ὥσπερ καὶ οἱ ἄλλοι πάντες δημιουργοὶ βλέποντες E πρὸς τὸ αὑτῶν ἔργον ἕκαστος οὐκ εἰκῇ ἐκλεγόμενος προσφέρει ἃ προσφέρει πρὸς τὸ ἔργον τὸ αὑτοῦ, ἀλλ᾽ ὅπως ἂν εἶδός τι αὐτῷ σχῇ τοῦτο ὃ ἐργάζεται. οἷον εἰ βούλει ἰδεῖν τοὺς ζωγράφους, τοὺς οἰκοδόμους, τοὺς ναυπηγούς, τοὺς ἄλλους πάντας δημιουργούς, ὅντινα βούλει αὐτῶν, ὡς εἰς τάξιν τινὰ ἕκαστος ἕκαστον τίθησιν ὃ ἂν τιθῇ, καὶ προσαναγκάζει τὸ ἕτερον τῷ ἑτέρῳ πρέπον τε εἶναι καὶ ἁρμόττειν, ἕως ἂν τὸ ἅπαν συστήσηται τεταγμένον τε καὶ κε- 504 κοσμημένον πρᾶγμα· καὶ οἵ τε δὴ ἄλλοι δημιουργοὶ καὶ

«ἔχεις εἰπεῖν τούτων τινὰ γεγονέναι τοιοῦτον ἄνδρα;» Τὸ δὲ *τοιοῦτον ἄνδρα* νόει = ἀγαθὸν ἄνδρα ταύτην τὴν ἀρετήν;

1 *Οὐκ ἔχω ἔγωγε πῶς εἴπω*. Δὲν εἶνε ἀποφατικὴ ἀπόκρισις εἰς τὴν ἐρώτησιν τοῦ Σωκ. Τοιαύτη θὰ ἦτο: *οὐκ ἔχω ἔγωγε εἰπεῖν*. (Ὅρα τὸ ἀνωτέρω b). Ἀλλ᾽ εἶνε ἀπορηματικὴ = δὲν ἠξεύρω πῶς νὰ ἀποκριθῶ.

2 *εὑρήσεις* = θὰ εὕρῃς ἂν ὑπῆρξαν τοιοῦτοι ἄνδρες.

3 *οὑτωσὶ ἀτρέμα* = ἔτσι ἥσυχα, μὲ ἀπάθειαν, μὲ νηφαλιότητα.

6 *βλέποντες πρὸς τὸ αὑτῶν ἔργον ἕκαστος — προσφέρει ἃ προσφέρει πρὸς τὸ ἔργον τὸ αὑτοῦ*. Ἡ λέξις *ἔργον* κεῖται δὶς ἀλλὰ μὲ διάφορον ἔννοιαν. Τὸ α΄ ἔργον σημαίνει τὴν ἰδέαν τοῦ ἔργου, ἣν ὁ τεχνίτης ἔχει ἐν τῇ ἑαυτοῦ ψυχῇ, πρὸς ἣν ἀποβλέπων προσφέρει ἃ προσφέρει πρὸς τὸ (ἐν χερσίν, ὃ ἐργάζεται) ἔργον του.

8 *ἀλλ᾽ ὅπως ἂν εἶδός τι σχῇ* = ἀλλ᾽ ὅπως τὸ ἐν χερσὶν ἔργον λάβῃ τὸ εἶδος τῆς ἐν τῇ ψυχῇ ἰδέας τοῦ ἔργου.

9 *οἷον εἰ βούλει ἰδεῖν*. Ὑπόθεσις ἀναπόδοτος. Τὸ ἐπιφερόμενον: *ὡς εἰς τάξιν τινὰ* κ. τ. λ. ἐνδέχεται νὰ ἐκληφθῇ ὡς πλαγία ἐρώτ. ἐκ τοῦ ἰδεῖν (= νὰ ἴδῃς, πῶς θέτουν κάθε πρᾶγμα εἰς τάξιν)· καὶ τότε ἐκλείπει πᾶν ἴχνος ἀποδόσεως;· ἢ νὰ ἐκληφθῇ ὡς εἰδικὸς λόγος, ἐξαρτώμενος ἐκ νοουμένου ῥήματος: *ὄψει ἢ εὑρήσεις*, ὡς εἰς τάξιν κ.τ.λ. ὅπερ ῥῆμα θὰ ἦτο ἡ ἀπόδοσις.

14 τὸ *ἅπαν συστήσηται τεταγμένον* κ.τ.λ. Ἐκλάμβανε τὸ *ἅπαν* ἀντικ. τοῦ *συστήσηται*· τὸ *τεταγμ. καὶ κεκοσμ. πρ.* κατηγορούμενον. Τεταγμένον μὲν τὸ ὀνομάζει κατὰ τὰ συστατικά του μέρη, κεκοσμημένον δὲ κατὰ τὴν χάριν τὴν ἐπικεχυμένην ἐπὶ τοῦ ὅλου. Καὶ τὸ νοσοῦν καὶ τὸ νεκρὸν σῶμα διατελεῖ ὂν τεταγμένον, ἀλλ᾽ ἐλλείπει ἀπ᾽ αὐτοῦ ὁ κόσμος ὃν ἐπιχέει ἡ ὑγίεια καὶ ἡ ζωή.

15 *καὶ οἵ τε δὴ ἄλλοι δημιουργοί*. Σύμπλ. ποιοῦσιν οὕτω.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὓς νῦν δὴ ἐλέγομεν, οἱ περὶ τὸ σῶμα, παιδοτρίβαι τε καὶ ἰατροί, κοσμοῦσί που τὸ σῶμα καὶ συντάττουσιν. ὁμολογοῦμεν οὕτω τοῦτ᾽ ἔχειν ἢ οὔ;

ΚΑΛ. Ἔστω τοῦτο οὕτως.

ΣΩ. Τάξεως ἄρα καὶ κόσμου τυχοῦσα οἰκία χρηστὴ ἂν εἴη, ἀταξίας δὲ μοχθηρά.

ΚΑΛ. Φημί.

ΣΩ. Οὐκοῦν καὶ πλοῖον ὡσαύτως.

B ΚΑΛ. Ναί.

ΣΩ. Καὶ μὴν καὶ τὰ σώματά φαμεν τὰ ἡμέτερα.

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Τί δ᾽ ἡ ψυχή; ἀταξίας τυχοῦσα ἔσται χρηστή, ἢ τάξεώς τε καὶ κόσμου τινός;

ΚΑΛ. Ἀνάγκη ἐκ τῶν πρόσθεν καὶ τοῦτο συνομολογεῖν.

ΣΩ. Τί οὖν ὄνομά ἐστιν ἐν τῷ σώματι τῷ ἐκ τῆς τάξεώς τε καὶ τοῦ κόσμου γιγνομένῳ;

ΚΑΛ. Ὑγίειαν καὶ ἰσχὺν ἴσως λέγεις.

C ΣΩ. Ἔγωγε. τί δὲ αὖ τῷ ἐν τῇ ψυχῇ ἐγγιγνομένῳ ἐκ τῆς τάξεως καὶ τοῦ κόσμου; πειρῶ εὑρεῖν καὶ εἰπεῖν ὥσπερ ἐκείνῳ τὸ ὄνομα.

ΚΑΛ. Τί δὲ οὐκ αὐτὸς λέγεις, ὦ Σώκρατες;

ΣΩ. Ἀλλ᾽ εἴ σοι ἥδιόν ἐστιν, ἐγὼ ἐρῶ· σὺ δέ, ἂν μέν σοι δοκῶ ἐγὼ καλῶς λέγειν, φάθι· εἰ δὲ μή, ἔλεγχε καὶ μὴ ἐπίτρεπε. ἐμοὶ γὰρ δοκεῖ ταῖς μὲν τοῦ σώματος τάξεσιν ὄνομα εἶναι ὑγιεινόν, ἐξ οὗ ἐν αὐτῷ ἡ ὑγίεια γίγνεται καὶ ἡ ἄλλη ἀρετὴ τοῦ σώματος. ἔστι ταῦτα ἢ οὐκ ἔστιν;

ΚΑΛ. Ἔστιν.

21 *Τί δὲ οὐκ αὐτὸς λέγεις;* Ὁ Καλλ. ἀποφεύγει τὴν ἀπόκρισιν μαντευόμενος ὅτι, ὅ τι δήποτε καὶ ἂν εἴπῃ ὄνομα, τοῦτο θὰ εἶνε ἐκ διαμέτρου ἀντίθετον πρὸς τὴν ἀκολασίαν καὶ τὴν πλεονεξίαν, ἅτινα ἐπρέσβευεν ὡς τὰ προσόντα τῶν κρειττόνων.

22 *σὺ δὲ — φάθι· εἰ δὲ μή, ἔλεγχε καὶ μὴ ἐπίτρεπε* = Ἐὰν μέν σοι φαίνωμαι ὅτι λέγω σωστά, λέγε ναί, ἐπιβεβαίου αὐτὰ (φάθι)· εἰ δὲ μή, ἀποδείκνυε αὐτὰ ἐσφαλμένα καὶ μὴ ἀφίνῃς νὰ περάσουν (μὴ ἐπίτρεπε αὐτὰ κύρια εἶναι).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΩ. Ταῖς δὲ τῆς ψυχῆς τάξεσι καὶ κοσμήσεσι νόμιμόν D τε καὶ νόμος, ὅθεν καὶ νόμιμοι γίγνονται καὶ κόσμιοι· ταῦτα δ' ἐστὶ δικαιοσύνη τε καὶ σωφροσύνη. φῂς ἢ οὔ;

ΚΑΛ. Ἔστω.

Ξ'. ΣΩ. Οὐκοῦν πρὸς ταῦτα βλέπων ὁ ῥήτωρ ἐκεῖνος, ὁ τεχνικός τε καὶ ἀγαθός, καὶ τοὺς λόγους προσοίσει ταῖς ψυχαῖς, οὓς ἂν λέγῃ, καὶ τὰς πράξεις ἁπάσας, καὶ δῶρον ἐάν τι διδῷ, δώσει, καὶ ἐάν τι ἀφαιρῆται, ἀφαιρήσεται, πρὸς τοῦτο ἀεὶ τὸν νοῦν ἔχων, ὅπως ἂν αὐτοῦ τοῖς πολίταις δικαιοσύνη μὲν ἐν ταῖς ψυχαῖς γίγνηται, ἀδικία δὲ E ἀπαλλάττηται, καὶ σωφροσύνη μὲν ἐγγίγνηται, ἀκολασία δὲ ἀπαλλάττηται, καὶ ἡ ἄλλη ἀρετὴ ἐγγίγνηται, κακία δὲ ἀπίῃ. συγχωρεῖς ἢ οὔ;

ΚΑΛ. Συγχωρῶ.

ΣΩ. Τί γὰρ ὄφελος, ὦ Καλλίκλεις, σώματί γε κάμνοντι καὶ μοχθηρῶς διακειμένῳ σιτία πολλὰ διδόναι καὶ τὰ ἥδιστα ἢ ποτὰ ἢ ἄλλ' ὁτιοῦν, ὃ μὴ ὀνήσει αὐτὸ ἔσθ' ὅτι πλέον,

1 *νόμιμόν τε καὶ νόμος.* Δὲν νοεῖ τὰ θετὰ τῶν ἀνθρώπων νόμιμα, ἀλλὰ τοὺς θεοδμήτους ἠθικοὺς νόμους, καθ' οὓς διέπλασεν ὁ Θεὸς τὴν ἀνθρωπίνην ψυχήν, πρὸς οὓς ῥυθμίζων ἑαυτὸν ὁ ἄνθρωπος καθίσταται εὐδαίμων, οὓς παραβαίνων, ἄθλιος. Εἶνε οἱ νόμοι οἱ ἐπιβάλλοντες εἰς τὴν ἀπειρίαν καὶ ἀμετρίαν καὶ ἀταξίαν πέρας καὶ μέτρον καὶ τάξιν. Περὶ τῶν νόμων τούτων πραγματεύεται ἐκτενέστερον καὶ σαφέστερον ἐν τῷ Φιλήβῳ 26 b· «Ὕβριν γάρ που καὶ ξύμπασαν πάντων πονηρίαν αὕτη κατιδοῦσα ἡ θεός, πέρας οὔτε ἡδονῶν οὐδὲν οὔτε πλησμονῶν ἐνὸν ἐν αὐτοῖς, νόμον καὶ τάξιν πέρας ἐχόντων ἔθετο». Ἡ ἀρετὴ ἡ ἐμποιοῦσα νόμον καὶ τάξιν εἶνε ἡ δικαιοσύνη, ἡ δὲ κοσμιότητα, ἡ σωφροσύνη.

5 *Οὐκοῦν πρὸς ταῦτα βλέπων.* Ἀφ' οὗ προϋπετύπωσε τὴν ἀρίστην καὶ θεαρεστοτάτην ἕξιν τῆς ἀνθρωπίνης ψυχῆς, ἔρχεται νὰ δείξῃ ὅτι τὸ ἔργον τοῦ τεχνικοῦ καὶ ἀγαθοῦ ῥήτορος εἶνε νὰ διαπλάττῃ τοιαύτας τὰς ψυχὰς τῶν πολιτῶν. Ἐπειδὴ παρομοιοῖ τὸν ῥήτορα πρὸς τοὺς ἄλλους δημιουργούς, μεταχειρίζεται καὶ ἀντιστοίχους λέξεις, οἷον τὸ *προσοίσει* ἀντίστοιχον τῷ περὶ τοῦ δημιουργοῦ *προσφέρει*· τό: *πρὸς τοῦτο τὸν νοῦν ἔχων,* τῷ *βλέποντες πρὸς τὸ ἑαυτῶν ἔργον ἕκαστος*· τό: *ὅπως ἂν δικαιοσύνη γίγνηται,* πρὸς τό: *ὅπως ἂν εἶδός τι σχῇ αὐτῷ* κ.τ.λ.

7 *καὶ δῶρον ἐάν τι διδῷ* κ. τ. λ. Ἀφορμὴν πρὸς τὴν ὑπόθεσιν ταύτην εἶχεν ὁ Πλ. ἀπὸ τῶν δώρων ἃ ἐδωροῦντο οἱ πολιτικοὶ εἰς τὸν δῆμον ἵνα θηρεύσωσι τὴν εὔνοιάν του, οἷα ὁ Κίμων, μάλιστα δὲ ὁ Περικλῆς. Ἀφαιρέσεις δὲ νοεῖ τὰ ὑπὸ τὸν τίτλον φόρων, λειτουργιῶν κ. τ. τ. ἀπαιτούμενα παρὰ τῶν πολιτῶν.

17 *ὃ μὴ ὀνήσει.* Τὸ *μὴ* διὰ τὸ ἐνυπόθετον τοῦ ἀναφορ. λόγου.

*ἔσθ' ὅτι πλέον* = κατά τινα τρό-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἢ τοὐναντίον κατά γε τὸν δίκαιον λόγον καὶ ἔλαττον; ἔστι ταῦτα;

505 ΚΑΛ. Ἔστω.

ΣΩ. Οὐ γάρ, οἶμαι, λυσιτελεῖ μετὰ μοχθηρίας σώματος ζῆν ἀνθρώπῳ· ἀνάγκη γὰρ οὕτω καὶ ζῆν μοχθηρῶς· ἢ οὐχ οὕτως;

ΚΑΛ. Ναί.

ΣΩ. Οὐκοῦν καὶ τὰς ἐπιθυμίας ἀποπιμπλάναι, οἷον πεινῶντα φαγεῖν ὅσον βούλεται, ἢ διψῶντα πιεῖν, ὑγιαίνοντα μὲν ἐῶσιν οἱ ἰατροὶ ὡς τὰ πολλά, κάμνοντα δέ, ὡς ἔπος εἰπεῖν, οὐδέποτ' ἐῶσιν ἐμπίπλασθαι ὧν ἐπιθυμεῖ. συγχωρεῖς τοῦτό γε καὶ σύ;

ΚΑΛ. Ἔγωγε.

B ΣΩ. Περὶ δὲ ψυχήν, ὦ ἄριστε, οὐχ ὁ αὐτὸς τρόπος; ἕως μὲν ἂν πονηρὰ ᾖ, ἀνόητός τε οὖσα καὶ ἀκόλαστος καὶ ἄδικος καὶ ἀνόσιος, εἴργειν αὐτὴν δεῖ τῶν ἐπιθυμιῶν καὶ μὴ ἐπιτρέπειν ἄλλ' ἄττα ποιεῖν ἢ ἀφ' ὧν βελτίων ἔσται· φῂς ἢ οὔ;

ΚΑΛ. Φημί.

ΣΩ. Οὕτω γάρ που αὐτῇ ἄμεινον τῇ ψυχῇ.

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν τὸ εἴργειν ἐστὶν ἀφ' ὧν ἐπιθυμεῖ κολάζειν;

ΚΑΛ. Ναί.

ΣΩ. Τὸ κολάζεσθαι ἄρα τῇ ψυχῇ ἄμεινόν ἐστιν ἢ ἡ ἀκολασία, ὥςπερ σὺ νῦν δὴ ᾤου.

C ΚΑΛ. Οὐκ οἶδ' ἄττα λέγεις, ὦ Σώκρατες, ἀλλ' ἄλλον τινὰ ἐρώτα.

---

πον. Πολιτ. 507 C· «ἔστιν ὅτι προσδεῖ ἀκοῇ καὶ φωνῇ γένους ἄλλου εἰς τὸ τὴν μὲν ἀκούειν, τὴν δὲ ἀκούεσθαι κ. τ. λ.»

1 *ἢ τοὐναντίον — καὶ ἔλαττον*· ὀνήσει δηλ. = βλάψει. Λάμβανε τὸν *ἢ* διαζευκτικόν, τὸ *τοὐναντίον* ἐπίρρημα.

5 *ἀνάγκη γὰρ οὕτω* = τῷ οὕτως ἔχοντι, τῷ μετὰ μοχθηροῦ σώματος ζῶντι, καὶ ζῆν μοχθηρῶς· καθότι καὶ αὐτὸς (ἡ αἰσθανομένη ψυχὴ) ἀνιᾶται ὑπὸ τοῦ μοχθηροῦ σώματος.

21 *Οὐκοῦν τὸ εἴργειν* κ.τ.λ. Σύμπλεκε ὧδε· «Οὐκοῦν τὸ εἴργειν ἀφ' ὧν ἐπιθυμεῖ, ἐστὶ κολάζειν;»

25 *Οὐκ οἶδα ἄττα λέγεις* κ.τ.λ. Ὁ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΩ. Οὗτος ἀνὴρ οὐχ ὑπομένει ὠφελούμενος καὶ αὐτὸ τοῦτο πάσχων, περὶ οὗ ὁ λόγος ἐστί, κολαζόμενος!

ΚΑΛ. Οὐδέ γέ μοι μέλει οὐδὲν ὧν σὺ λέγεις, καὶ ταῦτά σοι Γοργίου χάριν ἀπεκρινάμην.

ΣΩ. Εἶεν· τί οὖν δὴ ποιήσομεν; μεταξὺ τὸν λόγον καταλείψομεν;

ΚΑΛ. Αὐτὸς γνώσει.

ΣΩ. Ἀλλ' οὐδὲ τοὺς μύθους φασὶ μεταξὺ θέμις εἶναι D καταλείπειν, ἀλλ' ἐπιθέντας κεφαλήν, ἵνα μὴ ἄνευ κεφαλῆς περιίῃ. ἀπόκριναι οὖν καὶ τὰ λοιπά, ἵνα ἡμῖν ὁ λόγος κεφαλὴν λάβῃ.

ΞΑ΄. ΚΑΛ. Ὡς βίαιος εἶ, ὦ Σώκρατες. ἐὰν δὲ ἐμοὶ πείθῃ,

Σωκ. ἔλαθε τὸν Καλλ. ὑπαγαγὼν εἰς τὸ ὁμολογῆσαι τὰ ἐναντία τῶν ἔμπροσθεν ὑπ᾽ αὐτοῦ διακηρυχθέντων. Συνιδὼν τέλος τὴν ἀντίφασιν, μὴ ἔχων ἄλλο τέχνασμα ὅπως ἐξέλθῃ τῆς δυσχεροῦς θέσεως οἷον τὸ ἐν σελ. 499 b, προσποιεῖται ὅτι δὲν προσέχει εἰς τὴν συζήτησιν, ὅτι ἀμελῶς καὶ ἀσκέπτως ἀποκρίνεται χάριν τοῦ Γοργίου, ὥςτε δὲν θεωρεῖ ἑαυτὸν δεσμευόμενον ὑπὸ τῶν συμπερασμάτων τοῦ Σωκ.

1 *Οὗτος ἀνὴρ οὐχ ὑπομένει ὠφελούμενος*. Ἀνταπόδοσις κατὰ τὸν αὐτὸν τύπον φιλόφρονος παραινέσεως ἀντὶ ὀνειδισμοῦ! Ὁ Καλλ. σ. 489 b ὠνείδισε τὸν Σωκ. κατὰ τὸν αὐτὸν τύπον ὡς φλυαροῦντα καὶ ἀναισχυντοῦντα.

*καὶ — κολαζόμενος*. Τιμωρίαν καὶ κόλασιν διορίζει ὁ Ἀριστοτ. Ῥητορ. Α΄, 10 ὧδε· «Διαφέρει τιμωρία καὶ κόλασις· ἡ μὲν γὰρ τοῦ πάσχοντος ἕνεκά ἐστιν, ἡ δὲ τιμωρία τοῦ ποιοῦντος ἵνα ἀποπληρωθῇ». Ὁ Καλλ. κολάζεται ὑπὸ τοῦ Σωκ. ἐλέγχοντος τὰς ἡμαρτημένας δόξας του, καὶ δεικνύοντος τὰς ὀρθάς, οὕτω δὲ ὠφελοῦντος αὐτόν.

3 *Οὐδέ γέ μοι μέλει οὐδὲν ὧν σὺ λέγεις*. Ἐκλάμβανε τὸ *μέλει* ἀπρόσωπον· τὸ *ὧν σὺ λέγεις* γεν. συντακτ. τοῦ *μέλει*· τὸ *οὐδὲν*=κατ' οὐδέν. Ἡ σύνταξις εἶνε· «οὐμέλει μοί τινος, οὐχὶ οὐ μέλει μοί τι!»

5 *μεταξὺ τὸν λόγον καταλείψομεν;* =θὰ ἀφήσωμεν τὸν λόγον μέσ' τὴ μέση;

7 *Αὐτὸς γνώσει*. =Κάμε καλὰ μὲ τὸν ἑαυτόν σου. Πρβλ. τὸ τοῦ Εὐαγγελίου· Ὑμεῖς ὄψεσθε.

8 *Οὐδὲ τοὺς μύθους* κ. τ. λ. Καταλείπειν τὸν μῦθον ἀκέφαλον ἐλέγετο παροιμιωδῶς περὶ τῆς μὴ ἀποτελεσθείσης διηγήσεως. Νόμ. 752 a· «Οὔκουν δήπου λέγων γε ἂν μῦθον ἀκέφαλον ἑκὼν καταλείποιμι».

*θέμις εἶναι*. Γραμματικῶς θὰ εἶχεν ὀρθῶς τὸ *θέμιν εἶναι* διὰ τὴν ἑτεροπροσωπίαν. Ἀλλ' ἡ συχνὴ καὶ οἱονεὶ στερεότυπος χρῆσις τοῦ θέμις ἐστί, κατέστησεν αὐτὸ ἄκλιτον. Σοφ. Οἰδ. Κ. 1190·

«θέμις σέ γ' εἶναι κεῖνον ἀντιδρᾶν [κακῶς.

ὃν τρόπον καὶ ἡμεῖς ἐκ τῆς στερεοτύπου προσφωνήσεως τῶν μοναχῶν «Πάτερ Γρηγόριε!» συμπαγεισῶν τῶν δύο λέξεων, λέγομεν ἔπειτα καὶ «Ὁ Πάτερ-Γρηγόριος».

9 *ἀλλ' ἐπιθέντας κεφαλήν*. Συμπλήρου· «*οὕτω καταλείπειν*». Τὸ τέλος τοῦ λόγου ὁμοιοῦται πρὸς τὴν κεφαλὴν τοῦ σώματος· διότι συνήθως

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐάσεις χαίρειν τοῦτον τὸν λόγον, ἢ καὶ ἄλλῳ τῳ διαλέξει.

ΣΩ. Τίς οὖν ἄλλος ἐθέλει; μὴ γάρ τοι ἀτελῆ γε τὸν λόγον καταλίπωμεν.

ΚΑΛ. Αὐτὸς δὲ οὐκ ἂν δύναιο διελθεῖν τὸν λόγον, ἢ λέγων κατὰ σαυτὸν ἢ ἀποκρινόμενος σαυτῷ;

E ΣΩ. Ἵνα μοι τὸ τοῦ Ἐπιχάρμου γένηται, ἃ πρὸ τοῦ
δύο ἄνδρες ἔλεγον, εἷς ὢν ἱκανὸς γένωμαι; ἀτὰρ κινδυνεύει
ἀναγκαιότατον εἶναι. οὑτωσὶ μέντοι ποιήσωμεν· οἶμαι
ἔγωγε χρῆναι πάντας ἡμᾶς φιλονίκως ἔχειν πρὸς τὸ εἰδέ-
ναι τὸ ἀληθὲς τί ἐστι περὶ ὧν λέγομεν καὶ τί ψεῦδος· κοι-
506 νὸν γὰρ ἀγαθὸν ἅπασι φανερὸν γενέσθαι αὐτό. δίειμι μὲν
οὖν τῷ λόγῳ ἐγὼ ὡς ἂν μοι δοκῇ ἔχειν· ἐὰν δέ τῳ ὑμῶν

περὶ τὸ τέλος γίνεται δῆλον τί σημαίνει καὶ τί σκοπεῖ ὅλος ὁ μῦθος. Πρβλ. Φαῖδρ. 264 c καὶ Φίληβ. 66 d.

2 *Τίς οὖν ἄλλος ἐθέλει;* Ὑποτίθεται ὁ μὲν Σωκ. ἐρωτῶν τοὺς ἀκροατάς, τούτων δὲ οὐδεὶς ὢν πρόθυμος. Εἶνε συγγραφικὸν τέχνασμα τοῦ Πλάτ. ἵνα ἀνακεφαλαιώσῃ τὰ μέχρι τοῦδε διαπερανθέντα, ὅπερ διαλογικῶς δὲν θὰ κατωρθοῦτο εὐχερῶς.

4 *ἢ λέγων κατὰ σαυτὸν ἢ ἀποκρινόμενος σαυτῷ;* Τὸ μέν, λέγων συνεχῆ λόγον ἐκ σεαυτοῦ, τὸ δέ, ἐρωτῶν τε καὶ ἀποκρινόμενος αὐτὸς σεαυτῷ.

6 *Ἵνα μοι τὸ τοῦ Ἐπιχάρμου γένηται;* Δηλ. μὲ συμβουλεύεις νὰ πράξω οὕτως, ἵνα μοι συμβῇ τὸ τοῦ Ἐπιχάρμου; Παίζων λέγει ταῦτα, ὡς καὶ ἐν Λύσ. 211 b· «Σ. Ἀλλ' ὅρα ὅπως ἐπικουρήσεις μοι, ἐάν με ἐλέγχειν ἐπιχειρῇ Μενέξενος· ἢ οὐκ οἶσθα ὅτι ἐριστικός ἐστιν... —Λ. Διὰ ταῦτά τοι καὶ βούλομαί σε αὐτῷ διαλέγεσθαι. — Σ. Ἵνα, ἦν δ' ἐγώ, καταγέλαστος γένωμαι;» Οὕτω καὶ Λουκ. ἐν Νεκρ. διαλ. «Χαρίεν λέγεις, ἵνα καὶ πληγὰς ἐπὶ τούτῳ παρὰ τοῦ Αἰακοῦ λάβω».

Ἐπίχαρμος κωμῳδιοποιὸς Συρακόσιος, λίαν τιμώμενος ὑπὸ Πλάτωνος διὰ τὴν εὐπρέπειαν τῶν ἠθογραφιῶν του καὶ τὴν πυκνότητα τῶν γνωμῶν του. Ὁ στίχος τοῦ Ἐπιχ. κατὰ τὸν Ἀθήναιον εἶχεν ὧδε·

Τὰ πρὸ τοῦ δύ' ἄνδρες ἔλεγον, εἷς ἐγὼν ἀποχρέω.

7 *κινδυνεύει.* Πρβλ. Ὑποσημ. Ἀπολογ. σελ 20 d.

9 *φιλονίκως ἔχειν. Φιλόνικος καὶ φιλότιμος* εὕρηνται συχνάκις παρὰ Πλ. ἐκ παραλλήλου = ὁ ποθῶν καὶ σπουδάζων νὰ ἐκνικήσῃ ἡ γνώμη του, νὰ ἀναδειχθῇ νικητὴς ἐν τῇ συζητήσει, ὡς τοῦτο περιποιοῦν αὐτῷ τιμήν. Ἦθος φιλόνικον εἶνε ὡς ἐπὶ τὸ πλεῖστον ἐπίψογον, καὶ ὡς τοιοῦτον ἔψεξεν αὐτὸ ἔμπροσθεν σ. 457 d. Ἀλλ' ὁ Πλ. εὗρεν ὅτι ἐνδέχεται τοιοῦτον ἦθος νὰ κατευθυνθῇ πρὸς τὸ ἀγαθόν, ὅταν φιλονικῇ τις πρὸς τὸ εἰδέναι τἀληθές, ὅταν δηλ. σπουδάζῃ νὰ ἀναδειχθῇ νικητὴς ἐν τῇ εὑρέσει τῆς ἀληθείας καὶ ἐπὶ τούτῳ φιλοτιμῆται. Ἀγαπᾷ ὁ Πλ. καὶ ἐν γένει πᾶς φιλόσοφος νὰ ἀνευρίσκωσι τῶν κοινῇ ψεγομένων ἰδιοτήτων καὶ διαθέσεων ἐπαινετὰς ἐκδηλώσεις. Ἔπιθι τὰ Εὐθυδ. 283 d καὶ 285 a-d περὶ ἐξωλείας. Πολιτ. 400 e περὶ τῆς εὐηθείας. Ἀριστ. Ἠθ. Νικομ. I. 8 περὶ τῆς φιλαυτίας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὴ τὰ ὄντα δοκῶ ὁμολογεῖν ἐμαυτῷ, χρὴ ἀντιλαμβάνεσθαι καὶ ἐλέγχειν. οὐδὲ γάρ τοι ἔγωγε εἰδὼς λέγω ἃ λέγω, ἀλλὰ ζητῶ κοινῇ μεθ' ὑμῶν, ὥστε, ἄν τι φαίνηται λέγων ὁ ἀμφισβητῶν ἐμοί, ἐγὼ πρῶτος συγχωρήσομαι. λέγω μέντοι ταῦτα, εἰ δοκεῖ χρῆναι διαπερανθῆναι τὸν λόγον· εἰ δὲ μὴ βούλεσθε, ἐῶμεν δὴ χαίρειν καὶ ἀπίωμεν.

ΓΟΡ. Ἀλλ' ἐμοὶ μὲν οὐ δοκεῖ, ὦ Σώκρατες, χρῆναί πω ἀπιέναι, ἀλλὰ διεξελθεῖν σε τὸν λόγον· φαίνεται δέ μοι B καὶ τοῖς ἄλλοις δοκεῖν. βούλομαι γὰρ ἔγωγε καὶ αὐτὸς ἀκοῦσαί σου αὐτοῦ διιόντος τὰ ἐπίλοιπα.

ΣΩ. Ἀλλὰ μὲν δή, ὦ Γοργία, καὶ αὐτὸς ἡδέως μὲν ἂν Καλλικλεῖ τούτῳ ἔτι διελεγόμην, ἕως αὐτῷ τὴν τοῦ Ἀμφίονος ἀπέδωκα ῥῆσιν ἀντὶ τῆς τοῦ Ζήθου· ἐπειδὴ δὲ σύ, ὦ Καλλίκλεις, οὐκ ἐθέλεις συνδιαπερᾶναι τὸν λόγον, ἀλλ' οὖν ἐμοῦ γε ἀκούων ἐπιλαμβάνου, ἐάν τί σοι δοκῶ μὴ καλῶς λέγειν. καί με ἐὰν ἐξελέγχῃς, οὐκ ἀχθεσθήσομαί σοι C ὥσπερ σὺ ἐμοί, ἀλλὰ μέγιστος εὐεργέτης παρ' ἐμοὶ ἀναγεγράψει.

ΚΑΛ. Λέγε, ὦ 'γαθέ, αὐτὸς καὶ πέραινε.

ΞΒ'. ΣΩ. Ἄκουε δὴ ἐξ ἀρχῆς ἐμοῦ ἀναλαβόντος τὸν λόγον. Ἆρα τὸ ἡδὺ καὶ τὸ ἀγαθὸν τὸ αὐτό ἐστιν; – Οὐ ταὐ-

1 *χρὴ ἀντιλαμβάνεσθαι.* Συμπλήρου: ἐμοῦ ἢ τοῦ λόγου = νά με κρατῆτε, νά με σταματᾶτε.

3 *ἄν τι φαίνηται λέγων* = ἂν ὁ ἀμφισβητῶν ἐμοὶ (ὁ ἀντιλαμβανόμενος καὶ ἐλέγχων) φαίνηται λέγων τι (ὀρθόν, εὔλογον), ἐγὼ πρῶτος συγχωρήσομαι.

7 *Ἀλλ' ἐμοὶ μὲν οὐ δοκεῖ* κ. τ. λ. Ὁ Γορ. παρίσταται ἐνταῦθα γνησίως φιλομαθῶν, ἄλλως τε καὶ ἐπειδὴ αὐτὸς δὲν εἶχεν ἐκφέρει γνώμην ἐπὶ τῶν μετὰ Καλλ. διαπερανθέντων, ἡ ἧττα ἄρα τοῦ Καλλ. δὲν θὰ ἔτεινε καὶ εἰς αὐτόν.

12 *ἕως ἀπέδωκα.* Χρόνος ἀόριστος, ἂν καὶ πρόκειται περὶ μελλούσης πράξεως! Ἀλλ' ἐτέθη διὰ τὸν αὐτὸν λόγον δι' ὃν καὶ ἐν τῇ κυρίᾳ προτ. ἐτέθη παρατατ. *διελεγόμην.* Ὡσαύτως θὰ ἐτίθετο ἀόριστος ὁριστ. ἐγκλ. καὶ ἂν ἀντὶ χρονικοῦ ἤθελεν ἐπενέγκει τελ. λόγον «*ἵνα ἀπέδωκα*». Ὁσάκις ὑποθέτομέν τι ἀδύνατον, μεταχειριζόμεθα τοὺς παρῳχημένους χρόνους, καὶ ἂν τὸ ὑποτιθέμενον ἀδύνατον θὰ ἔμελλε νὰ συμβῇ· οἷον· «Εἴ ποτε (ἐν τῷ μέλλοντι) ἐσβέννυτο ὁ ἥλιος, ἦν ἂν ἡ γῆ ἀκατοίκητος».

17 *ὥσπερ σὺ ἐμοί.* Συμπλ. ἠχθέσθης. Αἰνίττεται εἰς τὰ σ. 489 b καὶ 497 a.

19 *Λέγε, ὦ 'γαθέ.* Μετ' ἐλαφρᾶς κα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τόν, ὡς ἐγὼ καὶ Καλλικλῆς ὡμολογήσαμεν. - Πότερον δὲ τὸ ἡδὺ ἕνεκα τοῦ ἀγαθοῦ πρακτέον, ἢ τὸ ἀγαθὸν ἕνεκα τοῦ ἡδέος; - Τὸ ἡδὺ ἕνεκα τοῦ ἀγαθοῦ. - Ἡδὺ δέ ἐστι
D τοῦτο, οὗ παραγενομένου ἡδόμεθα, ἀγαθὸν δὲ οὗ παρόντος ἀγαθοί ἐσμεν; - Πάνυ γε. - Ἀλλὰ μὴν ἀγαθοί γέ ἐσμεν καὶ ἡμεῖς καὶ τἆλλα πάντα, ὅσα ἀγαθά ἐστιν, ἀρετῆς τινὸς παραγενομένης. - Ἔμοιγε δοκεῖ ἀναγκαῖον εἶναι, ὦ Καλλίκλεις. - Ἀλλὰ μὲν δὴ ἥ γε ἀρετὴ ἑκάστου, καὶ σκεύους καὶ σώματος καὶ ψυχῆς αὖ καὶ ζώου παντός, οὐχ οὕτω εἰκῇ [κάλλιστα] παραγίγνεται, ἀλλὰ τάξει καὶ ὀρθότητι καὶ τέχνῃ, ἥτις ἑκάστῳ ἀποδέδοται αὐτῶν· ἆρα
E ἔστι ταῦτα; Ἐγὼ μὲν γὰρ φημί. - Τάξει ἄρα τεταγμένον καὶ κεκοσμημένον ἐστὶν ἡ ἀρετὴ ἑκάστου. - Φαίην ἂν ἔγωγε. - Κόσμος τις ἄρα ἐγγενόμενος ἐν ἑκάστῳ ὁ ἑκάστου οἰκεῖος ἀγαθὸν παρέχει ἕκαστον τῶν ὄντων. - Ἔμοιγε δοκεῖ. - Καὶ ψυχὴ ἄρα κόσμον ἔχουσα τὸν ἑαυτῆς ἀμείνων τῆς ἀκοσμήτου. - Ἀνάγκη. - Ἀλλὰ μὴν ἥ γε κόσμον
507 ἔχουσα κοσμία. - Πῶς γὰρ οὐ μέλλει; - Ἡ δέ γε κοσμία σώφρων. - Πολλὴ ἀνάγκη. - Ἡ ἄρα σώφρων ψυχὴ ἀγαθή. Ἐγὼ μὲν οὐκ ἔχω παρὰ ταῦτα ἄλλα φάναι, ὦ φίλε Καλλίκλεις· σὺ δ' εἰ ἔχεις, δίδασκε.

ΚΑΛ. Λέγ', ὦ 'γαθέ.

ΣΩ. Λέγω δὴ ὅτι, εἰ ἡ σώφρων ἀγαθή ἐστιν, ἡ τοὐναν-

ταφρονήσεως, ὡς παρὰ π.οὔχοντος πρὸς ὑποδεέστερον. Τὸ ἡμέτερον: Λέγε, βρὲ ἀδελφέ, καὶ ξεμπέρδευε.

9 *οὐχ οὕτω εἰκῇ*=ὄχι ἔτσι ὅπως ἔτυχε. Συχνάκις μεταχειρίζεται ὁ Πλ. τὸ *οὕτω* καὶ *οὑτωσί*, ὅπως καὶ ἡμεῖς τὸ *ἔτσι*, οἷον ἔτσι στὰ καλὰ καθούμενα· ἔτσι χωρὶς ἀφορμήν· ἔτσι γιὰ διασκέδασιν. Ὁμοίως Δημοσθ. Ὀλυνθ. Γ', § 11· «Λέγω τοὺς περὶ τῶν θεωρικῶν (νόμους) σαφῶς οὑτωσὶ=ἔτσι καθαρά».

11 *ἥτις ἑκάστῳ ἀποδέδοται αὐτῶν*= ἥτις τάξις καὶ ὀρθότης καὶ τέχνη ἔχει ἀπονεμηθῆ ἑκάστῳ αὐτῶν ὑπὸ τῆς φύσεως ἢ τοῦ δημιουργοῦ του.

12 *Τάξει ἄρα τεταγμένον* κ.τ.λ. Ὅρ. πρκδλ.

21 *Σὺ δ' εἰ ἔχεις, δίδασκε.* Ἐπειδὴ τὰ μέχρι τοῦδε εἶχον προομολογηθῆ καὶ ὑπὸ Καλλ., ὁ Σωκ. ἀποπειρᾶται νὰ συμπαραλάβῃ αὐτὸν εἰς τὸν διάλογον, ἵνα ὁμοῦ διαπεράνωσι καὶ τὰ λοιπά. Ὁ Καλλ. διὰ τοῦ: *λέγε, ὦ 'γαθέ*, ἐξολισθαίνει.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τίον τῇ σώφρονι πεπονθυῖα κακή ἐστιν· ἦν δὲ αὕτη ἡ ἄφρων
τε καὶ ἀκόλαστος. - Πάνυ γε. - Καὶ μὴν ὅ γε σώφρων τὰ
προσήκοντα πράττοι ἂν καὶ περὶ θεοὺς καὶ περὶ ἀνθρώπους·
οὐ γὰρ ἂν σωφρονοῖ τὰ μὴ προσήκοντα πράττων.-Ἀνάγκη
ταῦτ' εἶνε οὕτως. - Καὶ μὴν περὶ μὲν ἀνθρώπους τὰ προσή- B
κοντα πράττων δίκαι' ἂν πράττοι, περὶ δὲ θεοὺς ὅσια· τὸν
δὲ τὰ δίκαια καὶ ὅσια πράττοντα ἀνάγκη δίκαιον καὶ ὅσιον
εἶναι. - Ἔστι ταῦτα. - Καὶ μὲν δὴ καὶ ἀνδρεῖόν γε ἀνάγκη·
οὐ γὰρ δὴ σώφρονος ἀνδρός ἐστιν οὔτε διώκειν οὔτε φεύ-
γειν ἃ μὴ προσήκει, ἀλλ' ἃ δεῖ καὶ πράγματα καὶ ἀνθρώ-
πους καὶ ἡδονὰς καὶ λύπας φεύγειν καὶ διώκειν, καὶ ὑπο-
μένοντα καρτερεῖν ὅπου δεῖ. ὥςτε πολλὴ ἀνάγκη, ὦ Καλ- C
λίκλεις, τὸν σώφρονα, ὥςπερ διήλθομεν, δίκαιον ὄντα καὶ
ἀνδρεῖον καὶ ὅσιον, ἀγαθὸν ἄνδρα εἶναι τελέως. τὸν δὲ
ἀγαθὸν εὖ τε καὶ καλῶς πράττειν ἃ ἂν πράττῃ, τὸν δ'
εὖ πράττοντα μακάριόν τε καὶ εὐδαίμονα εἶναι, τὸν δὲ πο-
νηρὸν καὶ κακῶς πράττοντα ἄθλιον· οὗτος δ' ἂν εἴη ὁ ἐναν-
τίως ἔχων τῷ σώφρονι, ὁ ἀκόλαστος, ὃν σὺ ἐπῄνεις.

ΞΓ'. Ἐγὼ μὲν οὖν ταῦτα οὕτω τίθεμαι καὶ φημὶ ταῦτα
ἀληθῆ εἶναι. εἰ δὲ ἔστιν ἀληθῆ, τὸν βουλόμενον, ὡς ἔοι-
κεν, εὐδαίμονα εἶναι σωφροσύνην μὲν διωκτέον καὶ ἀσκη- D
τέον, ἀκολασίαν δὲ φευκτέον ὡς ἔχει ποδῶν ἕκαστος ἡμῶν.

1 *ἦν δὲ αὕτη* = ἐφαίνετο ἐν τοῖς ἔμπροσθεν οὖσα.

10 *ἀλλ' ἃ δεῖ*. Συμπλήρου ὧδε· «ἀλλὰ φεύγειν καὶ διώκειν καὶ πράγματα καὶ ἀνθρώπους καὶ ἡδονὰς καὶ λύπας, ἃ δεῖ (φεύγειν καὶ διώκειν), καὶ ὑπομένοντα καρτερεῖν ὅπου δεῖ (ὑπομένοντα καρτερεῖν)».

15 *εὖ τε καὶ καλῶς πράττειν ἃ ἂν πράττῃ*. Ἀπὸ τοῦ μεταβατικοῦ τούτου *εὖ πράττειν* μεταβαίνει εἰς τὸ ἀμετάβατον *τὸν δὲ εὖ πράττοντα μακάριόν τε* κ.τ.λ. Εὐλόγως· διότι ὁ πράττων εὖ, δηλ. ὀρθῶς καὶ καλῶς, ὅ τι ἐπιχειρεῖ, οὗτος καὶ εὖ πράττει δηλ. εὐδαιμονεῖ. Ἐν τῇ εὐπραξίᾳ ἡ εὐπραγία! Αὕτη εἶνε ἡ γνώμη καὶ Πλάτωνος καὶ Ἀριστοτέλους. Χαρμίδ. 171-172, Ἀριστ. Ἠθ. Νικ. Α', 8-9.

19 *οὕτω τίθεμαι* = ἀποφαίνομαι οὕτως ἔχοντα.

20 *τὸν βουλόμενον—διωκτέον*. Ἀντὶ τοῦ συνηθεστέρου, δοτικῆς προσωπικῆς ἔθηκε τὸ σπανιώτερον, αἰτιατ. ὡς τὸ ὑποκ. τοῦ ἐν τῷ διωκτέον κειμένου ἀπαρεμφ. *διώκειν*. Ἔπιθι ὑποσημ. εἰς σελ. 480 e.

22 *ὡς ἔχει ποδῶν* = ὡς ἔχει κατὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ παρασκευαστέον μάλιστα μὲν μηδὲν δεῖσθαι τοῦ κολάζεσθαι, ἐὰν δὲ δεηθῇ ἢ αὐτὸς ἢ ἄλλος τις τῶν οἰκείων, ἢ ἰδιώτης ἢ πόλις, ἐπιθετέον δίκην καὶ κολαστέον, εἰ μέλλει εὐδαίμων εἶναι. οὗτος ἔμοιγε δοκεῖ ὁ σκοπὸς εἶναι, πρὸς ὃν βλέποντα δεῖ ζῆν, καὶ πάντα εἰς τοῦτο καὶ τὰ αὑτοῦ συντείνοντα καὶ τὰ τῆς πόλεως, ὅπως δικαιοσύνη παρέσται
E καὶ σωφροσύνη τῷ μακαρίῳ μέλλοντι ἔσεσθαι, οὕτω πράττειν, οὐκ ἐπιθυμίας ἐῶντα ἀκολάστους εἶναι καὶ ταύτας ἐπιχειροῦντα πληροῦν, ἀνήνυτον κακόν, λῃστοῦ βίον ζῶντα. οὔτε γὰρ ἂν ἄλλῳ ἀνθρώπῳ προσφιλὴς ἂν εἴη ὁ τοιοῦτος οὔτε θεῷ· κοινωνεῖν γὰρ ἀδύνατος· ὅτῳ δὲ μὴ ἔνι κοινωνία, φιλία οὐκ ἂν εἴη. φασὶ δ' οἱ σοφοί, ὦ Καλλίκλεις, καὶ οὐ-
508 ρανὸν καὶ γῆν καὶ θεοὺς καὶ ἀνθρώπους τὴν κοινωνίαν συν-

τούς πόδας δηλ. κατά τὴν δύναμιν καὶ ταχύτητα τῶν ποδῶν· ὅπως ἢ ὅσον βαστοῦν τὰ πόδια του. Περὶ τῆς γεν. τοῦ κατά τι πρβλ. σελ. 470 e, καὶ 451 c. Ἐνταῦθα τὸ *ὡς ἔχει ποδῶν* κεῖται μεταφορικῶς· κυριολεκτικῶς δὲ παρ' Ἡροδ. Ϛ', 116· «Ἀθηναῖοι δέ, ὡς ποδῶν εἶχον, τάχιστα ἐβοήθεον ἐς τὸ ἄστυ καὶ ἔφθασαν ἀπικόμενοι πρὶν ἢ τοὺς βαρβάρους ἥκειν».

3 ***ἐπιθετέον δίκην καὶ κολαστέον.*** Ὑποκείμενον μὲν εἶνε τὸ τινὰ ἢ τὸν δικαστήν, ἀντικείμενον δὲ τὸ τέως ὑποκ. δηλ. τῷ βουλομένῳ ἢ τὸν βουλόμενον εὐδαίμονα εἶναι.

4 *Οὗτος ἔμοι γε.* Ὅρα πρβλ.

5 *συντείνοντα.* Ὑποκ. *τὸν βουλόμενον εὐδαίμονα εἶναι.* Συντείνω πάντα εἴς τι = συνάγων ἢ συγκεντρῶν ὁμοῦ πάντα κατατείνω ἢ κατευθύνω αὐτὰ πρὸς ἕνα σκοπόν. Τὸ *συντείνειν εἴς τι* διαφέρει τοῦ *βλέπειν πρός τι*, καθότι τοῦτο μὲν σημαίνει τρέπειν τὴν ὄψιν (εἴτε τὴν τοῦ σώματος εἴτε τὴν τῆς διανοίας) πρός τι ὡς πρὸς σκοπὸν ἢ παράδειγμα· ἐκεῖνο δέ, τρέπω αὐτὴν τὴν ἐνέργειάν μου ἢ τὴν πρᾶξίν μου πρὸς ἐπίτευξιν τοῦ σκοποῦ ἢ ἐκτέλεσιν τοῦ παραδείγματος. Διὰ τοῦτο καὶ τίθενται ἐκ παραλλήλου ὡς συμπληροῦντα ἄλληλα, ὅπως ἐνταῦθα, καὶ Νόμ. 903 c· «ὧν ἓν καὶ τὸ σὸν μόριον εἰς τὸ πᾶν ξυντείνει βλέπον ἀεί».

9 ***ἀνήνυτον κακόν.*** Ἐπεξηγ. τοῦ πληροῦν, ἀντικείμενον ἄρα τοῦ ἐπιχειροῦντα.

***λῃστοῦ βίον ζῶντα.*** Ἐπεξηγ. τοῦ ***ἐῶντα καὶ ἐπιχειροῦντα.*** Τί θέλει ὁ λῃστὴς ἐνταῦθα; Λέγομεν· ὅπως ὁ λῃστὴς δὲν γνωρίζει νόμον καὶ τάξιν, οὕτω καὶ ὁ ἀκόλαστος· καὶ ὅπως τὸν λῃστὴν πάντες ἀποτροπιάζονται καὶ οὐδεὶς ἔρχεται εἰς κοινωνίαν μετ' αὐτοῦ, οὕτω καὶ τὸν ἀκόλαστον πᾶς τις καχυπόπτως βλέπει καὶ ἀποφεύγει τὴν μετ' αὐτοῦ κοινωνίαν.

11 *ὅτῳ δὲ μὴ ἔνι κοινωνία.* Εἶχεν ἐν νῷ τὸ Πυθαγόρειον «τὰ τῶν φίλων κοινά» καὶ τὴν παροιμίαν «ἐν κοινωνίᾳ ἡ φιλία». Ἀριστ. Ἠθ. Νικ Θ', 11 καὶ 14.

12 *φασὶ δ' οἱ σοφοί.* Σχολ. «Σοφοὺς ἐνταῦθα τοὺς Πυθαγορείους φησί, καὶ διαφερόντως τὸν Ἐμπεδοκλέα, φάσκοντα τὴν φιλίαν ἑνοῦν τὸν σφαῖρον (καὶ) ἑνοποιὸν εἶναι».

ἔχειν καὶ φιλίαν καὶ κοσμιότητα καὶ σωφροσύνην καὶ δικαιότητα, καὶ τὸ ὅλον τοῦτο διὰ ταῦτα κόσμον καλοῦσιν, ὦ ἑταῖρε, οὐκ ἀκοσμίαν οὐδὲ ἀκολασίαν. σὺ δέ μοι δοκεῖς οὐ προσέχειν τὸν νοῦν τούτοις, καὶ ταῦτα σοφὸς ὤν, ἀλλὰ λέληθέ σε ὅτι ἡ ἰσότης ἡ γεωμετρικὴ καὶ ἐν θεοῖς καὶ ἐν ἀνθρώποις μέγα δύναται· σὺ δὲ πλεονεξίαν οἴει δεῖν ἀσκεῖν·

1 *δικαιότητα.* Ἀηθεστέρα ἡ λέξις ἀντὶ *δικαιοσύνην.* Φαίνεται ὅτι ἡ αὐτὴ λέξις ἔκειτο ἐν τῇ διατυπώσει τοῦ δόγματος ὑπὸ τοῦ σοφοῦ, περὶ οὗ ὁ λόγος. Τὴν μετεχειρίσθη τὸ δεύτερον ἐν Πρωταγ. 331 b «ὅτι ἤτοι ταὐτόν γέ ἐστι δικαιότης ὁσιότητι ἢ ὅ τι ὁμοιότατον», ἵνα, ὅπως ἀποφαίνει τὰς δύο ἐννοίας συγγενεστάτας, οὕτω καταστήσῃ καὶ τὰ ὀνόματα πάρισα.

2 *Τὸ ὅλον τοῦτο διὰ ταῦτα κόσμον καλοῦσιν.* Πρῶτος ὁ Πυθαγόρας λέγεται ὅτι ὠνόμασε τὸ σύμπαν κόσμον, ἀποβλέψας εἰς τὴν μεγαλοπρέπειαν τοῦ οὐρανοῦ καὶ τὴν τάξιν ἐν τῇ κινήσει τῶν οὐρανίων σωμάτων. Ἐδόξαζε δὲ καὶ ὅτι τὰ οὐράνια σώματα περιφερόμενα μετὰ τεραστίας ταχύτητος ἀπετέλουν τόνους, ὡς ἐγίνωσκεν ἐκ πείρας ὅτι πᾶν σῶμα κινούμενον ἐν τῷ ἀέρι μετὰ μεγάλης ταχύτητος ἐκπέμπει ἦχον. Τοὺς δὲ τόνους τῶν οὐρανίων σωμάτων ἐπίστευεν ἀποτελοῦντας ἁρμονίαν· ὁ δὲ ἄνθρωπος δὲν ἀντιλαμβάνεται αὐτῆς, διότι ἐγεννήθη ἐν αὐτῇ καὶ οὐδέποτε ἔπαυσε νὰ πλήττῃ τὰ ὦτά του.

5 *ἡ ἰσότης ἡ γεωμετρικὴ* κ. τ. λ. Σχολ. «τουτέστιν ἡ δικαιοσύνη· ταύτην δὲ τὴν γεωμετρικὴν ἀναλογίαν Διὸς κρίσιν ἐν Νόμοις ἐκάλεσεν, ὡς δι' αὐτῆς τῶν πάντων κεκριμένων τε καὶ ὡρισμένων». Τὸ χωρίον τῶν Νόμων εἶνε τὸ ἐν σελ. 757 b, ἔχον ὧδε· «Δυοῖν γὰρ ἰσοτήτοιν οὔσαιν, ὁμωνύμοιν μέν, ἔργῳ δὲ εἰς πολλὰ σχεδὸν ἐναντίαιν, τὴν μὲν ἑτέραν εἰς τὰς τιμὰς πᾶσα πόλις ἱκανὴ παραγαγεῖν καὶ πᾶς νομοθέτης, τὴν μέτρῳ ἴσην καὶ σταθμῷ καὶ ἀριθμῷ, κλήρῳ ἀπευθύνων εἰς τὰς διανομὰς αὐτήν. Τὴν δὲ ἀληθεστάτην καὶ ἀρίστην ἰσότητα οὐκέτι ῥᾴδιον παντὶ ἰδεῖν. Διὸς γὰρ δὴ κρίσις ἐστί, καὶ τοῖς ἀνθρώποις ἀεὶ σμικρὰ μὲν ἐπαρκεῖ, πᾶν δέ, ὅσον ἂν ἐπαρκέσῃ πόλεσιν ἢ καὶ ἰδιώταις, πάντ' ἀγαθὰ ἀπεργάζεται· τῷ μὲν γὰρ μείζονι πλείω, τῷ δ' ἐλάττονι σμικρότερα νέμει, μέτρια διδοῦσα καὶ πρὸς τὴν αὐτῶν φύσιν ἑκατέρῳ, καὶ δὴ καὶ τιμὰς μείζοσι μὲν πρὸς ἀρετὴν ἀεὶ μείζους, τοῖς δὲ τοὐναντίον ἔχουσιν ἀρετῆς τε καὶ παιδείας τὸ πρέπον ἑκατέροις ἀπονέμει κατὰ λόγον». Περὶ τούτου πραγματεύεται ἐκτενῶς καὶ Ἀριστ. Ἠθ. Νικ. Ε', 6, ὅστις καὶ ὀνομάζει τὴν γεωμετρικὴν ταύτην ἰσότητα διανεμητικὸν δίκαιον. Πρόκειται περὶ τῆς ἰσότητος ταύτης·

$$A : B :: \alpha : \beta$$

Ὅθεν $$\frac{A}{B} = \frac{\alpha}{\beta}$$

Δηλ. ὃν λόγον ἔχει ὁ A πρὸς τὸν B, τὸν αὐτὸν πρέπει νὰ ἔχῃ τὸ τῷ A ἀπονεμητέον α πρὸς τὸ τῷ B ἀπονεμητέον β. Ἂν ἡ ἀξία τοῦ A εἶνε τριπλασία τῆς τοῦ B, καὶ τὸ ποσὸν ἢ ἡ ἀξία τοῦ α πρέπει νὰ εἶνε τριπλασία τῆς τοῦ β.

6 *Σὺ δὲ πλεονεξίαν οἴει δεῖν ἀσκεῖν.* Ἀσκῶ τινα, καὶ ἀσκῶ τι. Τὸ μὲν *ἀσκῶ τινα* = γυμνάζω τινά. Νόμ. 804 d· «ἴσα καὶ θηλείας ἀσκεῖν δεῖν». Συνηθέστερον τὸ *ἀσκῶ τι* = ἔργῳ ἐπιτελῶ τι, θέτω εἰς ἐνέργειαν· ἀσκῶ τέχνην, ἀρετήν, δικαιοσύνην, σοφίαν, πλεονεξίαν, τὰ ἐρωτικὰ κ. τ. τ. Τὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γεωμετρίας γὰρ ἀμελεῖς. εἶεν· ἢ ἐξελεγκτέος δὴ οὗτος ὁ B λόγος ἡμῖν ἐστιν, ὡς οὐ δικαιοσύνης καὶ σωφροσύνης κτήσει εὐδαίμονες οἱ εὐδαίμονες, κακίας δὲ οἱ ἄθλιοι, ἢ εἰ οὗτος ἀληθής ἐστι, σκεπτέον τί τὰ συμβαίνοντα. τὰ πρόσθεν ἐκεῖνα, ὦ Καλλίκλεις, συμβαίνει πάντα, ἐφ' οἷς σύ με ἤρου, εἰ σπουδάζων λέγοιμι, λέγοντα ὅτι κατηγορητέον εἴη καὶ αὑτοῦ καὶ υἱέος καὶ ἑταίρου, ἐάν τι ἀδικῇ, καὶ τῇ ῥητορικῇ ἐπὶ τοῦτο χρηστέον· καὶ ἃ Πῶλον αἰσχύ- C νῃ ᾤου συγχωρεῖν, ἀληθῆ ἄρα ἦν, τὸ εἶναι τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι, ὅσῳπερ αἴσχιον, τοσούτῳ κάκιον· καὶ τὸν μέλλοντα ὀρθῶς ῥητορικὸν ἔσεσθαι δίκαιον ἄρα δεῖ εἶναι καὶ ἐπιστήμονα τῶν δικαίων, ὃ αὖ Γοργίαν ἔφη Πῶλος δι' αἰσχύνην ὁμολογῆσαι.

ΞΔ'. Τούτων δὲ οὕτως ἐχόντων, σκεψώμεθα τί ποτ' ἐστὶν ἃ σὺ ἐμοὶ ὀνειδίζεις· ἆρα καλῶς λέγεται ἢ οὔ, ὡς ἄρα ἐγὼ οὐχ οἷός τ' εἰμὶ βοηθῆσαι οὔτε ἐμαυτῷ οὔτε τῶν φίλων οὐδενὶ οὐδὲ τῶν οἰκείων, οὐδ' ἐκσῶσαι ἐκ τῶν μεγίστων κινδύνων, εἰμὶ δὲ ἐπὶ τῷ βουλομένῳ, ὥσπερ οἱ ἄ-

αὐτὰ καὶ παθητικῶς: *ἀσκεῖται ἀρετή*. Πολιτ. 551 a· *ἀσκεῖται δὲ τὸ ἀεὶ τιμώμενον*. Ὡς μέσης διαθέσεως ἀσκοῦμαι = ἀσκῶ ἐμαυτόν, δὲν τὸ μεταχειρίζεται ὁ Πλ., ἀντὶ τούτου δὲ τὸ *γυμνάζομαι*.

1 *γεωμετρίας γὰρ ἀμελεῖς* — καταφρονεῖς τῆς γεωμετρικῆς παιδεύσεως, τῆς ἐκ ταύτης διατάξεως καὶ διακοσμήσεως τῆς ἀνθρωπίνης ψυχῆς. Οἱ ἀρχαῖοι πᾶν μάθημα ἐλευθέριον ἐθεώρουν ὡς παίδευμα, καὶ ἡ μάθησις ἦτο παιδεία καὶ οἱ ἐπιστήμονες καὶ σοφοὶ ὠνομάζοντο οἱ πεπαιδευμένοι. Καὶ ἡ γεωμετρία ἄρα ἐμανθάνετο οὔτε πρὸς βιοποριστικὸν σκοπόν, οὔτε ὡς ψιλὴ γυμνασία τῆς διανοίας τοῦ ἀνθρώπου, ἀλλὰ μᾶλλον ὡς διαπλαστικὴ τοῦ ἤθους. Πρβλ. καὶ Πρωταγ. 312 b.

3 ***κακίας δέ***. Νόει ἀπὸ κοινοῦ τὸ ***κτήσει***. Πρὸς τὴν δικαιοσύνην καὶ σωφροσύνην, ὡς τὴν ὅλην ἀρετήν, ἀντιθέτει τὴν κακίαν.

4 ***τὰ πρόσθεν ἐκεῖνα***. Τὰ μετὰ Πώλου διαπερανθέντα σ. 480 ἑξ.

9 ***τὸ εἶναι τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι*** κ. τ. λ. Ἐπεξηγ. τοῦ ἅ.

15 *ἃ σὺ ἐμοὶ ὀνειδίζεις*· ἐν σ. 486.

18 *εἰμὶ δὲ ἐπὶ τῷ βουλομένῳ* κ.τ.λ. = εἶμαι εἰς τὸ χέρι παντὸς ὅστις θέλει νά με κακοποιήσῃ. Τὴν ὑπόταξιν καὶ ἐξάρτησιν πράγματός τινος ἢ ἀνθρώπου ἀσθενεστέρου ἐξ ἄλλου δυνατωτέρου ἐκφράζουσι συνήθως πᾶσαι αἱ γλῶσσαι καὶ ἡ ἀρχαία Ἑλληνικὴ διὰ τῆς *ὑπὸ* προθέσεως, ὡς δηλοῖ καὶ ἡ λέξις: *ὑποχείριος*. Παραδόξως δ' ἐκφράζουσιν αὐτὴν οἱ ἀρχαῖοι καὶ διὰ τῆς *ἐπὶ* προθ. εἰμὶ ἐπί τινι = εἰς τὴν διάθεσίν τινος, νά με κάμῃ ὅ τι θέλει. Ξνφ. Ἀναβ. Α'· «Βουλεύεται Κῦρος ὅπως μήποτε ἔτι ἔσται ἐπὶ τῷ ἀδελφῷ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τιμοι τοῦ ἐθέλοντος, ἄν τε τύπτειν βούληται, τὸ νεανικὸν D δὴ τοῦτο τοῦ σοῦ λόγου, ἐπὶ κόρρης, ἐάν τε χρήματα ἀφαιρεῖσθαι, ἐάν τε ἐκβάλλειν ἐκ τῆς πόλεως, ἐάν τε, τὸ ἔσχατον, ἀποκτεῖναι; καὶ οὕτω διακεῖσθαι πάντων δὴ αἴσχιστόν ἐστιν, ὡς ὁ σὸς λόγος. ὁ δὲ δὴ ἐμὸς ὅςτις πολλάκις μὲν ἤδη εἴρηται, οὐδὲν δὲ κωλύει καὶ ἔτι λέγεσθαι· οὔ φημι, ὦ Καλλίκλεις, τὸ τύπτεσθαι ἐπὶ κόρρης ἀδίκως αἴσχιστον E εἶναι, οὐδέ γε τὸ τέμνεσθαι οὔτε τὸ σῶμα τὸ ἐμὸν οὔτε τὸ βαλάντιον, ἀλλὰ τὸ τύπτειν καὶ ἐμὲ καὶ τὰ ἐμὰ ἀδίκως καὶ τέμνειν καὶ αἴσχιον καὶ κάκιον, καὶ κλέπτειν γε ἅμα καὶ ἀνδραποδίζεσθαι καὶ τοιχωρυχεῖν καὶ συλλήβδην ὁτιοῦν ἀδικεῖν καὶ ἐμὲ καὶ τὰ ἐμὰ τῷ ἀδικοῦντι καὶ κάκιον καὶ αἴσχιον εἶναι ἢ ἐμοὶ τῷ ἀδικουμένῳ. ταῦτα ἡμῖν ἄνω ἐκεῖ ἐν τοῖς πρόσθεν λόγοις οὕτω φανέντα, ὡς ἐγὼ λέγω, κα- 509 τέχεται καὶ δέδεται, καὶ εἰ ἀγροικότερόν τι εἰπεῖν ἐστι, σι-

κ. τ. λ.» Ἐφαντάζοντο τὸ ἀσθενέστερον ἐπικείμενον καὶ φερόμενον ὑπὸ τοῦ ἰσχυροτέρου, ὡς ἐπίκεινται καὶ φέρονται τὰ μικρὰ παιδία ὑπὸ τῶν ἐνηλίκων καὶ διατίθενται κατὰ τὸ δοκοῦν τῷ φέροντι.

1 *Ὥςπερ οἱ ἄτιμοι τοῦ ἐθέλοντος.* Συμπλ. *εἰσί*. *Εἰμί τινος*, ὅ τι καὶ τὸ *εἰμὶ ἐπί τινι* = εἶμαι κτῆμα ἢ ἕρμαιον ἢ ἄθυρμά τινος. Πολιτικ. 307 e· «ὄντες τε ἀεὶ τῶν ἐπιτιθεμένων». Σοφ Οἰδ. Κ 751 «τηλικοῦτος (οὖσα), οὐ γάμων ἔγκληρος, ἀλλὰ τοὐπιόντος ἁρπάσαι». Οἱ ἄτιμοι ἐνταῦθά εἰσιν οἱ ἀποκεκηρυγμένοι ἔκ τινος κοινωνίας, οἱ ἐκτὸς τῶν νόμων τεθειμένοι, οὓς ἠδύνατο πᾶς τις ἀδεῶς νὰ ὑβρίζῃ καὶ προπηλακίζῃ, μὴ δυναμένους νὰ καταφύγωσιν εἰς τὰ δικαστήρια ἵνα λάβωσι δίκην.

*τὸ νεανικὸν δὴ τοῦτο τοῦ σοῦ λόγου.* Ἐξυπάκουε: ποιεῖν δηλαδὴ τὸ νεανικὸν κ.τ.λ. Τὸ ***νεανικὸν*** ἄρα πτώσεως αἰτιατ. Τὸ νεανικὸν ἐνταῦθα κεῖται ἀμφιρρόπως πρός τε τὸ ἐπαινετὸν = τὸ γενναῖον, τὸ μεγαλοπρεπές, καὶ πρὸς τὸ ψεκτὸν = τὸ ὑβριστικόν, τὸ ὑπερφίαλον.

3 *τὸ ἔσχατον.* Ὡς καὶ τὸ ***νεανικὸν*** πτώσ. αἰτιατ.

5 *ὡς ὁ σὸς λόγος.* Ἐξυπάκουε· *λέγει ἢ σημαίνει.*

*ὁ δὲ δὴ ἐμὸς* κ.τ.λ. Συμπλήρου: *ἔστιν ὅδε ἢ λέγει τάδε.*

*ὅςτις.* Καταχρηστικῶς ἀντὶ τοῦ *ὅς*. Θουκ. ΣΤ΄, 3· «Ἀπόλλωνος Ἀρχηγέτου βωμόν, ὅςτις νῦν ἔξω τῆς πόλεώς ἐστιν, ἱδρύσαντο, *ἐφ᾽ ᾧ* . . . πρῶτον θύουσι».

6 ***οὐδὲν δὲ κωλύει καὶ ἔτι λέγεσθαι*** — νὰ λέγηται καὶ πάλιν καὶ πολλάκις. Πρβλ. τὴν ἐν τοῖς ναοῖς εὐχήν: «*Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ κ.τ.λ.*»

13 ***Ἄνω ἐκεῖ ἐν τοῖς πρόσθεν λόγοις.*** Τρεῖς τοπικοὶ προσδιορισμοὶ τοῦ αὐτοῦ τόπου, τεκμηριοῦντες τὴν περιπάθειαν μεθ᾽ ἧς λέγει ταῦτα ὁ Σωκ.

15 ***καὶ εἰ ἀγροικότερόν τι εἰπεῖν ἐστι.*** Τὸ ὑπάγροικον ὅπερ φοβεῖται ὁ Σωκ. κεῖται ἐν τῇ ὑπερβολῇ τῶν ἐκφράσεων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δηροῖς καὶ ἀδαμαντίνοις λόγοις, ὡς γοῦν ἂν δόξειεν οὑτωσί, οὓς σὺ εἰ μὴ λύσεις ἢ σοῦ τις νεανικώτερος, οὐχ οἷόν τε ἄλλως λέγοντα ἢ ὡς ἐγὼ νῦν λέγω καλῶς λέγειν· ἐπεὶ ἔμοιγε ὁ αὐτὸς λόγος ἐστὶν ἀεί, ὅτι ἐγὼ ταῦτα οὐκ οἶδα ὅπως ἔχει, ὅτι μέντοι ὧν ἐγὼ ἐντετύχηκα, ὥςπερ νῦν, οὐδεὶς οἷός τ' ἐστὶν ἄλλως λέγων μὴ οὐ καταγέλαστος εἶ-
B ναι. ἐγὼ μὲν οὖν αὖ τίθημι ταῦτα οὕτως ἔχειν· εἰ δὲ οὕτως ἔχει καὶ μέγιστον τῶν κακῶν ἐστιν ἡ ἀδικία τῷ ἀδικοῦντι καὶ ἔτι τούτου μεῖζον μεγίστου ὄντος, εἰ οἷόν τε, τὸ ἀδικοῦντα μὴ διδόναι δίκην, τίνα ἂν βοήθειαν μὴ δυνάμενος ἄνθρωπος βοηθεῖν ἑαυτῷ καταγέλαστος ἂν τῇ ἀληθείᾳ εἴη; ἆρ' οὐ ταύτην, ἥτις ἀποτρέψει τὴν μεγίστην ἡμῶν βλάβην; ἀλλὰ πολλὴ ἀνάγκη ταύτην εἶναι τὴν αἰσχίστην βοήθειαν, μὴ δύνασθαι βοηθεῖν μήτε αὑτῷ μήτε
C τοῖς αὑτοῦ φίλοις τε καὶ οἰκείοις, δευτέραν δὲ τὴν τοῦ δευτέρου κακοῦ καὶ τρίτην τὴν τοῦ τρίτου καὶ τἆλλα οὕτως, ὡς ἑκάστου κακοῦ μέγεθος πέφυκεν, οὕτω καὶ κάλλος τοῦ δυνατὸν εἶναι ἐφ' ἕκαστα βοηθεῖν καὶ αἰσχύνη τοῦ μή. ἆρα ἄλλως ἢ οὕτως ἔχει, ὦ Καλλίκλεις;

*σιδηροῖς καὶ ἀδαμαντίνοις λόγοις*· διότι οἱ ἄγροικοι συνήθως ἐνασμενίζουσιν εἰς τὰς ὑπερβολάς. Πρβλ. Ἀπολ. 32 d. Οἱ λόγοι δηλ. τὰ συμπερανθέντα καὶ ὁμολογηθέντα ὁμοιοῦνται πρὸς δεσμοὺς ἀρρήκτους. Ἀδαμάντινον ἐνταῦθα τὸ ἐκ χάλυβος βεβαμμένου, ἡ σκληροτάτη καὶ στερροτάτη τοῦ σιδήρου ἕξις. Διὰ τῶν ὑπερβολῶν τούτων ἀντεπεξέρχεται κατὰ τῶν ἐναντίων ὑπερβολῶν τοῦ Καλλ. ὅςτις ὑπελάμβανε τὰ τοιαῦτα εὐαπόσειστα καὶ εὐδιάρρηκτα καὶ εὐκαταπάτητα (σελ. 484 a)

1 *ὡς γοῦν ἂν δόξειεν οὑτωσὶ* = ὅπως τοὐλάχιστον θὰ τὰ ἔβλεπέ τις ἔτσι ἐκ πρώτης ὄψεως, ἄνευ ἀκριβεστέρας βασάνου. (Περὶ τοῦ *οὕτω* καὶ *οὑτωσὶ* πρβλ. σ. 456 a καὶ 506 d). Διὰ τούτων ὁ Σωκ. κολάζων τὴν ὑπερβολήν, ὑποσημαίνει ὅτι εἶνε ἐνδεχόμενον καὶ νὰ σφάλληται, καὶ νὰ λυθῶσιν ἢ νὰ ἀνασκευασθῶσι ταῦτα

2 *ἢ σοῦ τις νεανικώτερος*. Τὸ *νεανικώτερος* ἐνταῦθα εὐαρμοστεῖ πρὸς τὴν μεταφορικὴν χρῆσιν τῶν λέξεων *σιδηρῶν καὶ ἀδαμαντίνων λόγων* = ῥωμαλεώτερος σοῦ εἰς τὸ διαρρηγνύναι σιδηροῦς καὶ ἀδαμαντίνους δεσμούς.

5 *ὥςπερ νῦν*. Συμπλήρου: ἐντετύχηκα ὑμῖν.

13 *ἀλλὰ πολλὴ ἀνάγκη ταύτην εἶναι τὴν αἰσχίστην βοήθειαν*. Ὀξυμώρως, ἀντὶ *αἰσχίστην ἀβοηθησίαν*, λέγει τὸ μὴ δύνασθαι βοηθεῖν ἑαυτῷ καὶ τοῖς οἰκείοις ταύτην τὴν βοήθειαν ἥτις ἀποτρέψει τὸ μέγιστον κακόν· δευτέραν δὲ τῷ αἴσχει, τὸ μὴ δύνασθαι ἀποτρέπειν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΚΑΛ. Οὐκ ἄλλως.

ΞΕ΄. ΣΩ. Δυοῖν οὖν ὄντοιν, τοῦ ἀδικεῖν τε καὶ ἀδικεῖσθαι, μεῖζον μέν φαμεν κακὸν τὸ ἀδικεῖν, ἔλαττον δὲ τὸ ἀδικεῖσθαι. τί. οὖν ἂν παρασκευασάμενος ἄνθρωπος βοηθήσειεν αὑτῷ, ὥςτε ἀμφοτέρας τὰς ὠφελείας ταύτας ἔχειν, τήν τε ἀπὸ τοῦ μὴ ἀδικεῖν καὶ τὴν ἀπὸ τοῦ μὴ ἀδικεῖσθαι; D πότερα δύναμιν ἢ βούλησιν; ὧδε δὲ λέγω· πότερον ἐὰν μὴ βούληται ἀδικεῖσθαι, οὐκ ἀδικήσεται, ἢ ἐὰν δύναμιν παρασκευάσηται τοῦ μὴ ἀδικεῖσθαι; [οὐκ ἀδικήσεται;]

ΚΑΛ. Δῆλον δὴ τοῦτό γε, ὅτι ἐὰν δύναμιν.

ΣΩ. Τί δὲ δὴ τοῦ ἀδικεῖν; πότερον ἐὰν μὴ βούληται ἀδικεῖν, ἱκανὸν τοῦτ᾽ ἐστίν· — οὐ γὰρ ἀδικήσει· — ἢ καὶ ἐπὶ τοῦτο δεῖ δύναμίν τινα καὶ τέχνην παρασκευάσασθαι, ὡς, E ἐὰν μὴ μάθῃ αὐτὰ καὶ ἀσκήσῃ, ἀδικήσει; τί οὐκ αὐτό γέ μοι τοῦτο ἀπεκρίνω, ὦ Καλλίκλεις, πότερόν σοι δοκοῦμεν ὀρθῶς ἀναγκασθῆναι ὁμολογεῖν ἐν τοῖς ἔμπροσθεν λόγοις ἐγώ τε καὶ Πῶλος ἢ οὔ, ἡνίκα ὡμολογήσαμεν μηδένα βουλόμενον ἀδικεῖν, ἀλλ᾽ ἄκοντας τοὺς ἀδικοῦντας πάντας ἀδικεῖν;

ΚΑΛ. Ἔστω σοι τοῦτο, ὦ Σώκρατες, οὕτως, ἵνα δια- 510 περάνῃς τὸν λόγον.

ΣΩ. Καὶ ἐπὶ τοῦτο ἄρα, ὡς ἔοικε, παρασκευαστέον ἐστὶ δύναμίν τινα καὶ τέχνην, ὅπως μὴ ἀδικήσομεν.

---

τὸ δεύτερον τῷ μεγέθει κακόν· τρίτην δὲ τῷ αἴσχει, ἣν ὁ Καλλ. νομίζει πρωτίστην, τὸ μὴ δύνασθαι βοηθεῖν ἑαυτῷ ἀδικούμενον.

1 *Οὐκ ἄλλως.* Νῦν τὸ πρῶτον ὁ Καλλ. ὁμολογεῖ σαφῶς καὶ εἰλικρινῶς ὅτι προστίθεται τῇ γνώμῃ τοῦ Σωκ. ἀναιρῶν τὰ ἑαυτοῦ δόγματα.

11 *Τί δὲ δὴ τοῦ ἀδικεῖν;* Ἡ γεν. ἐτέθη καθ᾽ ὁμοίωσιν πρὸς τὸ προηγηθὲν *τοῦ μὴ ἀδικεῖσθαι*, ὡς νὰ εἶχε κατὰ νοῦν νὰ εἴπῃ: «ἐαν δὲ τί παρασκευάσηται τοῦ μὴ ἀδικεῖν, οὐκ ἀδικήσει; (ἐὰν δύναμιν, ἢ ἐὰν βούλησιν;)»

14 *ἐὰν μὴ μάθῃ αὐτὰ* = τὰ δίκαια καὶ τὰ ἄδικα, πῶς ἔχουσι, καὶ ἀσκήσῃ μὲν τὰ δίκαια, φύγῃ δὲ τὰ ἄδικα. Ὅρα πρκδλ.

*τί οὐκ αὐτό γέ μοι τοῦτο ἀπεκρίνω* κ. τ. λ. Ὁ τρόπος τῆς ἐρωτήσεως προδίδει τὸν διακαῆ πόθον τοῦ Σωκ. νὰ ἀκούσῃ καὶ τοῦ Καλλ. ὁμολογοῦντός τι ὅπερ ὑπολαμβάνει πάντων περισπουδαστότατον, ὅτι οὐδεὶς βουλόμενος, τουτέστιν ἑκών, κακουργεῖ, ἀλλὰ δι᾽ ἄγνοιαν τοῦ ἀγαθοῦ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Τίς οὖν ποτ' ἐστὶ τέχνη τῆς παρασκευῆς τοῦ μηδὲν ἀδικεῖσθαι ἢ ὡς ὀλίγιστα; σκέψαι εἴ σοι δοκεῖ ἧπερ ἐμοί. ἐμοὶ μὲν γὰρ δοκεῖ τῇδε· ἢ αὐτὸν ἄρχειν δεῖν ἐν τῇ πόλει ἢ καὶ τυραννεῖν, ἢ τῆς ὑπαρχούσης πολιτείας ἑταῖρον εἶναι.

B ΚΑΛ. Ὁρᾷς, ὦ Σώκρατες, ὡς ἐγὼ ἕτοιμός εἰμι ἐπαινεῖν, ἄν τι καλῶς λέγῃς; τοῦτό μοι δοκεῖς πάνυ καλῶς εἰρηκέναι.

ΞϚ'. ΣΩ. Σκόπει δὴ καὶ τόδε ἐάν σοι δοκῶ εὖ λέγειν. φίλος μοι δοκεῖ ἕκαστος ἑκάστῳ εἶναι ὡς οἷόν τε μάλιστα, ὅπερ οἱ παλαιοί τε καὶ σοφοὶ λέγουσιν, ὁ ὅμοιος τῷ ὁμοίῳ. οὐ καὶ σοί;

ΚΑΛ. Ἔμοιγε.

ΣΩ. Οὐκοῦν ὅπου τύραννός ἐστιν ἄρχων ἄγριος καὶ ἀπαίδευτος, εἴ τις τούτου ἐν τῇ πόλει πολὺ βελτίων εἴη, φοβοῖτο δήπου ἂν αὐτὸν ὁ τύραννος καὶ τούτῳ ἐξ ἅπαντος τοῦ νοῦ
C οὐκ ἄν ποτε δύναιτο φίλος γενέσθαι;

ΚΑΛ. Ἔστι ταῦτα.

ΣΩ. Οὐδέ γε εἴ τις πολὺ φαυλότερος εἴη, οὐδ' ἂν οὔ-

4 *ἢ αὐτὸν ἄρχειν — ἢ καὶ τυραννεῖν*. Τὸ μὲν ἄρχειν, κατὰ τοὺς κειμένους νόμους, τρόπον τινὰ συνταγματικῶς, ὁποῖοι ἄρχοντες ἦσαν οἱ βασιλεῖς τῆς Σπάρτης· τὸ δὲ τυραννεῖν, αὐτεξουσίως καθ' οὓς νόμους αὐτός ὁ τύραννος ἐπιβάλλει τοῖς ἀρχομένοις.

5 *ἑταῖρον εἶναι* = ὁμόφρονα, τοῦ αὐτοῦ κόμματος.

6 *Ὁρᾷς, ὦ Σώκ.* κ.τ.λ. Τὰ ἀνωτέρω ἐλέχθησαν θαυμασίως κατὰ γνώμην τοῦ Καλλ., διὸ ἐκρήγνυται εἰς ἐπαίνους.

10 *Φίλος μοι δοκεῖ* κ. τ. λ. Σύμπλεκε ὧδε· Ἕκαστος (ὅμοιος) ἑκάστῳ (ὁμοίῳ) δοκεῖ μοι φίλος εἶναι ὡς οἷόν τε μάλιστα, ὅπερ οἱ παλαιοί τε καὶ σοφοὶ λέγουσιν «ὁ ὅμοιος τῷ ὁμοίῳ». Ὁμοίως ἐν Συμπ. 195 b. Λύσ. 214 b. Ὅμ. Ὀδ. Ρ. 218.
Νῦν πάγχυ κακὸς κακὸν ἡγηλάζει·
Ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν [ὁμοῖον!

16 *καὶ τούτῳ — οὐκ ἄν ποτε δύναιτο φίλος γενέσθαι*. *Τούτῳ* δηλ. τῷ τυράννῳ· *δύναιτο*, δηλ. ὁ βελτίων. Λάμβανε τὸ φίλος παθητικὸν = πεφιλημένος τούτῳ (τῷ τυράννῳ)· οὐκ ἄν ποτε φιληθείη ὑπὸ τοῦ τυράννου ἐξ ἅπαντος τοῦ νοῦ (τοῦ τυράννου).

*ἐξ ἅπαντος τοῦ νοῦ*. Δηλ. ἄνευ ἐνδοιασμοῦ ἢ ὑποψίας· μὲ τὰ σωστά του. Πρβλ. τὸ τῆς Γραφῆς· «Ἀγαπήσεις Κύριον τὸν Θεόν σου... ἐξ ὅλης τῆς διανοίας σου».

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τος· καταφρονοῖ γὰρ ἂν αὐτοῦ ὁ τύραννος καὶ οὐκ ἄν ποτε ὡς πρὸς φίλον σπουδάσειεν.

ΚΑΛ. Καὶ ταῦτ' ἀληθῆ.

ΣΩ. Λείπεται δὴ ἐκεῖνος μόνος ἄξιος λόγου φίλος τῷ τοιούτῳ, ὃς ἂν ὁμοήθης ὤν, ταὐτὰ ψέγων καὶ ἐπαινῶν, ἐθέλῃ ἄρχεσθαι καὶ ὑποκεῖσθαι τῷ ἄρχοντι. οὗτος μέγα ἐν ταύτῃ τῇ πόλει δυνήσεται, τοῦτον οὐδεὶς χαίρων ἀδική- D σει. οὐχ οὕτως ἔχει;

ΚΑΛ. Ναί.

ΣΩ. Εἰ ἄρα τις ἐννοήσειεν ἐν ταύτῃ τῇ πόλει τῶν νέων, τίνα ἂν τρόπον ἐγὼ μέγα δυναίμην καὶ μηδείς με ἀδικοίη, αὕτη, ὡς ἔοικεν, αὐτῷ ὁδός ἐστιν, εὐθὺς ἐκ νέου ἐθίζειν αὐτὸν τοῖς αὐτοῖς χαίρειν καὶ ἄχθεσθαι τῷ δεσπότῃ, καὶ παρασκευάζειν ὅπως ὅ τι μάλιστα ὅμοιος ἔσται ἐκείνῳ. οὐχ οὕτως;

ΚΑΛ. Ναί.

ΣΩ. Οὐκοῦν τούτῳ τὸ μὲν μὴ ἀδικεῖσθαι καὶ μέγα δύ- E νασθαι, ὡς ὁ ἡμέτερος λόγος, ἐν τῇ πόλει διαπεπράξεται.

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Ἆρ' οὖν καὶ τὸ μὴ ἀδικεῖν; ἢ πολλοῦ δεῖ, εἴπερ ὅμοιος ἔσται τῷ ἄρχοντι ὄντι ἀδίκῳ, καὶ παρὰ τούτῳ μέγα δυνήσεται; ἀλλ' οἶμαι ἔγωγε, πᾶν τοὐναντίον οὑτωσὶ ἡ παρασκευὴ ἔσται αὐτῷ ἐπὶ τὸ οἵῳ τε εἶναι ὡς πλεῖστα ἀδικεῖν καὶ ἀδικοῦντα μὴ διδόναι δίκην· ἢ γάρ;

ΚΑΛ. Φαίνεται.

10 *Εἰ ἄρα τις ἐννοήσειε τῶν νέων.* Τὸ *ἐννοῶ* = σκέπτομαι, συλλογίζομαι 481 d *λέγω δ' ἐννοήσας*. Λουκ. Ἐνύπν. *τὴν νύχθ' ὅλην ἐννοῶν.*

11 *Τίνα ἂν τρόπον* κ. τ. λ. Εὐθεῖα ἐρώτησις ἀντὶ πλαγίας· ὅπως θὰ τὰ ἔλεγε καθ' ἑαυτὸν ὁ νέος.

12 *αὕτη, ὡς ἔοικεν, αὐτῷ ὁδός ἐστι.* Εἶνε ἡ ἀπόδοσις τῆς ὑποθέσεως κατὰ τύπον, ἐν ᾧ κατ' οὐσίαν εἶνε εἰδικὸς λόγος ἐξαρτώμενος ἐκ τοῦ παραλειπομένου ῥήματος τῆς ἀποδόσεως: «*εὕροι ἄν, γνοίη ἂν*» κ. τ. τ. Τὸ *αὕτη* (ἀντὶ *τοῦτο* καθ' ἕλξιν συνηθεστάτην) ὑποκ. τοῦ ἐστίν, ὁδὸς κατηγ. Συμπλήρου: ὁδὸς ἐπὶ τὸ μέγα δύνασθαι καὶ μὴ ἀδικεῖσθαι. Τά: *εὐθὺς ἐκ νέου ἐθίζειν* ἐπεξηγ. τοῦ *αὕτη*, ὁμοίως ἄρα ὑποκείμ. τῆς προτ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

511 ΣΩ. Οὐκοῦν τὸ μέγιστον αὐτῷ κακὸν ὑπάρξει μοχθηρῷ ὄντι τὴν ψυχὴν καὶ λελωβημένῳ διὰ τὴν μίμησιν τοῦ δεσπότου καὶ δύναμιν.

ΚΑΛ. Οὐκ οἶδ' ὅπῃ στρέφεις ἑκάστοτε τοὺς λόγους ἄνω καὶ κάτω, ὦ Σώκρατες· ἢ οὐκ οἶσθα ὅτι οὗτος ὁ μιμούμενος τὸν μὴ μιμούμενον ἐκεῖνον ἀποκτενεῖ, ἐὰν βούληται, καὶ ἀφαιρήσεται τὰ ὄντα;

B ΣΩ Οἶδα, ὦ 'γαθὲ Καλλίκλεις, εἰ μὴ κωφός γ' εἰμί, καὶ σοῦ ἀκούων καὶ Πώλου ἄρτι πολλάκις καὶ τῶν ἄλλων ὀλίγου πάντων τῶν ἐν τῇ πόλει· ἀλλὰ καὶ σὺ ἐμοῦ ἄκουε, ὅτι ἀποκτενεῖ μέν, ἂν βούληται, ἀλλὰ πονηρὸς ὢν καλὸν κἀγαθὸν ὄντα.

ΚΑΛ. Οὐκοῦν τοῦτο δὴ καὶ τὸ ἀγανακτητόν!

ΣΩ. Οὐ νοῦν γε ἔχοντι, ὡς ὁ λόγος σημαίνει. ἢ οἴει δεῖν τοῦτο παρασκευάζεσθαι ἄνθρωπον, ὡς πλεῖστον χρόνον ζῆν, καὶ μελετᾶν τὰς τέχνας ταύτας, αἳ ἡμᾶς ἀεὶ ἐκ
C τῶν κινδύνων σῴζουσιν, ὥσπερ καὶ ἣν σὺ κελεύεις ἐμὲ μελετᾶν τὴν ῥητορικὴν τὴν ἐν τοῖς δικαστηρίοις διασῴζουσαν;

ΚΑΛ. Ναὶ μὰ Δί' ὀρθῶς γέ σοι κελεύων.

1 *Οὐκοῦν τὸ μέγιστον αὐτῷ κακόν.* Εἶνε τὸ συμπέρασμα τὸ προκῦψαν ἐκ τῆς θέσεως τοῦ Σωκ. τοῦ εἶναί τινα ἑταῖρον τῆς ὑπαρχούσης πολιτείας, ἥτις ἤρεσε τῷ Καλλ. Τὸ συμπέρασμα τοῦτο δὲν εἶνε λίαν ζηλωτόν· σῴζεται μὲν ὁ τοιοῦτος ὑπὸ τοῦ ἀδικεῖσθαι, λαμβάνει δὲ τὸ μέγιστον κακόν, τὴν δύναμιν τοῦ ἀδικεῖν καὶ μὴ διδόναι δίκην.

4 *Οὐκ οἶδ' ὅπῃ στρέφεις* κ. τ. λ. Ὁ Καλλ. ἵσταται μετέωρος μεταξὺ ἐναντίων ἕλξεων. Ὁ μὲν λόγος αἱρεῖ ὅτι οὕτως ἔχουσι τὰ τῆς εὐδαιμονίας καὶ ἀθλιότητος τοῦ ἀνθρώπου, ὡς ἀπέδειξεν αὐτῷ ὁ Σωκ., αἱ δὲ πρακτικαὶ ἀρχαὶ ἃς ἐδιδάχθη καὶ ἠσπάζετο καὶ ἡ πεῖρα τῶν ἀνθρωπίνων πραγμάτων ἕλκουσιν αὐτὸν πρὸς τὴν ἐναντίαν δόξαν. Δὲν ἐπανέρχεται μὲν εἰς τὸ παλαιὸν δόγμα του, ὅτι ἡ πλεονεξία καὶ ἡ ἀκολασία εἶνε ἀρετὴ καὶ εὐδαιμονία τοῦ ἀνθρώπου· ἀλλὰ τὴν ἐν τῇ πόλει δύναμιν θεωρεῖ ὡς ἀναγκαίαν, ἵνα σῴζηται ἀπὸ τῶν κινδύνων οὓς κινδυνεύει ὁ ἀκέραιος καὶ ἀνεξάρτητος καὶ πρὸς ἠθικὰς ἀρχὰς ῥυθμίζων τὸν βίον του ἀνὴρ παρὰ τῶν φαύλων, τῶν δουλοπρεπῶν, τῶν θεραπευόντων τὴν ἀεὶ καθεστῶσαν ἀρχήν, ἄν τε ἀγαθὴ ἄν τε φαύλη τυγχάνῃ οὖσα.

14 *ὡς ὁ λόγος σημαίνει·* ὁ ἄρτι διαπερανθείς, ὁ ἀποφαίνων τὸ ἀδικεῖσθαι ἐλάχιστον, τὸ δὲ ἀδικεῖν μέγιστον κακόν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΞΖ'. ΣΩ. Τί δέ, ὦ βέλτιστε; ἦ καὶ ἡ τοῦ νεῖν ἐπιστήμη σεμνή τίς σοι δοκεῖ εἶναι;

ΚΑΛ. Μὰ Δί' οὐκ ἔμοιγε.

ΣΩ. Καὶ μὴν σώζει γε καὶ αὕτη ἐκ θανάτου τοὺς ἀνθρώπους, ὅταν εἰς τοιοῦτον ἐμπέσωσιν, οὗ δεῖ ταύτης τῆς ἐπιστήμης. εἰ δ' αὕτη σοι δοκεῖ σμικρὰ εἶναι, ἐγώ σοι μείζονα ταύτης ἐρῶ, τὴν κυβερνητικήν, ἣ οὐ μόνον τὰς ψυχὰς D σώζει, ἀλλὰ καὶ τὰ σώματα καὶ τὰ χρήματα ἐκ τῶν ἐσχάτων κινδύνων, ὥςπερ ἡ ῥητορική· καὶ αὕτη μὲν προσεσταλμένη ἐστὶ καὶ κοσμία, καὶ οὐ σεμνύνεται ἐσχηματισμένη ὡς ὑπερήφανόν τι διαπραττομένη, ἀλλὰ ταὐτὰ διαπραξαμένη τῇ δικανικῇ, ἐὰν μὲν ἐξ Αἰγίνης δεῦρο σώσῃ, οἶμαι, δύ' ὀβολοὺς ἐπράξατο, ἐὰν δὲ ἐξ Αἰγύπτου ἢ ἐκ τοῦ Πόντου, ἐὰν πάμπολυ, ταύτης τῆς μεγάλης εὐεργεσίας, σώσασ' ἃ νῦν δὴ ἔλεγον, καὶ αὐτὸν καὶ παῖδας καὶ χρήματα E καὶ γυναῖκας, ἀποβιβάσασ' εἰς τὸν λιμένα, δύο δραχ-

5 *ὅταν εἰς τοιοῦτον ἐμπέσωσιν* = εἰς τοιοῦτον θάνατον. Ὅρ. πρχβλ.

8 *ἀλλὰ καὶ τὰ σώματα*. Σώματα νοεῖ ἐνταῦθα τὰ δουλικά, τὰ ἀνδράποδα. Ὅρ. πρχβλ.

9 *Καὶ αὕτη μέν*. Προσωποποίησις τῆς κυβερνητικῆς.

*προσεσταλμένη ἐστὶ καὶ κοσμία*. Τὸ μὲν *προσεσταλμένη* κυρίως περὶ τοῦ ἱματισμοῦ = συμμαζευμένη, περιτετυλιγμένη, ἰδίως τὰς χεῖρας ἐντὸς τοῦ ἱματίου κατέχουσα καὶ μὴ ἐξωμίζουσα (= ξαμώνουσα)· τὸ δὲ *κοσμία* περὶ τοῦ σχηματισμοῦ τοῦ προσώπου καὶ τῆς στάσεως ἢ βαδίσεως.

10 *οὐ σεμνύνεται ἐσχηματισμένη* = δὲν λαμβάνει σεμνὸν (ὑπερήφανον) σχῆμα, ὡς νὰ κατορθώνῃ κἄτι τι μέγα καὶ λαμπρόν. Ἡ λέξις *ὑπερήφανος*, ἰδίως ὡς προσδιορισμὸς πράγματος, (ὑπερήφανον ἔργον), λέγεται ἐν ἐπαίνῳ συχνότερον. Συμπ. 217 e· «Ἔπειτα ἀφανίσαι (= ἀφανὲς ποιῆσαι, ἀποσιωπῆσαι) Σωκράτους ἔργον ὑπερήφανον, εἰς ἔπαινον ἐλθόντα, ἄδικόν μοι φαίνεται».

12 *τῇ δικανικῇ* = τῇ περὶ τὰς δίκας ῥητορικῇ.

13 *οἶμαι, δύ' ὀβολοὺς ἐπράξατο*. Τὸ *πράττομαι* = εἰσπράττω ἢ λαμβάνω χρήματα, ὡς τίμημα, μισθόν, ὀφειλὴν κ.τ.τ. Ἀπολ. 31 c· «ὡς ἐγώ τινα ἢ ἐπραξάμην μισθὸν ἢ ᾔτησα». Πρωταγ. 328 b· «ἐπειδὰν γάρ τις παρ' ἐμοῦ μάθῃ, ἐὰν μὲν βούληται, ἀπέδωκεν ὃ ἐγὼ πράττομαι ἀργύριον». Περὶ τοῦ ἀορ. *ἐπράξατο* ἔπιθι τὰ ἐν σελ. 484 b σεσημειωμένα. Οἱ δύο ὀβολοὶ ἦσαν τὸ τρίτον τῆς δραχμῆς, συγκειμένης ἐξ ὀβολῶν ἕξ. Ἡ Ἀττ. δραχμὴ κατὰ μὲν τὸ ποσὸν τοῦ ἀργύρου ἦτο περίπου ἴση τῇ σημερινῇ, κατὰ δὲ τὴν ἀξίαν τετραπλασία.

14 *ἐὰν πάμπολυ* κ.τ.λ. Συμπλήρου: ἐὰν πάμπολυ πράττηται (ἀντὶ) ταύτης τῆς μεγάλης εὐεργεσίας. Πάμπολυ =



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μας ἐπράξατο, καὶ αὐτὸς ὁ ἔχων τὴν τέχνην καὶ ταῦτα διαπραξάμενος ἐκβὰς παρὰ τὴν θάλατταν καὶ τὴν ναῦν περιπατεῖ ἐν μετρίῳ σχήματι. λογίζεσθαι γάρ, οἶμαι, ἐπίσταται ὅτι ἄδηλόν ἐστιν οὕστινάς τε ὠφέληκε τῶν συμπλεόντων οὐκ ἐάσας καταποντωθῆναι καὶ οὕστινας ἔβλαψεν, εἰδὼς ὅτι οὐδὲν αὐτοὺς βελτίους ἐξεβίβασεν ἢ οἷοι ἐνέβησαν,
512 οὔτε τὰ σώματα οὔτε τὰς ψυχάς. λογίζεται οὖν ὅτι οὐκ, εἰ μέν τις μεγάλοις καὶ ἀνιάτοις νοσήμασι κατὰ τὸ σῶμα συνεχόμενος μὴ ἀπεπνίγη, οὗτος μὲν ἄθλιός ἐστιν ὅτι οὐκ ἀπέθανε, καὶ οὐδὲν ὑπ᾽ αὐτοῦ ὠφέληται· εἰ δέ τις ἄρα ἐν τῷ τοῦ σώματος τιμιωτέρῳ, τῇ ψυχῇ, πολλὰ νοσήματα ἔχει καὶ ἀνίατα, τούτῳ δὲ βιωτέον ἐστὶ καὶ τοῦτον ὀνήσειεν, ἄν τε ἐκ θαλάττης ἄν τε ἐκ δικαστηρίου ἄν τε ἄλλοθεν ὁποθενοῦν σώσῃ, ἀλλ᾽ οἶδεν ὅτι οὐκ ἄμεινόν ἐστι ζῆν
B τῷ μοχθηρῷ ἀνθρώπῳ· κακῶς γὰρ ἀνάγκη ἐστὶ ζῆν.

ΞΗ΄. Διὰ ταῦτα οὐ νόμος ἐστὶ σεμνύνεσθαι τὸν κυβερ-

τὸ πολὺ πολύ, τὸν ἀνώτατον ὅρον τοῦ ναύλου. Πρβλ. Ἀπολ. 26 d· «εἰ πάνυ πολλοῦ, δραχμῆς».

1 *ὁ ἔχων τὴν τέχνην* = τὴν σωστικὴν ταύτην τέχνην, ὁ κυβερνήτης. Ὁρίζει αὐτὸν οὐχὶ διὰ τοῦ οἰκείου ὀνόματος, ἀλλὰ διὰ τῆς τέχνης του, τῆς κατορθούσης τοιοῦτον ἀγαθόν, ἵνα αὐξήσῃ τὴν ἀντίθεσιν τοῦ μεγέθους τοῦ κατορθώματός του πρὸς τὴν μετριοφροσύνην τοῦ κυβερνήτου.

3 *λογίζεσθαι γάρ, οἶμαι, ἐπίσταται.* Βεβαίως ὁ κυβερνήτης οὔτε ἐπίσταται οὔτε ὄρεξιν ἔχει νὰ κάμῃ τοιούτους φιλοσοφικοὺς λογισμούς· ἀλλ᾽ ὁ Σωκ. ἐμβάλλει τοὺς ἑαυτοῦ εἰς τὴν τοῦ κυβερνήτου κεφαλήν, καὶ οὐδὲ κἂν λόγον ἔχει τοῦ πιθανοῦ· διότι προϊὼν λέγει περὶ αὐτοῦ τοῦ κυβερνήτου: «καὶ τοῦτον ὀνήσειεν, ἐάν τε ἐκ θαλάττης ἐάν τε ἐκ δικαστηρίου, ἐάν τε ἄλλοθεν ὁποθενοῦν σώσῃ». Ἀλλὰ ποῦ ἠκούσθη ὅτι ὁ κυβερνήτης σώζει καὶ ἐκ δικαστηρίου; Ἐνταῦθα ὁ λόγος τοῦ Σωκ. ἀποβαίνει σφοδρός, τρόπον τινὰ χειμαρρώδης· καὶ ὡς ὁ χείμαρρος ὑπερπηδᾷ τὰ φυσικὰ ὅρια τῆς κοίτης του, οὕτω καὶ ὁ λόγος τοῦ Σωκ. ὑπερπηδᾷ τὰ ὅρια τοῦ πιθανοῦ καὶ ἐκπίπτει ἀπὸ τῆς εἰκόνος ἐπὶ τὸ εἰκονιζόμενον.

5 *οὐκ ἐάσας καταποντωθῆναι.* Ἡ αὐτὴ ἀπιθανότης· ὁ κυβερνήτης οὔτε θέλει οὔτε δύναται τινὰς μὲν νὰ σώσῃ, τινὰς δὲ νὰ ἀφήσῃ νὰ καταποντωθῶσιν.

7 *λογίζεται οὖν ὅτι οὐκ, εἰ μέν... οὗτος μὲν ἄθλιός ἐστιν· εἰ δέ... τούτῳ δὲ βιωτέον ἐστί.* Περὶ τῆς συντάξεως καὶ τοῦ νοήματος ἔπιθι ὑποσημ. εἰς Ἀπολ. 28 e.

12 *καὶ τοῦτον ὀνήσειεν.* Περὶ τῆς εὐκτ. ὅρα πρκβλ.

16 *Διὰ ταῦτα οὐ νόμος ἐστὶν* = οὐ νομίζεται· δὲν εἶνε καθεστώς, δὲν συνειθίζεται νὰ ὑπερηφανεύηται ὁ κυβερνήτης.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νήτην, καίπερ σώζοντα ἡμᾶς· οὐδέ γε, ὦ θαυμάσιε, τὸν
μηχανοποιόν, ὃς οὔτε στρατηγοῦ, μὴ ὅτι κυβερνήτου, οὔτε
ἄλλου οὐδενὸς ἐλάττω ἐνίοτε δύναται σώζειν· πόλεις γὰρ
ἔστιν ὅτε ὅλας σώζει. μή σοι δοκεῖ κατὰ τὸν δικανικὸν εἶ-
ναι; καίτοι εἰ βούλοιτο λέγειν, ὦ Καλλίκλεις, ἅπερ ὑμεῖς,
σεμνύνων τὸ πρᾶγμα, καταχώσειεν ἂν ὑμᾶς τοῖς λόγοις,
λέγων καὶ παρακαλῶν ἐπὶ τὸ δεῖν γίγνεσθαι μηχανοποι- C
ούς, ὡς οὐδὲν τἆλλά ἐστιν· ἱκανὸς γὰρ αὐτῷ ὁ λόγος· ἀλλὰ
σὺ οὐδὲν ἧττον αὐτοῦ καταφρονεῖς καὶ τῆς τέχνης τῆς ἐκεί-
νου, καὶ ὡς ἐν ὀνείδει ἀποκαλέσαις ἂν μηχανοποιόν, καὶ
τῷ υἱεῖ αὐτοῦ οὔτ' ἂν δοῦναι θυγατέρα ἐθέλοις, οὔτ' ἂν
αὐτὸς τῷ σαυτοῦ λαβεῖν τὴν ἐκείνου. καίτοι ἐξ ὧν τὰ σαυ-

1 *σὺ δέ γε τὸν μηχανοποιόν*. Συμπλήρου· *νόμος ἐστὶ σεμνύνεσθαι*. Ὁ Σωκ. προβαίνει ἀπὸ τῶν μικροτέρων ἐπὶ τὰ σπουδαιότερα, ἀπὸ τῆς κολυμβητικῆς ἐπὶ τὴν κυβερνητικήν, ἀπὸ ταύτης ἐπὶ τὴν μηχανοποιϊκήν.

2 *μὴ ὅτι κυβερνήτου*. Συνήθης ἐλλειπτ. φράσις = μὴ εἴπω ὅτι οὐκ ἐλαττοῦται κυβερνήτου (ὅπερ αὐτόδηλον), οὐδὲ στρατηγοῦ ἐλαττοῦται (ὅπερ ἄν τις ἴσως ἀμφισβητήσειεν).

4 *Μή σοι δοκεῖ κατὰ τὸν δικανικὸν εἶναι;* Κατὰ τὸν δικανικὸν = ἰσότιμος ἢ ἰσοστάσιος τῷ δικανικῷ.

6 *σεμνύνων τὸ πρᾶγμα* = καλλωπίζων μεγαλοποιῶν τὴν σπουδαιότητα τοῦ ἔργου του, ὅπως ὑμεῖς τὴν ῥητορικήν.

*καταχώσειεν ἄν*. Χαριέστατα μετεχειρίσθη περὶ μηχανοποιοῦ ῥῆμα ἐκ τῆς τέχνης του μετενεχθέν.

7 *παρακαλῶν ἐπὶ τὸ δεῖν γίγνεσθαι μηχανοποιούς*. Τὸ παρακαλῶ οὐχὶ = δέομαι, ἀλλὰ καλῶ παρ' ἐμαυτόν, προσκαλῶ· ἀλλὰ καὶ ἄνευ τῆς ἐννοίας τοῦ *παρ' ἐμαυτόν*, παρακινῶ, παρορμῶ, προτρέπω. Ἀξιοσημείωτος ἐνταῦθα ἡ σύνταξίς του, *ἐπὶ τὸ δεῖν* κ. τ. λ. Ἂν ἔθετε μόνον τὸ *παρακαλῶν*, ἔπρεπε νὰ ἐπακολουθήσῃ: *ἐπὶ τὸ γενέσθαι μηχανοποιούς*. Ἀλλ' ὁ Πλ. προσέθηκε καὶ τὸ *λέγων*, ἐφ' ᾧ ἁρμόζει τὸ *δεῖν*. Ὡς δὲ συνέδεσε τὰ δύο ῥήματα εἰς ἀποτέλεσιν μιᾶς συνθέτου ἐννοίας, οὕτω συνέπτυξε καὶ τὰ δύο ἐπακολουθήματα τῶν ῥημάτων εἰς μίαν πρότασιν. Ἀνεπτυγμένως καὶ ὁμαλῶς θὰ ἔλεγε· «λέγων δεῖν γίγνεσθαι μηχανοποιοὺς καὶ παρακαλῶν ἐπὶ τοῦτο (τὸ γίγνεσθαι μηχ.)»

8 *ὡς οὐδὲν τἆλλά ἐστιν*. Συμπλήρου: πρὸς τὴν μηχανοποιϊκήν. Ὁ λόγος ἀπέβη εὐθύς, ἀντὶ πλαγίου: *ὡς οὐδὲν τἆλλα ὄντα*. Οὕτω παριστᾷ πρὸ τῶν ὀμμάτων ἡμῶν τὸν μηχανοποιὸν λέγοντα· «Γίγνεσθε μηχανοποιοί, ὡς οὐδὲν τἆλλα ἐστί!»

10 *ὡς ἐν ὀνείδει ἀποκαλέσαις ἂν μηχανοποιόν* = θὰ τῷ προέφερες τὸ ὄνομα *μηχανοποιός!* μετὰ καταφρονήσεως. Ἀριστ. Ἠθ. Νικ. I, 8· «Ἐπιτιμῶσι γὰρ τοῖς ἑαυτοὺς μάλιστα ἀγαπῶσι καὶ ὡς ἐν αἰσχρῷ φιλαύτους ἀποκαλοῦσι». Περὶ προσηγορίας ἥτις καθ' ἑαυτὴν μὲν δὲν εἶνε καταφρονητή, κατὰ συμβεβηκὸς δέ, ὅπως π. χ. σήμερον *ὡς ἐν ὀνείδει* ἀποκαλοῦμέν τινα δάσκαλον.

12 *ἐξ ὧν τὰ σαυτοῦ ἐπαινεῖς*. Ἀνάλυσον τὸ ἐξ ὧν εἰς *ἐκ τούτων ἅ*, καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦ ἐπαινεῖς, τίνι δικαίῳ λόγῳ τοῦ μηχανοποιοῦ καταφρο-
D νεῖς καὶ τῶν ἄλλων ὧν νῦν δὴ ἔλεγον; οἶδ' ὅτι φαίης ἂν
βελτίων εἶναι καὶ ἐκ βελτιόνων. τὸ δὲ βέλτιον εἰ μή ἐστιν
ὃ ἐγὼ λέγω, ἀλλ' αὐτὸ τοῦτ' ἐστιν ἀρετή, τὸ σώζειν αὐ-
τὸν καὶ τὰ ἑαυτοῦ ὄντα ὁποῖός τις ἔτυχε, καταγέλαστός
σοι ὁ ψόγος γίγνεται καὶ μηχανοποιοῦ καὶ ἰατροῦ καὶ τῶν
ἄλλων τεχνῶν, ὅσαι τοῦ σώζειν ἕνεκα πεποίηνται. ἀλλ',
ὦ μακάριε, ὅρα μὴ ἄλλο τι τὸ γενναῖον καὶ τὸ ἀγαθὸν ᾖ
τοῦ σώζειν τε καὶ σώζεσθαι. μὴ γὰρ τοῦτο μὲν τὸ ζῆν, ὁπό-
E σον δεῖ χρόνον, τόν γε ὡς ἀληθῶς ἄνδρα ἐατέον ἐστὶ καὶ οὐ
φιλοψυχητέον, ἀλλὰ ἐπιτρέψαντα περὶ τούτων τῷ θεῷ καὶ

λάμβανε, τὸ μὲν ἃ ὡς σύστοιχον ἀντικ. τοῦ *ἐπαινεῖς*, τὸ δὲ *ἐκ τούτων* ὡς ἐμπρόθ. προσδιορ. παραλειπομένου ῥήματος *σκοπῶν*, ἢ *κρίνων ἐρωτῶ σε*, τίνι δικαίῳ κ. τ. λ. Οἱ ῥητορικοὶ ἐσέμνυνον καὶ ἐπῄνουν τὰ ἑαυτῶν, δηλ. τὸ ἐπάγγελμά των, ὡς σωστικὸν ἀνθρώπων ἐκ καταδίκης καὶ ἀπωλείας ζωῆς ἢ χρημάτων. Λέγει λοιπὸν ὁ Σωκ. «Ἐκ τούτων τῶν ἐπαίνων κρίνων, οὓς ἐπαινεῖς τὸ ἐπάγγελμά σου, δὲν εὑρίσκω τίνα δίκαιον λόγον ἔχεις νὰ καταφρονῇς τοῦ μηχανοποιοῦ καὶ τῶν ἄλλων (κυβερνήτου, στρατηγοῦ). οἵτινες καὶ αὐτοὶ σώζουσιν ἀνθρώπους ἐκ κινδύνων, καὶ ἔτι μᾶλλον ἢ ὁ ῥητορικός».

3 *βελτίων εἶναι καὶ ἐκ βελτιόνων.* Τρόπος ἐπιτάσεως τοῦ ἐπαίνου. Οὕτω τὰ *εὐγενὴς κἀξ εὐγενῶν.*

5 *καταγέλαστός σοι ὁ ψόγος γίγνεται.* Ἡ φράσις εἶνε ὀξύμωρος· ἂν ἀντὶ τοῦ ψόγος ἔθετε τὸ ἰσοδύναμον *κατάγελως*, θὰ ἔλεγε: καταγέλαστός σοι ὁ κατάγελως γίγνεται. Ἐν τῷ Συμποσίῳ 189 b, διαστέλλει τὸ γελοῖος τοῦ καταγέλαστος: «ὡς ἐγὼ φοβοῦμαι (λέγει ὁ κωμικὸς Ἀριστοφάνης) οὔ τι μὴ γελοῖα εἴπω, τοῦτο μὲν γὰρ κέρδος ἂν εἴη καὶ τῆς ἡμετέρας μούσης ἐπιχώριον, ἀλλὰ μὴ καταγέλαστα». Κατὰ ταῦτα, γελοῖα λέγει ἢ ποιεῖ ὁ εὐφυῶς καὶ χαριέντως ποιῶν τοὺς ἄλλους γελᾶν, ἐφ' οἷς λέγει ἢ ποιεῖ, καταγέλαστα δέ, ὁ ποιῶν τοὺς ἄλλους γελᾶν ἐφ' ἑαυτῷ μωρολογοῦντι ἢ ἀσχημονοῦντι.

10 *τόν γε ὡς ἀληθῶς ἄνδρα ἐατέον ἐστί.* Ἐκλάμβανε τὸ *ἄνδρα* ὡς ὑποκ. τοῦ ἐατέον ἐστὶ (= δεῖ ἐᾶν). Τὸ ἐατέον = ἀφροντιστέον, περὶ οὐδενὸς ποιητέον. Ἀπολ. 18 a «ὑμῶν δέομαι... τὸν μὲν τρόπον τῆς λέξεως ἐᾶν... αὐτὸ δὲ τοῦτο σκοπεῖν καὶ τούτῳ τὸν νοῦν προσέχειν, εἰ δίκαια λέγω εἰ μή».

*καὶ οὐ φιλοψυχητέον.* Τῆς ψυχῆς οὔσης αἰτίας τοῦ ζῆν, τὰ φιλόψυχος, φιλοψυχία, φιλοψυχεῖν σημαίνουσιν ὅ τι καὶ τὰ φιλόζωος, φιλοζωΐα, φιλοζωεῖν. Ἐκ τῆς συνωνυμίας ταύτης ζωῆς καὶ ψυχῆς ἐν τῇ Ἑλλ. γλώσσῃ, καὶ τῆς ἀντιθέσεως ἣν ὁ Ἰησοῦς ἔβλεπεν ὑπάρχουσαν μεταξὺ ζωῆς καὶ ψυχῆς, προῆλθεν ἡ ὀξύμωρος ἐκείνη ῥῆσις Ἰωάν. ΙΒ', 25· «Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν, καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν».

11 *ἀλλὰ ἐπιτρέψαντα περὶ τούτων τῷ θεῷ.* *Ἐπιτρέπω τινί τι*, καί: *ἐπιτρέπω τινὶ περί τινος*· ἔνθα ἐξυπακου-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πιστεύσαντα ταῖς γυναιξίν, ὅτι τὴν εἱμαρμένην οὐδ' ἂν εἷς
ἐκφύγοι, τὸ ἐπὶ τούτῳ σκεπτέον, τίν' ἂν τρόπον τοῦτον
ὃν μέλλει χρόνον βιῶναι ὡς ἄριστα βιῴη· ἆρα ἐξομοιῶν
αὑτὸν τῇ πολιτείᾳ ταύτῃ ἐν ᾗ ἂν οἰκῇ; καὶ νῦν δὲ ἄρα δεῖ 513
σε ὡς ὁμοιότατον γίγνεσθαι τῷ δήμῳ τῶν Ἀθηναίων, εἰ
μέλλεις τούτῳ προσφιλὴς εἶναι καὶ μέγα δύνασθαι ἐν τῇ
πόλει. τοῦθ' ὅρα εἰ σοὶ λυσιτελεῖ καὶ ἐμοί, ὅπως μή, ὦ
δαιμόνιε, πεισόμεθα ὅπερ φασὶ τὰς τὴν σελήνην καθαιρούσας, τὰς Θετταλίδας, σὺν τοῖς φιλτάτοις ἡ αἵρεσις ἡμῖν

στέον ἀντικ. *τὴν φροντίδα ἢ τὴν μέριμναν περί τινος*. (Πρβλ. Ἀπολ. 35 d).

2 *τίν' ἂν τρόπον*. Σύντασσε ὧδε· «τίν' ἂν τρόπον βιῴη ὡς ἄριστα (κατὰ) τοῦτον τὸν χρόνον (καθ') ὃν μέλλει βιῶναι. Σημείωσαι τὸ *μέλλει* μετ' ἀπαρεμφάτου ἀορ. β'. Κατὰ κανόνα τὸ *μέλλω* μετ' ἀπαρεμφ. ἐνεστ. ἢ μέλλ.

4 *καὶ νῦν δὲ ἆρα*. Ὑπὸ τὴν καθόλου πρότασιν «ἆρα ἐξομοιῶν ἑαυτὸν τῇ πολιτείᾳ ταύτῃ ἐν ᾗ ἂν οἰκῇ» ὑπάγει τὴν ἀτομικήν, τὴν περὶ αὐτοῦ τοῦ Καλλ. καὶ περὶ τῆς Ἀθηναϊκῆς πολιτείας. Ἐν σελ. 510 a ἐλέχθη καθόλου ὅτι «ἵνα μὴ ἀδικῆταί τις, δεῖ ἑταῖρον εἶναι τῆς ὑπαρχούσης πολιτείας»· ἐν τοῖς ἐφεξῆς ἦτο ὁ λόγος περὶ τυράννου καὶ τυραννικῆς πολιτείας. Ἐνταῦθα δηλοῖ σαφῶς ὅτι τὰ αὐτὰ ἰσχύουσι καὶ περὶ δημοκρατικῆς πολιτείας, ὅπου δεσπότης εἶνε ὁ δῆμος.

7 *εἰ σοὶ λυσιτελεῖ καὶ ἐμοί*. Ὁ μὲν Καλλ. ἀρτίως ἤρχισε νὰ πολιτεύηται (Ὅρ. κατωτέρω σελ. 515 a), παρεκάλει δὲ καὶ τὸν Σωκ. νὰ ἀφήσῃ τὰ μικρὰ καὶ ταπεινὰ τῆς φιλοσοφίας προβλήματα καὶ νὰ ἐπιχειρήσῃ τοῖς μεγάλοις καὶ σεμνοῖς, οἷα τὰ πολιτικά. Ὡς ἀμφοτέρων λοιπὸν ἱσταμένων ἔτι ἐπὶ τῆς σχιστῆς ὁδοῦ, τῆς τε ἐπὶ τὴν πολιτικὴν κονίστραν, καὶ τῆς ἐπὶ τὸ φροντιστήριον τῆς φιλοσοφίας, ὁ Σωκ. ἐνταῦθα περιλαμβάνει καὶ ἑαυτὸν ἐν τῷ λόγῳ.

8 *τὰς τὴν σελήνην καθαιρούσας, τὰς Θετταλίδας*. Αἱ Θεσσαλίδες ἦσαν κατ' ἐκείνους τοὺς χρόνους διαβεβοημέναι ὡς μάγισσαι καὶ φαρμακεύτριαι. (Ἐπιθι Λουκ. Λούκιος ἢ ὄνος). Πρὸς ἄλλαις μαγείαις ἐπιστεύοντο ὅτι εἶχον τὴν δύναμιν νὰ καταβιβάζωσι τὴν σελήνην εἰς τὴν γῆν. Ὅθεν καὶ ὁ Στρεψιάδης παρ' Ἀριστφ. Νεφ. 749, ζητῶν μηχανὴν νὰ ἀπαλλαγῇ τῆς ἀποτίσεως τόκων καὶ δανείων, ἔρχεται ἐπὶ τοιάνδε ἐπίνοιαν· «Γυναῖκα φαρμακίδ' εἰ πριάμενος Θετταλὴν καθέλοιμι νύκτωρ τὴν σελήνην», ὡς ταύτην ὁρίζουσαν τοὺς μῆνας καὶ τὰς λήξεις ἄρα τῶν προθεσμιῶν. Καὶ σήμερον εἶνε ἰσχυρῶς διαδεδομένη ἐν Θεσσαλίᾳ καὶ κατὰ τὰς παρακειμένας νήσους ἡ πίστις ὅτι τινὲς γυναῖκες μαγικὴν ἔχουσαι δύναμιν καταβιβάζουσι τὴν σελήνην.

9 *σὺν τοῖς φιλτάτοις ἡ αἵρεσις ἡμῖν ἔσται*. Ἀπὸ κοινοῦ τὸ *ὅπως μή*, ταῦτα δὲ ἐπεξήγ. τοῦ *πεισόμεθα*. Ἡ *σὺν* ἐνταῦθα = σὺν ἀπωλείᾳ τῶν φιλτάτων. Οὕτω καὶ παρ' Ὁμ. Ἰλ. Δ. 161· «σύν τε μεγάλῳ ἀπέτισαν· σὺν σφῇσιν κεφαλῇσιν γυναιξί τε καὶ τεκέεσσιν». Καὶ ἡμεῖς· «Θὰ πληρώσῃς τὴν ζημίαν μὲ τὸ κεφάλι σου». Ἐπιστεύετο ὅτι αἱ τὴν σελήνην καθαιροῦσαι ἔχανον τοὺς ὀφθαλμούς των καὶ τοὺς πόδας των (ἢ τοὺς παῖδάς των) κατὰ τὸν Σουΐδαν. Ἐλέγετο λοιπὸν παροιμιωδῶς «Ἐπὶ σαυτῷ τὴν σελήνην καθέλκεις».

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔσται ταύτης τῆς δυνάμεως τῆς ἐν τῇ πόλει. εἰ δέ σοι οἴει
ὁντινοῦν ἀνθρώπων παραδώσειν τέχνην τινὰ τοιαύτην, ἥτις
B σε ποιήσει μέγα δύνασθαι ἐν τῇ πόλει τῇδε ἀνόμοιον ὄντα
τῇ πολιτείᾳ εἴτ' ἐπὶ τὸ βέλτιον εἴτ' ἐπὶ τὸ χεῖρον, ὡς ἐμοὶ
δοκεῖ, οὐκ ὀρθῶς βουλεύει, ὦ Καλλίκλεις· οὐ γὰρ μιμη-
τὴν δεῖ εἶναι ἀλλ' αὐτοφυῶς ὅμοιον τούτοις, εἰ μέλλεις τι
γνήσιον ἀπεργάζεσθαι εἰς φιλίαν τῷ Ἀθηναίων δήμῳ καὶ
ναὶ μὰ Δία τῷ Πυριλάμπους γε πρός. ὅςτις οὖν σε τούτοις
ὁμοιότατον ἀπεργάσεται, οὗτός σε ποιήσει, ὡς ἐπιθυμεῖς
πολιτικὸς εἶναι, πολιτικὸν καὶ ῥητορικόν· τῷ αὐτῶν γὰρ
C ἤθει λεγομένων τῶν λόγων ἕκαστοι χαίρουσι, τῷ δὲ ἀλλο-

1 *εἰ δέ σοι οἴει ὁντινοῦν ἀνθρώπων παραδώσειν* κ.τ.λ. Πλάγιον ῥάπισμα κατὰ Γοργ. καὶ τῶν κομπωδῶν ἐπαγγελιῶν του.

3 *ἀνόμοιον ὄντα—εἴτ' ἐπὶ τὸ βέλτιον εἴτ' ἐπὶ τὸ χεῖρον*· τουτέστιν, ὄντα εἴτε βελτίω εἴτε χείρω ἢ κατὰ ταύτην τὴν πολιτείαν, εἴτε ἀριστοκρατικώτερον εἴτε ὀχλοκρατικώτερον. Διά του: *εἴτ' ἐπὶ τὸ χεῖρον* ὁ Πλάτ. διασκεδάζει πᾶσαν ὑπόνοιαν ὅτι προτίθεται νὰ ἐπενέγκῃ ψόγον κατὰ τῆς τότε καθεστώσης Ἀθην. πολιτείας. Ἐπιχειρεῖ νὰ ἀποδείξῃ τὸν ἰσχυρισμόν του, ὅτι ἐν πάσῃ πολιτείᾳ ὁ πολιτευόμενος, ἵνα εὐδοκιμήσῃ, ἀνάγκη νὰ ἐξομοιῶται πρὸς αὐτήν, ἐν ἀγαθῇ μὲν γινόμενος βελτίων, ἐν κακῇ δὲ χείρων ἑαυτοῦ.

5 *οὐ γὰρ μιμητὴν δεῖ εἶναι, ἀλλ' αὐτοφυῶς ὅμοιον τούτοις*. Ἡ λέξις μιμεῖσθαι καὶ τὰ ἐξ αὐτῆς ἐνέχουσί τινα ἀσάφειαν, ἣν ὁ Πλ. αἰσθάνεται ἐνταῦθα τὴν ἀνάγκην νὰ ἄρῃ. Μιμοῦμαί τινα ὃν τρόπον ὁ ὑποκριτὴς μιμεῖται ἐπὶ τῆς σκηνῆς ἤθη παντοδαπῶν ἀνθρώπων, χωρὶς νὰ ἐξομοιῶται ἡ ψυχή του πρὸς τούτους. Ἀλλὰ καὶ μιμοῦμαί τινα ζηλῶν αὐτὸν καὶ προθυμούμενος νὰ ἐξομοιωθῶ πρὸς αὐτόν, πρὸς τὰ ἤθη του καὶ τὰ φρονήματά του. Τοιαύτην μίμησιν ἐννοεῖ ὁ Παῦλος γράφων· «Παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου γίγνεσθε». Ταύτην τὴν μίμησιν νοεῖ καὶ ὁ Πλ. καὶ πρὸς διαστολὴν τὴν ὀνομάζει ἐνταῦθα ἐξομοίωσιν, ἂν καὶ ἐν τοῖς ἔμπροσθεν πλεονάκις τὴν ὠνόμασεν ἁπλῶς μίμησιν (σελ. 511 a). Προσέθηκε δὲ τὸ *αὐτοφυῶς* πάλιν διὰ τὴν ἀσάφειαν τοῦ *ὁμοιοῦσθαι*. Ἡ ὁμοίωσις πρέπει νὰ εἶνε μετάπλασις τῆς ψυχῆς τοῦ ἀνθρώπου, μετουσίωσις.

6 *ὅμοιον τούτοις*· *τοῖς πολίταις* δηλ. νοούμενον ἐκ τοῦ προηγηθέντος τῇ πόλει.

*τι γνήσιον εἰς φιλίαν τῷ δήμῳ* = τι γνησίως φιλικόν, τι τοιοῦτον ὅπερ ἀποδείξει γνησίαν τὴν παρὰ σοῦ φιλίαν τῷ δήμῳ τῶν Ἀθηναίων.

8 *τῷ Πυριλάμπους γε πρός*. Προσυπάκουε τῷ Δήμῳ Πυριλάμπους. Λογοπαίγνιον ἐκ τῆς ὁμωνυμίας προκύπτον τοῦ δήμου τῶν Ἀθηναίων, ὄντος προσηγορ. ὀνόματος, καὶ τοῦ Δήμου τοῦ Πυριλάμπους, ὄντος κυρίου.

*ὅςτις οὖν σε* κ.τ.λ. Διὰ τούτων αἰνίττεται πρῶτον μὲν εἰς τὰ ὀλιγαρχικὰ φρονήματα τοῦ Καλλ. ἀνομοιότατα ὄντα τοῖς τοῦ δήμου, ἔπειτα δέ, ὅτι μάτην κοπιᾷ μανθάνων τὴν ῥητορικήν· τοιοῦτος ὢν οὐδέποτε θὰ ἰσχύσῃ ἐν τοιούτῳ ὄντι τῷ δήμῳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τρίῳ ἄχθονται· εἰ μή τι σὺ ἄλλο λέγεις, ὦ φίλη κεφαλή. λέγομέν τι πρὸς ταῦτα, ὦ Καλλίκλεις;

ΞΘ΄. ΚΑΛ. Οὐκ οἶδ' ὅντινά μοι τρόπον δοκεῖς εὖ λέγειν, ὦ Σώκρατες· πέπονθα δὲ τὸ τῶν πολλῶν πάθος, οὐ πάνυ σοι πείθομαι.

ΣΩ. Ὁ δήμου γὰρ ἔρως, ὦ Καλλίκλεις, ἐνὼν ἐν τῇ ψυχῇ τῇ σῇ ἀντιστατεῖ μοι· ἀλλ' ἐὰν πολλάκις ἴσως καὶ βέλτιον ταὐτὰ ταῦτα διασκοπώμεθα, πεισθήσει. ἀνα- D μνήσθητι δ' οὖν, ὅτι δύο ἔφαμεν εἶναι τὰς παρασκευὰς ἐπὶ τὸ ἕκαστον θεραπεύειν καὶ σῶμα καὶ ψυχήν, μίαν μὲν πρὸς

1 *εἰ μή τι σὺ ἄλλο λέγεις*. Συνήθης μετριόφρων ἔκφρασις τοῦ Σωκ. μετὰ λεπτῆς εἰρωνείας μεμιγμένη. Τὴν μεταχειρίζεται ἀκριβῶς ἐκεῖ, ὅπου εἶνε βεβαιότατος ὅτι οἱ λόγοι του οὐδεμίαν ἐπιδέχονται σπουδαίαν ἀμφισβήτησιν. Πρβλ. σελ. 462 c, Πολ. 430 b, Ἱππ. Μ. 291 a.

*ὦ φίλη κεφαλή*. Φιλόστοργος ἔκφρασις, ἵνα ἐμποιήσῃ τῷ Καλλ. ἔννοιαν, παρὰ πᾶσαν τὴν σφοδρότητα καὶ πικρίαν τῶν εἰρημένων, ὅτι δὲν εἶπεν αὐτὰ ἐλέγχων καὶ διαπομπεύων, ἀλλὰ διδάσκων καὶ παραινῶν

4 *πέπονθα δὲ τὸ τῶν πολλῶν πάθος*. Τὸ τῶν πολλῶν πάθος, εἶνε ἡ διαφωνία τοῦ αἱροῦντος λόγου, ὃν ὑπαγορεύει ὁ καθαρὸς νοῦς τοῦ ἀνθρώπου, πρὸς τοὺς λόγους, οὓς ὑποβάλλουσιν αἱ ἐκ τῆς ἀνατροφῆς καὶ ἀναστροφῆς ἐν τῇ κοινωνίᾳ κεκτημέναι ἕξεις καὶ πάθη.

6 *Ὁ δήμου γὰρ ἔρως* κ. τ. λ. Ὁ ἔρως τῆς δημαγωγίας ἐνὼν ἐν τῇ ψυχῇ σου ἀντιστατεῖ τοῖς λόγοις μου. Ἀλλὰ τίνες εἰσὶν ἐπὶ τοῦ προκειμένου οἱ λόγοι τοῦ Σωκ.; ἐπὶ τί παρακαλεῖ τὸν Καλλ.; Ἆρα νὰ γείνωσιν αὐτοφυῶς ὅμοιοι τῷ δήμῳ τῶν Ἀθηναίων; Οὐχὶ βέβαια· οὔτε ὁ Σωκ. οὔτε ὁ Καλλ. ἠδύνατο, οὐδὲ θὰ ἐλυσιτέλει αὐτοῖς, ὡς προεῖπεν· ὁ μὲν ἦτο ἀριστοκρατικὸς κατὰ τὴν κυρίαν σημασίαν τῆς λέξεως, ὁ δὲ ὀλιγαρχικὸς ἢ μᾶλλον δεσποτικός. Λείπεται λοιπὸν δυοῖν θάτερον, ἢ νὰ ἐπιχειρήσωσι τοῖς πολιτικοῖς πράγμασι, βελτίους αὐτοὶ πρότερον γενόμενοι, καὶ πρὸς τὸ βέλτιστον τῶν πολιτῶν ἀποβλέποντες, ὅτε τὸ ὄνειρον τοῦ Καλλ. διαλύεται, καὶ ἀντὶ δυνάμεως καὶ δόξης ἔχουσι νὰ ἀπεκδέχωνται διωγμοὺς καὶ τὸ κώνειον, ἢ νὰ ἀποστῶσι τῶν πολιτικῶν καὶ νὰ τραπῶσιν ἐπὶ τὸν θεωρητικὸν φιλοσοφικὸν βίον. Ἐκ τῶν ἑπομένων φαίνεται ὅτι τὸ πρῶτον συνιστᾷ ὁ Σωκ. Καὶ εἶνε εὔλογον νὰ πιστεύσωμεν ὅτι αὕτη ἦτο ἡ γνώμη αὐτοῦ τοῦ Πλάτωνος, ὅτε συνέγραφε τὸν Γοργίαν.

7 *πολλάκις — καὶ βέλτιον*. Ἐκ μὲν τῆς βελτίονος διασκέψεως προσδοκᾷ νὰ φανῶσι καθαρώτερα τὰ αἴτια καὶ τὰ αἰτιατά, καὶ πειστικώτερα ἄρα· ἐκ δὲ τῆς ἐπαναλήψεως ἐθισμὸν καὶ ἐξοικείωσιν πρὸς τὰ καινὰ ταῦτα δόγματα.

8 *ἀναμνήσθητι δ' οὖν*. Ὅρ. σελ. 464 b ἑξ.

9 *ἐπὶ τὸ ἕκαστον* κ. τ. λ. = ἐπὶ τὸ θεραπεύειν ἕκαστον σῶμα καὶ ἑκάστην ψυχήν.

10 *πρὸς ἡδονὴν ὁμιλεῖν*. Ὁμιλεῖν, ἐκ τοῦ ὁμοῦ ἴλλεσθαι, κυρίως μὲν σημαίνει ἀναστρέφεσθαι, συνδιάγειν μετά τινος· ἐπειδὴ δὲ ἐν συνδιαγωγῇ ἀνθρώπων δὲν δύναται νὰ λείπῃ ὁ λόγος, οὕτω τὸ ὁμιλεῖν ἔλαβε τὴν σημασίαν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡδονὴν ὁμιλεῖν, τὴν ἑτέραν δὲ πρὸς τὸ βέλτιστον, μὴ καταχαριζόμενον ἀλλὰ διαμαχόμενον. οὐ ταῦτα ἦν ἃ τότε ὡριζόμεθα;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν ἡ μὲν ἑτέρα, ἡ πρὸς ἡδονήν, ἀγεννὴς καὶ οὐδὲν ἄλλο ἢ κολακεία τυγχάνει οὖσα· ἢ γάρ;

E ΚΑΛ. Ἔστω, εἰ βούλει, σοι οὕτως.

ΣΩ. Ἡ δέ γε ἑτέρα, ὅπως ὡς βέλτιστον ἔσται τοῦτο, εἴτε σῶμα τυγχάνει ὂν εἴτε ψυχή, ὃ θεραπεύομεν.

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Ἆρ' οὖν οὕτως ἐπιχειρητέον ἡμῖν ἐστι τῇ πόλει καὶ τοῖς πολίταις θεραπεύειν, ὡς βελτίστους αὐτοὺς τοὺς πολίτας ποιοῦντας; ἄνευ γὰρ δὴ τούτου, ὡς ἐν τοῖς ἔμπροσθεν εὑρίσκομεν, οὐδὲν ὄφελος ἄλλην εὐεργεσίαν οὐδεμίαν
514 προσφέρειν, ἐὰν μὴ καλὴ κἀγαθὴ ἡ διάνοια ᾖ τῶν μελλόντων ἢ χρήματα πολλὰ λαμβάνειν ἢ ἀρχήν τινων ἢ ἄλλην δύναμιν ἡντινοῦν. θῶμεν οὕτως ἔχειν;

ΚΑΛ. Πάνυ γε, εἴ σοι ἥδιον.

ΣΩ. Εἰ οὖν παρεκαλοῦμεν ἀλλήλους, ὦ Καλλίκλεις, δημοσίᾳ πράξοντες τῶν πολιτικῶν πραγμάτων ἐπὶ τὰ οἰ-

τοῦ λέγειν, καὶ τοιαύτην ἔχει καὶ ἐν τῷ προκειμένῳ, χωρὶς νὰ ἀποσβεσθῇ ἐντελῶς καὶ ἡ τοῦ ἀναστρέφεσθαι.

1 *μὴ καταχαριζόμενον.* Πρβλ. Ἀπολ. 35 c.

8 *Ἡ δέ γε ἑτέρα, ὅπως ὡς βέλτιστον ἔσται.* Παρέλιπε τὸ ῥῆμα, ὡς παραλαμβανόμενον ἐκ τῶν προηγουμένων. Ἐν τούτοις τὸ *τυγχάνει οὖσα* τῆς προηγουμένης προτάσεως δὲν ἁρμόζει ἐνταῦθα. Ὀρθῶς ἔχει τό: *ὁμιλεῖ οὕτως, ὅπως* κ. τ. λ. Τὸ δὲ *ὁμιλεῖ* ληπτέον ἐκ τοῦ *πρὸς ἡδονὴν ὁμιλοῦσα*, ὅπερ πάλιν λαμβάνεται ἐκ τοῦ ἔτι ἀνωτέρω *πρὸς ἡδονὴν ὁμιλεῖν.*

11 *ἐπιχειρητέον τῇ πόλει καὶ τοῖς πολίταις θεραπεύειν.* Ὅρα παρεκβολ.

12 *ὡς βελτίστους—ποιοῦντας.* Ἐπεξ. τοῦ οὕτω. Ἂν καὶ τὸ ὑποκ. τῆς μετοχῆς εἶνε τὸ *ἡμῖν*, αὕτη ἐτέθη κατ' αἰτιατ. καθ' ἣν πτῶσιν νοεῖται τὸ ὑποκ. τοῦ θεραπεύειν. Λυσίας κατὰ Θεομν. Α', 31: «Δέομαι ὑμῶν καταψηφίσασθαι Θεομνήστου, ἐνθυμουμένους κ. τ. λ.»

15 *ἐὰν μὴ καλὴ κἀγαθὴ* κ.τ.λ. Ἐπεξηγ. τοῦ *ἄνευ τούτου.*

19 *Εἰ οὖν παρεκαλοῦμεν* κ.τ.λ. = Ἂν λοιπὸν παρωρμῶμεν ἀλλήλους νὰ ἀναμιχθῶμεν εἰς τὰ πολιτικά, καὶ ὡρισμένως, ἐπὶ τὰ οἰκοδομικὰ τῶν πολιτικῶν πραγμάτων.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χοδομικά, ἢ τειχῶν ἢ νεωρίων ἢ ἱερῶν ἐπὶ τὰ μέγιστα οἰκοδομήματα, πότερον ἔδει ἂν ἡμᾶς σκέψασθαι ἡμᾶς αὐτοὺς καὶ ἐξετάσαι, πρῶτον μὲν εἰ ἐπιστάμεθα τὴν τέχνην B ἢ οὐκ ἐπιστάμεθα, τὴν οἰκοδομικήν, καὶ παρὰ τοῦ ἐμάθομεν; ἔδει ἂν ἢ οὔ;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν δεύτερον αὖ τόδε, εἴ τι πώποτε οἰκοδόμημα ᾠκοδομήκαμεν ἰδίᾳ ἢ τῶν φίλων τινὶ ἢ ἡμέτερον αὐτῶν, καὶ τοῦτο τὸ οἰκοδόμημα καλὸν ἢ αἰσχρόν ἐστι· καὶ εἰ μὲν εὑρίσκομεν σκοπούμενοι διδασκάλους τε ἡμῶν ἀγαθοὺς καὶ ἐλλογίμους γεγονότας καὶ οἰκοδομήματα πολλὰ C μὲν καὶ καλὰ μετὰ τῶν διδασκάλων ᾠκοδομημένα ἡμῖν, πολλὰ δὲ καὶ ἴδια ἡμῶν, ἐπειδὴ τῶν διδασκάλων ἀπηλλάγημεν, οὕτω μὲν διακειμένων, νοῦν ἐχόντων ἦν ἂν ἰέναι ἐπὶ τὰ δημόσια ἔργα· εἰ δὲ μήτε διδάσκαλον εἴχομεν ἡμῶν αὐ-

1 *ἢ τειχῶν — ἐπὶ τὰ μέγιστα οἰκοδομήματα.* Ἀνάπτυξις τοῦ: ἐπὶ τὰ οἰκοδομικά. Αἱ γεν. *τειχῶν, νεωρίων, ἱερῶν*, γεν. ἐξ ἀντικειμένου τοῦ *οἰκοδομήματα*, ὅπερ = *οἰκοδομίας* ἐνταῦθα.

7 *δεύτερον αὖ τόδε*· δηλ. ἔδει σκέψασθαι καὶ ἐξετάσαι.

8 *ἰδίᾳ, ἢ τῶν φίλων τινὶ* κ.τ.λ. Τὸ *ἰδίᾳ* ἀντίκειται τῷ *δημοσίᾳ*, ὅπερ νοεῖται ὡς ἰδιότης τῶν προειρημένων οἰκοδομημάτων. Τὰ δὲ *ἢ τῶν φίλων τινί, ἢ ἡμέτερον αὐτῶν*, διασάφησις τοῦ *ἰδίᾳ* διὰ παραδειγμάτων.

9 *καὶ τοῦτο τὸ οἰκοδόμημα.* Συμπλήρου ὧδε· «Καὶ ἔδει σκέψασθαι καὶ ἐξετάσαι εἰ τοῦτο τὸ οἰκοδόμημα κ. τ. λ.»

*καὶ εἰ μὲν εὑρίσκομεν* κ. τ. λ. Τὴν αὐτὴν γνώμην ἀποφαίνει καὶ ἐν Λάχητι 186 a, b. Ἡ ἀπόδοσις τῆς ὑποθέσεως εἶνε «νοῦν ἐχόντων ἦν ἂν κ. τ. λ.»

11 *ἐλλογίμους* = ἐν λόγῳ ὄντας, ὀνομαστοὺς ἐπιφανεῖς· οὐχὶ *λογίους!* Σελ. 526 b· «εἷς δὲ καὶ πάνυ ἐλλόγιμος γέγονε καὶ εἰς τοὺς ἄλλους Ἕλληνας, Ἀριστείδης ὁ Λυσιμάχου». Συμπ. 197 a· «Ἀλλὰ τὴν τῶν τεχνῶν δημιουργίαν οὐκ ἴσμεν ὅτι, οὗ μὲν ἂν ὁ θεὸς οὗτος διδάσκαλος γένηται, ἐλλόγιμος καὶ φανὸς ἀπέβη, οὗ δ᾽ ἂν Ἔρως μὴ ἐφάψηται, σκοτεινός;»

14 *οὕτω μὲν διακειμένων.* Ἀνακεφαλαίωσις τῆς προηγουμένης ὑποθετ. προτάσεως, διὰ μετοχ. κατὰ γεν. ἀπόλυτον.

*νοῦν ἐχόντων ἦν ἄν.* Προσφιλὴς τῷ Πλ. λέξις. Νόμ. 919 c· «ἐν νοῦν ἐχούσῃ πόλει». Καὶ ἐπίρρημα δὲ *νοῦν ἐχόντως* ἔπλασεν. Νόμ. 686 e. Ἐν δὲ Φιλήβ. 64 a μετὰ χαριεντισμοῦ λέγει· «Ἆρ᾽ οὐκ ἐμφρόνως ταῦτα καὶ ἐχόντως ἑαυτὸν τὸν νοῦν φήσομεν ἀποκρίνασθαι τὰ νῦν ῥηθέντα;» Δηλ. ὁ νοῦς ἀπεκρίνατο τὰ νῦν ῥηθέντα *νοῦν ἐχόντως.*

15 *εἰ δὲ μήτε διδάσκαλον — οἰκοδομήματά τε.* Ἐπίστησον ἐπὶ τὴν σύνδεσιν μήτε-τε. Δὲν εἶνε ἀήθης ἐν τῷ Ἑλλ. λόγῳ, ἀλλὰ κανονική, ὅταν τὸ

τῶν ἐπιδεῖξαι, οἰκοδομήματά τε ἢ μηδὲν ἢ πολλὰ καὶ μηδενὸς ἄξια, οὕτω δ' ἂν ἀνόητον ἦν δήπου ἐπιχειρεῖν τοῖς δημοσίοις ἔργοις καὶ παρακαλεῖν ἀλλήλους ἐπ' αὐτά. φῶ-
D μεν ταῦτα ὀρθῶς λέγεσθαι ἢ οὔ;

ΚΑΛ. Πάνυ γε.

Ο'. ΣΩ. Οὐκοῦν οὕτω πάντα, τά τε ἄλλα, κἂν εἰ ἐπιχειρήσοντες δημοσιεύειν παρεκαλοῦμεν ἀλλήλους ὡς ἱκανοὶ ἰατροὶ ὄντες, ἐπεσκεψάμεθα δήπου ἂν ἐγώ τε σὲ καὶ σὺ ἐμέ, φέρε πρὸς θεῶν, αὐτὸς δὲ ὁ Σωκράτης πῶς ἔχει τὸ σῶμα πρὸς ὑγίειαν; ἢ εἰ δή τις ἄλλος διὰ Σωκράτην ἀπηλλάγη νόσου, ἢ δοῦλος ἢ ἐλεύθερος· κἂν ἐγώ, οἶμαι, περὶ σοῦ ἕτερα τοιαῦτα ἐσκόπουν· καὶ εἰ μὴ εὑρίσκομεν
E δι' ἡμᾶς μηδένα βελτίω γεγονότα τὸ σῶμα, μήτε τῶν ξένων μήτε τῶν ἀστῶν, μήτε ἄνδρα μήτε γυναῖκα, πρὸς Διός, ὦ Καλλίκλεις, οὐ καταγέλαστον ἂν ἦν τῇ ἀληθείᾳ, εἰς τοσοῦτον ἀνοίας ἐλθεῖν ἀνθρώπους, ὥςτε, πρὶν ἰδιω-

δ' τῶν συμπλεκομένων κώλων εἶνε καταφατικόν. Θουκ. Α', 71, 8· «*μήτε* ἑορτὴν ἄλλο τι ἡγεῖσθαι ἢ τὸ τὰ δέοντα πρᾶξαι, ξυμφοράν τε οὐχ ἧσσον ἡσυχίαν ἀπράγμονα ἢ ἀσχολίαν ἐπίπονον». 73, 1· «δηλῶσαι ὡς οὔτε ἀπεικότως ἔχομεν ἃ κεκτήμεθα, ἥ τε πόλις ἡμῶν ἀξία λόγου ἐστίν».

1 *ἢ πολλὰ καὶ μηδενὸς ἄξια.* Σύνδεσις διὰ τοῦ *καὶ* χαλαρωτέρα, ἀντὶ τῆς ἀκριβεστέρας ἀντιθετικῆς «πολλὰ μέν, μηδενὸς δ' ἄξια». Ἐν τῷ ἀφελεῖ λόγῳ πολλάκις συνείρονται ἐξωτερικῶς αἱ προτάσεις διὰ τοῦ *καὶ* μὴ δηλουμένης τῆς ἐσωτερικῆς αὐτῶν πρὸς ἀλλήλας σχέσεως. Συνηθέστατα παρ' ἡμῖν: Τὸν εἶδα καὶ ἔτρεχεν· ἀντὶ τὸν εἶδον τρέχοντα. Τὸν εἶδε καὶ ὥρμησεν ἐπάνω του· ἀντὶ ἰδὼν ὥρμησε. Ἐγὼ σε συμβουλεύω τὸ καλόν σου, καὶ σὺ δὲν ἀκούεις· ἀντὶ ἐγὼ μὲν — σὺ δέ.

2 *οὕτω δέ·* διακειμένων δηλ.

*ἀνόητον ἦν.* Τὸ ἀνόητον = ἔργον, ἢ ἴδιον ἀνοήτου· τοῦτο δὲ — νοῦν οὐκ ἔχοντος.

6 *Οὐκοῦν οὕτω πάντα, τά τε ἄλλα, καί.* Συμπλήρου ὧδε· «Οὐκοῦν οὕτω πάντα τά τε ἄλλα ἔχει καὶ τόδε. εἰ ἐπιχειρήσαντες κ. τ. λ.»

*κἂν = καὶ ἄν.* Ὁ δυνητ. *ἂν* ἀνήκει εἰς τὴν ἀπόδοσιν *ἐπεσκεψάμεθα,* ἂν καὶ ἐπαναλαμβάνεται ἐκεῖ κάτω, κατὰ τὸ σύνηθες.

7 *δημοσιεύειν·* ἐν γένει μὲν = δημόσιον λειτουργὸν εἶναι, ἰδίως δὲ ἐλέγετο περὶ ἰατρῶν μισθουμένων ὑπὸ τῆς πόλεως ὡς δημοσίων.

9 *αὐτὸς δὲ ὁ Σωκράτης.* Τὸ *αὐτὸς* κατ' ἀντίθεσιν πρὸς τοὺς ἄλλους οὓς ἐπαγγέλλεται νὰ ἰατρεύῃ.

16 *εἰς τοσοῦτον ἀνοίας ἐλθεῖν ἀνθρώπους.* Εἶπεν *ἀνθρώπους* ἀντὶ *ἡμᾶς,* ἵνα ἐπιτείνῃ τὸ καταγέλαστον τοῦ πράγματος. «Δὲν εἶνε καταγέλαστον, ἄνθρωποι (νοῦν ἔχοντες, λογικὰ δημιουργήματα), νὰ καταντήσωσιν εἰς τοι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τεύοντας πολλὰ μὲν ὅπως ἐτύχομεν ποιῆσαι, πολλὰ δὲ κατορθῶσαι καὶ γυμνάσασθαι ἱκανῶς τὴν τέχνην, τὸ λεγόμενον δὴ τοῦτο ἐν τῷ πίθῳ τὴν κεραμείαν ἐπιχειρεῖν μανθάνειν, καὶ αὐτούς τε δημοσιεύειν ἐπιχειρεῖν καὶ ἄλλους τοιούτους παρακαλεῖν; οὐκ ἀνόητόν σοι δοκεῖ ἂν εἶναι οὕτω πράττειν;

ΚΑΛ. Ἔμοιγε.

ΣΩ. Νῦν δέ, ὦ βέλτιστε ἀνδρῶν, ἐπειδὴ σὺ μὲν αὐτὸς 515
ἄρτι ἄρχει πράττειν τὰ τῆς πόλεως πράγματα, ἐμὲ δὲ παρακαλεῖς καὶ ὀνειδίζεις ὅτι οὐ πράττω, οὐκ ἐπισκεψόμεθα ἀλλήλους, φέρε, Καλλικλῆς ἤδη τινὰ βελτίω πεποίηκε τῶν πολιτῶν; ἔστιν ὅστις πρότερον πονηρὸς ὤν, ἄδικός τε καὶ ἀκόλαστος καὶ ἄφρων, διὰ Καλλικλέα καλός τε κἀγαθὸς γέγονεν, ἢ ξένος ἢ ἀστός, ἢ δοῦλος ἢ ἐλεύθερος; λέγε μοι, B
ἐάν τίς σε ταῦτα ἐξετάζῃ, ὦ Καλλίκλεις, τί ἐρεῖς; τίνα φήσεις βελτίω πεποιηκέναι ἄνθρωπον τῇ συνουσίᾳ τῇ σῇ;-

οὗτον βαθμὸν ἀνοίας;» Καὶ ἡμεῖς μεταχειριζόμεθα ὁμοίως τὸ *ἄνθρωπος* ἀντὶ ὡρισμένου προσώπου ἐν ὁμοίαις περιστάσεσιν. Ἄνθρωπε, ποῦ κατήντησες! Ποῦ ἠκούσθη ἄνθρωπος νὰ δέρνῃ τὸν πατέρα του;

1 *ὥστε, πρὶν ἰδιωτεύοντας* κ. τ. λ. Σύμπλεκε ὧδε· «ὥστε, πρίν, ἰδιωτεύοντας, πολλὰ μὲν ποιῆσαι ὅπως ἐτύχομεν, πολλὰ δὲ κατορθῶσαι, καὶ γυμνάσασθαι ἱκανῶς τὴν τέχνην, ἐπιχειρεῖν μανθάνειν τὴν κεραμείαν ἐν τῷ πίθῳ, τὸ λεγόμενον δὴ τοῦτο». Ἀνάφερε λοιπὸν τὸ μὲν *ὥστε* εἰς τὸ ἐπιχειρεῖν, τὸ δὲ *πρὶν* εἰς τὸ ποιῆσαι κ. τ. λ. Ὑποκείμενον τῶν ἀπαρεμφάτων εἶνε τὸ *ἡμᾶς*, διότι καὶ τὸ *ἀνθρώπους* ἀντὶ τοῦ *ἡμᾶς* ἐτέθη. Τὸ *ἰδιωτεύοντας* χρον. μετ. ἐν ᾧ ἰδιωτεύομεν, πρὶν ἐπιχειρήσωμεν δημοσιεύειν. Τὸ *ὅπως ἐτύχομεν* προσωπ. ἀντὶ *ὅπως ἔτυχεν*, ὅπως ἡ τύχη τὰ ἔφερε. Τὸ *κατορθῶσαι* = ὀρθῶς ποιῆσαι. Τὸ *γυμνάσασθαι τὴν τέχνην* = γυμνάσαι ἑαυτὸν ἐν τῇ τέχνῃ· μαθεῖν τὴν τέχνην διὰ γυμνασίας. Τὸ «*ἐν τῷ πίθῳ τὴν κεραμείαν μανθάνειν*» ἦτο παροιμιῶδες περὶ τῶν ἐπιχειρούντων εὐθὺς ἐπὶ τὰ μεγάλα καὶ τίμια πρὶν γυμνασθῶσιν ἱκανῶς ἐν μικροῖς καὶ εὐτελέσιν. Ὁ πίθος ἦτο σκεῦος ὀγκῶδες καὶ δυσμεταχείριστον· ἡ ἀποτυχία λοιπὸν τοῦ ἔτι ἀπείρου κεραμέως ἦτο βεβαία, καὶ ἡ ἐκ τῆς θραύσεως ζημία σχετικῶς μεγάλη.

5 *οὐκ ἀνόητόν* σοι *δοκεῖ ἂν εἶναι οὕτω πράττειν;* Τὸ *οὕτω πράττειν*, ὅπερ ἐτέθη ὡς ὑποκ. τοῦ *δοκεῖ εἶναι*, εἶνε ἅμα ἡ προβληματώδης ὑπόθεσις, ἧς ἀπόδοσις τὸ *δοκεῖ ἂν εἶναι ἀνόητον*· «εἴ τις οὕτω πράττοι, οὐκ ἂν εἴη ἀνόητον πρᾶγμα;»

8 *σὺ μὲν αὐτός*. Τὸ *αὐτὸς* διὰ τὴν ἀντίθεσιν πρὸς τὸ ἑπόμενον *ἐμέ*· *ἐμὲ δὲ παρακαλεῖς*. Ἐξυπάκουε: *πράξοντα*, ἢ *ἐπὶ τὸ πράττειν*.

12 *πονηρὸς ὤν*. Τὰ ἐπιφερόμενα: *ἄδικός τε καὶ ἀκόλαστος καὶ ἄφρων*,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὀκνεῖς ἀποκρίνασθαι, εἴπερ ἔστι τι ἔργον σὸν ἔτι ἰδιωτεύοντος, πρὶν δημοσιεύειν ἐπιχειρεῖν;

ΚΑΛ. Φιλόνικος εἶ, ὦ Σώκρατες.

ΟΑ΄. ΣΩ. Ἀλλ' οὐ φιλονικίᾳ γε ἐρωτῶ, ἀλλ' ὡς ἀληθῶς βουλόμενος εἰδέναι, ὅντινά ποτε τρόπον οἴει δεῖν πολιτεύεσθαι ἐν ἡμῖν, εἰ ἄλλου του ἄρα ἐπιμελήσει ἡμῖν ἐλ-
C θὼν ἐπὶ τὰ τῆς πόλεως πράγματα, ἢ ὅπως ὅ τι βέλτιστοι πολῖται ὦμεν· ἢ οὐ πολλάκις ἤδη ὡμολογήκαμεν τοῦτο δεῖν πράττειν τὸν πολιτικὸν ἄνδρα; ὡμολογήκαμεν ἢ οὔ; ἀποκρίνου.—ὡμολογήκαμεν· ἐγὼ ὑπὲρ σοῦ ἀποκρινοῦμαι. εἰ τοίνυν τοῦτο δεῖ τὸν ἀγαθὸν ἄνδρα παρασκευάζειν τῇ ἑαυτοῦ πόλει, νῦν μοι ἀναμνησθεὶς εἰπὲ περὶ ἐκείνων τῶν ἀνδρῶν ὧν ὀλίγῳ πρότερον ἔλεγες, εἰ ἔτι σοι δοκοῦ-
D σιν ἀγαθοὶ πολῖται γεγονέναι, Περικλῆς καὶ Κίμων καὶ Μιλτιάδης καὶ Θεμιστοκλῆς.

ΚΑΛ. Ἔμοιγε.

ΣΩ. Οὐκοῦν εἴπερ ἀγαθοί, δῆλον ὅτι ἕκαστος αὐτῶν βελτίους ἐποίει τοὺς πολίτας ἀντὶ χειρόνων. ἐποίει ἢ οὔ;

ΚΑΛ. Ναί.

ἀνάπτυξις τοῦ *πονηρός*· καταλέγει τὰ τρία κυριώτατα τῆς πονηρίας εἴδη, τὰ ἐναντία τῆς δικαιοσύνης, τῆς σωφροσύνης καὶ τῆς φρονήσεως, ἅτινα ἦσαν τὰ τρία κυριώτατα εἴδη τῆς ἀρετῆς.

1 *Ὀκνεῖς ἀποκρίνασθαι.* Ὑποτίθεται παῦσις προηγηθεῖσα. Τῷ ὄντι ὁ Σωκ. ἐσκλήρυνε τοῦ αἰτήσασθαι, ἀπαιτῶν νὰ ὁμολογήσῃ αὐτὸς ὁ Καλλ. ὅτι οὐδένα πώποτε ὠφέλησεν ἠθικὴν ὠφέλειαν.

3 *Φιλόνικος εἶ, ὦ Σώκ.* Φιλεῖς δηλ. νὰ ἐπιδεικνύῃς νὰ ᾄδῃς τὴν νίκην σου, ὁμολογοῦντος ἐμοῦ τὴν ἧττάν μου.

12 *νῦν μοι ἀναμνησθεὶς εἰπέ.* Ἀναλαμβάνει τον λόγον τὸν περὶ τῶν ἐξόχων πολιτικῶν, τὸν διακοπέντα ἐν σελ. 503 d, ὅπου ἐπεχείρησε νὰ διατυπώσῃ τὸν γνώμονα τῆς κρίσεως αὐτῶν, καὶ νῦν μόλις κατώρθωσε τοῦτο μετὰ πολλὰς ἀντιστάσεις, διακοπὰς καὶ ἄλλα δυσχεράσματα τοῦ Καλλ.

*περὶ των ἀνδρῶν — Περικλῆς καὶ Κίμων* κ.τ.λ. Ἀντί: *περὶ Περικλέους καὶ Κίμωνος* κ. τ. λ. Συνεφώνησαν πρὸς τὴν πτῶσιν ἣν ἀπαιτεῖ ἡ πλαγία ἐρώτησις, ἂν καὶ ἀνήκουσιν εἰς τὴν κυρίαν πρότασιν. Πρβλ. Ἀπολ. 41 a.

17 *βελτίους ἐποίει τοὺς πολίτας ἀντὶ χειρόνων.* Ἡ συνήθης βραχυλογία = ἀντὶ τοῦ ποιεῖν αὐτοὺς χείρονας. Δὲν κεῖται ἡ *ἀντὶ* ἀντὶ τῆς *ἐκ*· δὲν λέγει ὅτι τοὺς πολίτας, χείρους ὄντας πρότερον, ἐποίουν βελτίους, ἀλλὰ λέγει· τοὺς πολίτας, ὄντας οἷοι ἔτυχον, ἐποίουν βελτίους, οὐχὶ χείρους. Ὅρα πρκβλ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΩ. Οὐκοῦν ὅτε Περικλῆς ἤρχετο λέγειν ἐν τῷ δήμῳ, χείρους ἦσαν οἱ Ἀθηναῖοι ἢ ὅτε τὰ τελευταῖα ἔλεγεν.

ΚΑΛ. Ἴσως.

ΣΩ. Οὐκ ἴσως [δή], ὦ βέλτιστε, ἀλλ' ἀνάγκη ἐκ τῶν ὡμολογημένων, εἴπερ ἀγαθός γ' ἦν ἐκεῖνος πολίτης. E

ΚΑΛ. Τί οὖν δή;

ΣΩ. Οὐδέν· ἀλλὰ τόδε μοι εἰπὲ ἐπὶ τούτῳ, εἰ λέγονται Ἀθηναῖοι διὰ Περικλέα βελτίους γεγονέναι, ἢ πᾶν τοὐναντίον, διαφθαρῆναι ὑπ' ἐκείνου. ταυτὶ γὰρ ἔγωγε ἀκούω, Περικλέα πεποιηκέναι Ἀθηναίους ἀργοὺς καὶ δειλοὺς καὶ λάλους καὶ φιλαργύρους, εἰς μισθοφορίαν πρῶτον καταστήσαντα.

ΚΑΛ. Τῶν τὰ ὦτα κατεαγότων ἀκούεις ταῦτα, ὦ Σώκρατες.

1 *ὅτε Περ. ἤρχετο λέγειν*. Παρατατ. τοῦ *ἄρχομαι*, οὐχὶ τοῦ *ἔρχομαι!*

2 *ἢ ὅτε τὰ τελευταῖα ἔλεγεν*. Τὰ *τελευταῖα* χρον. προσδ. = κατὰ τοὺς τελευταίους χρόνους τοῦ πολιτικοῦ του σταδίου. Ἱππ. Μ. 282 c: «Πρόδικος πολλάκις μὲν καὶ ἄλλοτε δημοσίᾳ ἀφίκετο, ἀτὰρ τὰ τελευταῖα ἔναγχος ἀφικόμενος κ. τ. λ.»

4 *Οὐκ ἴσως — ἀλλ' ἀνάγκη*. Συμπλήρου ὧδε· Οὐκ ἴσως ἦσαν χείρους, ἀλλ' ἀνάγκη εἶναι τότε χείρους.

10 *πεποιηκέναι Ἀθ. ἀργοὺς καὶ δειλοὺς καὶ λάλους καὶ φιλαργύρους*. Ἀργοὺς μέν, καθ' ὅτι μέγα πλῆθος πολιτῶν προετίμων τὸν εὐτελῆ δικαστ. μισθὸν τῶν ἐκ τῆς γεωργίας καὶ τεχνουργίας κερδῶν· διότι ἐκεῖνος ἐπορίζετο ἀνετώτερον καὶ ἀπραγμονέστερον. Δειλοὺς δέ, καθ' ὅτι ὁ Περικ. ἰδίως κατὰ τὴν ἔναρξιν τοῦ πολέμου ἀπέτρεπε τοὺς Ἀθηναίους νὰ ἐξέρχωνται τῶν τειχῶν καὶ νὰ συνάπτωσι μάχην ἐκ τοῦ συστάδην πρὸς τοὺς πολεμίους. Λάλους δέ, καθ' ὅτι τὸ λάλον εἶνε φυσικὸν παρακολούθημα λαοῦ καὶ ἄλλως μὲν φιλολόγου, ἤδη δὲ καὶ ὡς ἐπὶ τὸ πολὺ σχολάζοντος. Φιλαργύρους δέ, καθ' ὅ τι ἐθισθέντων τῶν πολιτῶν νὰ λαμβάνωσι μισθὸν ἐκ τοῦ πλουσίου δημοσίου ταμιείου, διὰ πᾶσαν δημοσίαν ὑπηρεσίαν, ἐξέλιπεν ἐκ μὲν τῶν πλουσίων ἡ μεγαλοφροσύνη καὶ ἡ ἐλευθεριότης ἐκείνη, ἥτις πρότερον ἤλαυνε τοὺς Ἀθηναίους εἰς ἅμιλλαν τοῦ τίς νὰ ὑπερβάλῃ τὸν ἕτερον δαπανῶν ὑπὲρ δημοσίων λειτουργιῶν, ἐκ δὲ τοῦ πλήθους τὸ εὐγενὲς αἴσθημα τοῦ ὑπηρετεῖν τὴν πατρίδα ἀφιλοκερδῶς. Δῆλον ὅτι μετά τινος ὑπερβολῆς κατηγοροῦνται πάντα ταῦτα Περικλέους.

11 *εἰς μισθοφορίαν πρῶτον καταστήσαντα*. Ἡ μετοχ. προσδιορίζει τροπικῶς καὶ αἰτιολογικῶς οὐχὶ πάντα ὅσων ἀποφαίνει αἴτιον τὸν Περικλέα, ἀλλὰ μόνον τὸ τελευταῖον, τὴν φιλαργυρίαν. Τὸ *πρῶτον* αἰτιατ. ἀρσεν. γένους· *τὸν Περικλέα πρῶτον*. Μαρτυρεῖ καὶ Ἀριστοτέλης λέγων: «τὰ δὲ δικαστήρια μισθοφόρα κατέστησε Περικλῆς.» Περὶ τοῦ δικαστ. μισθοῦ ὅρα εἰσαγ. εἰς Ἀπολογ. σελ. 39.

13 *Τῶν τὰ ὦτα κατεαγότων*. Νοεῖ τοὺς λακωνίζοντας, ὧν ὁ θαυμασμὸς

ΣΩ. Ἀλλὰ τάδε οὐκέτι ἀκούω, ἀλλὰ οἶδα σαφῶς καὶ ἐγὼ καὶ σύ, ὅτι τὸ μὲν πρῶτον ηὐδοκίμει Περικλῆς καὶ οὐδεμίαν αἰσχρὰν δίκην κατεψηφίσαντο αὐτοῦ Ἀθηναῖοι, ἡνίκα χείρους ἦσαν· ἐπειδὴ δὲ καλοὶ κἀγαθοὶ ἐγεγόνεσαν
516 ὑπ' αὐτοῦ, ἐπὶ τελευτῇ τοῦ βίου τοῦ Περικλέους, κλοπὴν αὐτοῦ κατεψηφίσαντο, ὀλίγου δὲ καὶ θανάτου ἐτίμησαν, δῆλον ὅτι ὡς πονηροῦ ὄντος.

ΟΒ'. ΚΑΛ. Τί οὖν; τούτου ἕνεκα κακὸς ἦν Περικλῆς;

ΣΩ. Ὄνων γοῦν ἂν ἐπιμελητὴς καὶ ἵππων καὶ βοῶν τοιοῦτος ὢν κακὸς ἂν ἐδόκει εἶναι, εἰ παραλαβὼν μὴ λακτίζοντας αὐτοὺς μηδὲ κυρίττοντας μηδὲ δάκνοντας ἀπέδειξε ταῦτα ἅπαντα ποιοῦντας δι' ἀγριότητα. ἢ οὐ δοκεῖ σοι κα-

παντὸς σπαρτιατικοῦ προέβαινε μέχρι τοῦ κόπτεσθαι τὰ ὦτα, ἵνα φαίνωνται ἐσκληραγωγημένοι, ὡς οἱ Σπαρτιᾶται. Πρωταγ. 342 b· «νῦν δὲ ἀποκρυψάμενοι ἐκεῖνο, ἐξηπατήκασι τοὺς ἐν ταῖς πόλεσι λακωνίζοντας, καὶ οἱ μὲν ὦτά τε κατάγνυνται μιμούμενοι αὐτούς, καὶ ἱμάντας περιειλίττονται καὶ φιλογυμναστοῦσι καὶ βραχείας ἀναβολὰς φοροῦσιν, ὡς δὴ τούτοις κρατοῦντας τῶν Ἑλλήνων τοὺς Λακεδαιμονίους».

1 *Ἀλλὰ τάδε οὐκέτι ἀκούω*. Διὰ τούτων δηλοῖ ὅτι δὲν ἀποδέχεται πάντα τὰ περὶ Περικ. θρυλούμενα, ἀλλὰ βασίζεται ἐφ' οἷς αὐτὸς ἐξ ἰδίας ἀντιλήψεως καὶ κρίσεως γινώσκει περὶ τοῦ ἀνδρός.

4 *ἡνίκα χείρους ἦσαν· ἐπειδὴ δὲ* κ. τ. λ. Δηλ. *κατὰ τὸν σὸν λόγον*. Εἰρωνικὴ ἀντίφρασις οἵα καὶ ἡ τοῦ Πώλου περὶ Ἀρχελάου 471 a· «νῦν δὲ θαυμασίως ὡς ἄθλιος γέγονε ... οὐκ ἠβουλήθη εὐδαίμων γενέσθαι κ. τ. λ.» Περὶ τοῦ *ἡνίκα* ἔπιθι πρχβλ. εἰς Κρίτ. 43 a.

5 *κλοπὴν αὐτοῦ κατεψηφίσαντο*. Καταψηφίζομαί τινος, ἢ τινός τι. Ἡ αἰτιατ. τὶ ἐνδέχεται νὰ σημαίνῃ τὸ ἔγκλημα ὡς ἐνταῦθα, ἄλλοτε δὲ τὴν ποινήν, οἷον θάνατον, φυγὴν κ. τ. τ. Ἀπολ. 38 d. Παθητικῶς εὕρηται: *καταψηφίζεταί τις θανάτου ἢ φυγῆς* (Πολ. 558 a), ἔνθα ἡ γεν. θανάτου ἐτέθη, ὡς ἐγγίζοντος τοῦ παθ. καταψηφίζεσθαι εἰς τὴν σημασίαν τοῦ παθ. τιμᾶσθαι (θανάτου). Μόνον δὲ ἐν τῷ (μὴ γνησίῳ) Πολιτικῷ 299 a, εὕρηται: καταψηφίζεται τινί τι (ἔγκλημα), ὡς ἂν ἤθελεν εἴπει ἐν τῷ προκειμένῳ «κατεψηφίσθη Περικλεῖ κλοπή».

7 *δῆλον ὅτι ὡς πονηροῦ ὄντος*. Τὸ δηλονότι ἐπίρρ.

9 *Ὄνων γοῦν*. Περὶ τοῦ *γοῦν* πρβλ. 447 c.

*τοιοῦτος ὤν*. Ὑποθετ. μετοχ. ἣν κατόπιν ἀναπτύσσει διὰ τῆς ὑποθετ. προτ. «εἰ παραλαβὼν κ. τ. λ.»

10 *μὴ λακτίζοντας μηδὲ κυρίττοντας μηδὲ δάκνοντας*. Λακτίζοντας καὶ δάκνοντας τοὺς ὄνους μόνον, κυρίττοντας τοὺς βοῦς μόνον.

11 *ἀπέδειξε ταῦτα ποιοῦντας*. Ἀποδείκνυμί τι, ἢ ἀποδείκνυμί τινα ποιοῦντά τι = μετὰ μακρὰν καὶ ἀφανῶς γινομένην ἐργασίαν περαίνω καὶ προάγω τι εἰς τὸ φῶς, ἢ παράγω τι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι· συνώνυμον τῷ *ποιεῖν, ἀπεργάζεσθαι, κατασκευάζειν, καθιστάναι, ἀποφαίνειν* κ. τ. τ. Ξενφ. Οἰκον. Ζ', 6· «εἰ μόνον ἦλθεν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κὸς εἶναι ἐπιμελητὴς ὁστισοῦν ὁτουοῦν ζώου, ὃς ἂν παραλαϐὼν ἡμερώτερα ἀποδείξῃ ἀγριώτερα ἢ παρέλαϐε; δοκεῖ ἢ οὔ; B

ΚΑΛ. Πάνυ γε, ἵνα σοι χαρίσωμαι.

ΣΩ. Καὶ τόδε τοίνυν μοι χάρισαι ἀποκρινάμενος· πότερον καὶ ὁ ἄνθρωπος ἓν τῶν ζώων ἐστὶν ἢ οὔ;

ΚΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Οὐκοῦν ἀνθρώπων Περικλῆς ἐπεμέλετο;

ΚΑΛ. Ναί.

ΣΩ. Τί οὖν; οὐκ ἔδει αὐτούς, ὡς ἄρτι ὡμολογοῦμεν, δικαιοτέρους γεγονέναι ἀντὶ ἀδικωτέρων ὑπ᾽ ἐκείνου, εἴπερ ἐκεῖνος ἐπεμελεῖτο αὐτῶν ἀγαθὸς ὢν τὰ πολιτικά; C

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν οἵ γε δίκαιοι ἥμεροι, ὡς ἔφη Ὅμηρος· σὺ δὲ τί φῄς; οὐχ οὕτως;

ΚΑΛ. Ναί.

ΣΩ. Ἀλλὰ μὴν ἀγριωτέρους γε αὐτοὺς ἀπέφηνεν ἢ οἵους παρέλαϐε, καὶ ταῦτ᾽ εἰς αὑτόν, ὃ ἥκιστ᾽ ἂν ἐϐούλετο.

ΚΑΛ. Βούλει σοι ὁμολογήσω;

ΣΩ. Εἰ δοκῶ γέ σοι ἀληθῆ λέγειν.

ΚΑΛ. Ἔστω δὴ ταῦτα. D

ΣΩ. Οὐκοῦν εἴπερ ἀγριωτέρους, ἀδικωτέρους τε καὶ χείρους;

ΚΑΛ. Ἔστω.

ΣΩ. Οὐκ ἄρ᾽ ἀγαθὸς τὰ πολιτικὰ Περικλῆς ἦν ἐκ τούτου τοῦ λόγου.

ἐπισταμένη, ἔρια παραλαϐοῦσα, ἱμάτιον ἀποδεῖξαι». Κύρ. Ἀνάϐ. Α', 1· «καὶ στρατηγὸν δὲ αὐτὸν ἀπέδειξε». Καὶ μέσως: Νόμ. 783 d· «ὡς ὅτι καλλίστους ἀποδειξομένους παῖδας τῇ πόλει».

2 *ἀγριώτερα ἢ παρέλαβε* = ἀγριώτερα ἢ οἷα παρέλαϐεν· ἢ πληρέστερον: ἢ οἷα ἦν ὅτε παρέλαϐε.

14 *οἵ γε δίκαιοι ἥμεροι, ὡς ἔφη Ὅμηρος.* Αἰνίττεται εἰς τὸ συχνάκις παρ' Ὁμ. ἀπαντῶν (Ὀδ. Ζ. 120)·
Ἦ ῥ' οἵ γ' ὑϐρισταί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι,
Ἠὲ φιλόξεινοι καί σφι νόος ἐστὶ θεουδής.

25 *Οὐκ ἄρ' ἀγαθὸς — ἦν ἐκ τούτου τοῦ λόγου*· τοῦ λέγοντος ὅτι ὁ ἀγαθὸς

ΚΑΛ. Οὐ σύ γε φῄς.

ΣΩ. Μὰ Δί' οὐδέ γε σὺ ἐξ ὧν ὡμολόγεις. πάλιν δὲ λέγε μοι περὶ Κίμωνος· οὐκ ἐξωστράκισαν αὐτὸν οὗτοι οὓς ἐθεράπευεν, ἵνα αὐτοῦ δέκα ἐτῶν μὴ ἀκούσειαν τῆς φωνῆς; καὶ Θεμιστοκλέα ταὐτὰ ταῦτα ἐποίησαν καὶ φυγῇ προσε- E ζημίωσαν; Μιλτιάδην δὲ τὸν ἐν Μαραθῶνι εἰς τὸ βάραθρον ἐμβαλεῖν ἐψηφίσαντο, καὶ εἰ μὴ διὰ τὸν πρύτανιν, ἐνέπεσεν ἄν; καίτοι οὗτοι, εἰ ἦσαν ἄνδρες ἀγαθοί, ὡς σὺ φῄς, οὐκ ἄν ποτε ταῦτα ἔπασχον. οὔκουν οἵ γε ἀγαθοὶ ἡνίοχοι κατ' ἀρχὰς μὲν οὐκ ἐκπίπτουσιν ἐκ τῶν ζευγῶν, ἐπειδὰν δὲ θεραπεύσωσι τοὺς ἵππους καὶ αὐτοὶ ἀμείνους γένωνται

πολιτικός ἀποδεικνύει βελτίους τοὺς πολίτας. Τὸ *ἐκ τούτου* δύναται ἐνταῦθα συντακτικῶς ὅ τι τό ἐν σελ. 512 c· «ἐξ ὧν τὰ σαυτοῦ ἐπαινεῖς».

3 *Οὐκ ἐξωστράκισαν*. Ὁ ὀστρακισμὸς ἦτο ἐξορία ἐκ τῆς πόλεως ἐπιφανοῦς προσώπου, ὑπόπτου ὄντος ὡς ἐπικινδύνου εἰς τὴν πολιτείαν. Ἡ ἐξορία ἦτο δεκαετής, ἐκτὸς ἂν ἐν τῷ μεταξὺ ἀνεκαλεῖτο. Ὁ ἐξοστρακιζόμενος οὐδὲν ἄλλο κακὸν ἔπασχε, πλὴν τῆς στερήσεως τῆς πατρίδος.

*οὓς ἐθεράπευεν*. Ἐξαιρέτως φημίζεται ὁ Κίμων ὡς φιλανθρωπότατος, καίπερ ἔχων ἀριστοκρατικὰ φρονήματα.

5 *καὶ Θεμιστοκλέα ταὐτὰ ταῦτα ἐποίησαν*. Ποιῶ τινα ἀγαθόν ἢ κακόν τι. Ἐνταῦθα *ταὐτὰ ταῦτα*, τὰ κακὰ δηλ. Συμπ. 222 b· «καὶ μέντοι οὐκ ἐμὲ μόνον ταῦτα πεποίηκεν»· ταῦτα τὰ ὑβριστικά.

*καὶ φυγῇ προσεζημίωσαν*· πρὸς τῷ ὀστρακισμῷ. Ἡ φυγὴ ἦτο ποινή, ἐπιβαλλομένη ὑπὸ ποιν. δικαστηρίου. Ὁ καταδικαζόμενος εἰς φυγὴν ἐκηρύσσετο ἄτιμος καὶ ἐδημεύετο ἡ οὐσία του. Εἰς τὸν Θεμιστοκλέα ἐπεβλήθη ἡ ποινὴ αὕτη, μετὰ τὸν ἐξοστρακισμόν, κατηγορηθέντα ὡς συνένοχον τοῦ Παυσανίου ἐπὶ προδοσίᾳ τῆς Ἑλλάδος εἰς τοὺς Πέρσας. Θουκ. Α', 135 ἑξ.

6 *Μιλτιάδην δὲ τὸν ἐν Μαραθῶνι*. Ἐξυπάκουε *στρατηγήσαντα καὶ ἀριστεύσαντα*. Ἡ παράλειψις διὰ τὸ πασίγνωστον καὶ εὐνόητον· ὅπως Ἀριστοτέλης ὁ τῶν Τριάκοντα κ.τ.τ. Ἐνταῦθα ὡς τιμητικὸν ἐπίθετον = τὸν Μαραθώνιον, ὅπως παρὰ Ρωμαίοις τὰ Scipio Africanus κ.τ.τ.

*εἰς τὸ βάραθρον*. Τίμ. ἐν λεξ. «Βάραθρον, ὄρυγμα φρέατι ὅμοιον, ἔνθα οἱ καταδικασθέντες ἐβάλλοντο».

7 *εἰ μὴ διὰ τὸν πρύτανιν, ἐνέπεσεν ἄν*; Ἐλλειπτικὴ πρότ. ὑποθετική. Ἐξυπακουστέον, ὡς ῥῆμα, τὸ ἐναντίον τοῦ τῆς ἀποδόσεως: εἰ μὴ ἐματαιοῦτο τὸ ψηφισθέν, διὰ τὸν πρύτανιν, ἐνέπεσεν ἄν. Ἰσοκρ. Φίλιπ. § 192· «Φαίνονται γὰρ κἀκεῖνοι (οἱ μύριοι) κρατήσαντες ἂν τῶν βασιλέως πραγμάτων, εἰ μὴ διὰ Κῦρον» = εἰ μὴ διὰ Κῦρον (διὰ τὸν Κύρου θάνατον) ἀπώλεσαν τὸ κράτος. Θουκ. Β', 18· «καὶ ἐδόκουν οἱ Πελοποννήσιοι ἐπελθόντες ἂν διὰ τάχους πάντα ἔτι ἔξω καταλαβεῖν, εἰ μὴ διὰ τὴν ἐκείνου μέλλησιν» = εἰ μὴ ἐματαιοῦτο ἡ κατάληψις διὰ τὴν ἀργοπορίαν τοῦ Ἀρχιδάμου.

9 *οὔκουν οἵ γε ἀγαθοὶ ἡνίοχοι — τότ' ἐκπίπτουσιν*. Πρβλ. σελ. 512 a, καὶ Ἀπολ. 28 e.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡνίοχοι, τότ᾽ ἐκπίπτουσιν· οὐκ ἔστι ταῦτ᾽ οὔτ᾽ ἐν ἡνιοχείᾳ οὔτ᾽ ἐν ἄλλῳ ἔργῳ οὐδενί· ἢ δοκεῖ σοι;

ΚΑΛ. Οὐκ ἔμοιγε.

ΣΩ. Ἀληθεῖς ἄρα, ὡς ἔοικεν, οἱ ἔμπροσθεν λόγοι ἦσαν, ὅτι οὐδένα ἡμεῖς ἴσμεν ἄνδρα ἀγαθὸν γεγονότα τὰ πολι- 517 τικὰ ἐν τῇδε τῇ πόλει. σὺ δὲ ὡμολόγεις τῶν γε νῦν οὐδένα, τῶν μέντοι ἔμπροσθεν, καὶ προείλου τούτους τοὺς ἄνδρας· οὗτοι δὲ ἀνεφάνησαν ἐξ ἴσου τοῖς νῦν ὄντες, ὥστε, εἰ οὗτοι ῥήτορες ἦσαν, οὔτε τῇ ἀληθινῇ ῥητορικῇ ἐχρῶντο — οὐ γὰρ ἂν ἐξέπεσον — οὔτε τῇ κολακικῇ.

ΟΓʹ. ΚΑΛ. Ἀλλὰ μέντοι πολλοῦ γε δεῖ, ὦ Σώκρατες, μή ποτέ τις τῶν νῦν ἔργα τοιαῦτα ἐργάσηται, οἷα τούτων ὃς βούλει εἴργασται. B

ΣΩ. Ὦ δαιμόνιε, οὐδ᾽ ἐγὼ ψέγω τούτους ὥς γε διακόνους εἶναι πόλεως, ἀλλά μοι δοκοῦσι τῶν γε νῦν διακονικώτεροι γεγονέναι καὶ μᾶλλον οἷοί τε ἐκπορίζειν τῇ πόλει ὧν ἐπεθύμει· ἀλλὰ γὰρ μεταβιβάζειν τὰς ἐπιθυμίας καὶ μὴ ἐπιτρέπειν, πείθοντες καὶ βιαζόμενοι ἐπὶ τοῦτο, ὅθεν ἔμελ-

4 *οἱ ἔμπροσθεν λόγοι*· οἱ ἐν σελ. 503 b-d.

7 *τῶν μέντοι ἔμπροσθεν*. Ἐκ τοῦ *ὡμολόγεις* νόει κατα ζεῦγμα τὸ *ἔφασκες*, καὶ συμπλήρου· *γεγονέναι τινάς, ἢ πολλούς*.

8 *ἀνεφάνησαν ἐξ ἴσου τοῖς νῦν ὄντες* = ὄντες ἴσης ἀξίας.

9 *οὔτε τῇ ἀληθινῇ—οὔτε τῇ κολακικῇ*. Πλῆρες τὸ νόημα τοῦ Σωκ. ἐκφερόμενον θὰ εἶχεν ὧδε· «οὔτε τῇ ἀληθινῇ ῥητορικῇ ἐχρῶντο· ταύτῃ γὰρ ἂν βελτίους τοὺς πολίτας ἐποίουν, καὶ οὐκ ἂν ἐξέπιπτον ὑπ᾽ αὐτῶν· οὔτε τῇ κολακικῇ· ἦσαν γὰρ ἂν προσφιλεῖς τοῖς πολίταις, πρὸς ἡδονὴν ὁμιλοῦντες αὐτοῖς».

11 *πολλοῦ γε δεῖ — μή ποτέ τις*. Ἀξιοσημείωτος ἡ σύνταξις τοῦ *πολλοῦ γε δεῖ* μετὰ προτάσεως ἀρχομένης ἀπὸ τοῦ *μή*, ὡς φόβου σημαντικοῦ, ὡς εἰ ἔλεγεν, οὐδεὶς φόβος, ἢ οὐδεμία ἐλπίς, ἢ ὡς ἐν τῇ Ἀπολ. 28 b, «οὐδὲν δεινόν, μή ποτέ τις κ. τ. λ.»

12 *οἷα τούτων ὃς βούλει εἴργασται*. Ὅρα πρχδλ. εἰς σελ. 456 b.

14 *ὥς γε διακόνους εἶναι πόλεως* = δὲν ψέγω τούτους, καθὸ διακόνους, κατὰ τὴν ἰδιότητα διακόνων.

17 *ἀλλὰ γάρ*. Ἔπιθι πρχδλ. εἰς σελ. 448 d. Θὰ ἠδυνάμεθα νὰ συμπληρώσωμεν ὧδε· «Ἀλλ᾽ οὐ τούτου ἕνεκέν εἰσιν ἄξιοι ἐπαινεῖσθαι· μεταβιβάζειν γάρ . . . οὐδὲν τούτων διέφερον ἐκεῖνοι».

*μεταβιβάζειν τὰς ἐπιθυμίας* = τρέπειν τας (ἐμφύτους) ἐπιθυμίας ἐπὶ εὐγενέστερα καὶ ἀληθῶς ὠφέλιμα ἐπιθυμήματα.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λον ἀμείνους ἔσεσθαι οἱ πολῖται, ὡς ἔπος εἰπεῖν, οὐδὲν
C τούτων διέφερον ἐκεῖνοι· ὅπερ μόνον ἔργον ἐστὶν ἀγαθοῦ πολίτου. ναῦς δὲ καὶ τείχη καὶ νεώρια καὶ ἄλλα πολλὰ τοιαῦτα καὶ ἐγώ σοι ὁμολογῶ δεινοτέρους εἶναι ἐκείνους τούτων ἐκπορίζειν. πρᾶγμα οὖν γελοῖον ποιοῦμεν ἐγώ τε καὶ σὺ ἐν τοῖς λόγοις· ἐν παντὶ γὰρ τῷ χρόνῳ, ὃν διαλεγόμεθα, οὐδὲν παυόμεθα εἰς τὸ αὐτὸ ἀεὶ περιφερόμενοι καὶ ἀγνοοῦντες ἀλλήλων ὅτι λέγομεν. ἐγὼ γοῦν σε πολλάκις οἶμαι ὡμολογηκέναι καὶ ἐγνωκέναι, ὡς ἄρα διττὴ
D αὕτη τις ἡ πραγματεία ἐστὶ καὶ περὶ τὸ σῶμα καὶ περὶ τὴν ψυχήν, καὶ ἡ μὲν ἑτέρα διακονική ἐστιν, ᾗ δυνατὸν εἶναι ἐκπορίζειν, ἐὰν μὲν πεινῇ τὰ σώματα ἡμῶν, σιτία, ἐὰν δὲ διψῇ, ποτά, ἐὰν δὲ ῥιγῷ, ἱμάτια, στρώματα, ὑποδήματα, ἄλλ' ὧν ἔρχεται σώματα εἰς ἐπιθυμίαν· καὶ ἐξεπίτηδές σοι

5 *πρᾶγμα οὖν γελοῖον*. Συγγραφικὸν τέχνασμα τοῦ Πλ. ἵνα λάβῃ ἀφορμὴν νὰ ἐπαναλάβῃ καὶ σαφέστερον καταστήσῃ τὸν γνώμονα, πρὸς ὃν κρίνει τοὺς ἄνδρας.

7 *οὐδὲν παυόμεθα*. Τὸ *οὐδὲν* ἐνταῦθα σχεδὸν ἰσοδύναμον τῷ ἡμετέρῳ *δέν*, προελθὸν ἐκ τοιαύτης ἐκείνου χρήσεως.

8 *ἀγνοοῦντες ἀλλήλων ὅ τι λέγομεν*. Ἐπειδὴ τὸ *ὅ τι λέγομεν* = τοὺς λόγους, οὕτως ἐτέθη ἡ γεν. *ἀλλήλων* ὡς νὰ εἶχε πράγματι θέσει τοὺς λόγους. Πρβλ. 463 d.

11 *ᾗ δυνατὸν εἶναι ἐκπορίζειν*. Ἀξιοσημείωτος ἀνακολουθία. Ὅταν ἐν τῇ κυρίᾳ προτάσει ὑπάρχῃ ῥῆμα λεκτικὸν ἢ δοξαστικόν, ἐξ αὐτοῦ δὲ ἐξαρτᾶται ἀπαρέμφατον, ἐπιφέρηται δὲ πρότασις προσδιοριστικὴ τοῦ διὰ τῆς ἀπαρεμφατικῆς προτάσεως σημαινομένου, ἡ πρότασις ἐκφέρεται ὡσαύτως κατ' ἀπαρέμφατον, ὅταν δὲν τὴν οἰκειοποιῆται ὁ συγγραφεύς, ἀλλὰ τὴν παριστᾷ καὶ αὐτὴν ὡς γνώμην ἢ λόγον τοῦ δοξάζοντος ἢ λέγοντος. Οὕτω συμβαίνει, προτάσεις ἀναφορ. ἢ αἰτιολ. ἢ χρον. νὰ ἐκφέρωνται κατ' ἀπαρέμφ. Ἀρκοῦμαι εἰς ἓν παράδειγμα Ξνφ. Ἑλλ. Β', α' 26· «οἱ δὲ στρατηγοὶ ἀπιέναι αὐτὸν ἐκέλευσαν· αὐτοὶ γὰρ νῦν στρατηγεῖν οὐκ ἐκεῖνον»· δηλ. πρὸς τῇ κελεύσει προσεῖπον καὶ ταῦτα. Ἂν ἔλεγεν: «αὐτοὶ γὰρ ἐστρατήγουν, οὐκ ἐκεῖνος», θὰ ἦτο γνώμη αὐτοῦ τοῦ Ξνφ. Κατὰ ταῦτα λοιπὸν ἐτέθη καὶ ἐν τῷ προκειμένῳ, ἐν ἀναφορ. προτάσει ἀπαρέμφατον, ὡς ἐξηρτημένον ἐκ τοῦ οἶμαί σε ὡμολογηκέναι, ὡς γνώμη τοῦ Καλλ. Τὸ ἀνακόλουθον δὲν κεῖται ἐν τούτῳ, ἀλλ' ἐν τῷδε, ὅτι ἐκ τοῦ *ὡμολογηκέναι* δὲν ἐξήρτησεν ἀπαρεμφατικὴν πρότασιν, ἀλλ' εἰδ. λόγον διὰ τοῦ *ὡς* καὶ ὁριστ., δὲν ἠδύνατο λοιπὸν ἀκολούθως ἐν τῇ προσδιοριστικῇ νὰ θέσῃ ἀπαρέμφ. ἀλλ' ὁριστικήν, παραλαμβανομένου τοῦ *ὡς*· «καὶ ὡς ἡ ἑτέρα διακονική ἐστιν, ᾗ δυνατόν ἐστιν ἐκπορίζειν κ. τ. λ.»

13 *ἐὰν δὲ ῥιγῷ* ἀντὶ τοῦ *ῥιγοῖ* ὅπερ κεῖται ἐν Φαίδ. 85 a. Ἀμφότερα ἐκ θέματος *ῥιγόω*, ἀντὶ τοῦ παρ' Ὁμ. *ῥιγέω*.

14 *ἄλλ' ὧν ἔρχεται σώματα εἰς ἐπι-*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διὰ τῶν αὐτῶν εἰκόνων λέγω, ἵνα ῥᾷον καταμάθῃς. τούτων γὰρ ποριστικὸν εἶναι ἢ κάπηλον ὄντα ἢ ἔμπορον ἢ δημιουργόν του αὐτῶν τούτων, σιτοποιὸν ἢ ὀψοποιὸν ἢ ὑφάντην ἢ σκυτοτόμον ἢ σκυτοδεψόν, οὐδὲν θαυμαστόν ἐστιν E ὄντα τοιοῦτον δόξαι καὶ αὑτῷ καὶ τοῖς ἄλλοις θεραπευτὴν εἶναι σώματος, παντὶ τῷ μὴ εἰδότι ὅτι ἔστι τις παρὰ ταύτας ἁπάσας τέχνη γυμναστική τε καὶ ἰατρική, ἣ δὴ τῷ ὄντι ἐστὶ σώματος θεραπεία, ἥνπερ καὶ προσήκει τούτων ἄρχειν πασῶν τῶν τεχνῶν καὶ χρῆσθαι τοῖς τούτων ἔργοις διὰ τὸ εἰδέναι ὅ τι τὸ χρηστὸν καὶ πονηρὸν τῶν σιτίων ἢ ποτῶν ἐστιν εἰς ἀρετὴν σώματος, τὰς δ' ἄλλας πάσας ταύ- 518 τας ἀγνοεῖν· διὸ δὴ καὶ ταύτας μὲν δουλοπρεπεῖς τε καὶ διακονικὰς καὶ ἀνελευθέρους εἶναι περὶ σώματος πραγματείαν, τὰς ἄλλας τέχνας, τὴν δὲ γυμναστικὴν καὶ ἰατρικὴν κατὰ τὸ δίκαιον δεσποίνας εἶναι τούτων. ταὐτὰ οὖν

*θυμίαν*. Τὸ *ἄλλα* ἐξάρτα ἀμέσως ἐκ τοῦ *ἐκπορίζειν*, χωρὶς νὰ προσυπακούηται καὶ ἡ ὑποθ. πρότασις *ἐὰν δὲ ῥιγῷ*.

1 *τούτων γὰρ ποριστικὸν εἶναι . . . οὐδὲν θαυμαστόν ἐστιν, ὄντα τοιοῦτον δόξαι . . . θεραπευτὴν εἶναι σώματος*. Εἶνε φανερὸν ὅτι τὸ ἀπαρέμφ. τοῦ: *οὐδὲν θαυμαστόν*, εἶνε τὸ *δόξαι* τὸ δὲ *ὄντα τοιοῦτον* ἐναντ. μετοχ. τοῦ *δόξαι*· τὸ δὲ ἐν ἀρχῇ, *τούτων ποριστικὸν εἶναι*, εἶνε τὸ αὐτὸ καὶ τὸ *ὄντα τοιοῦτον*, ὂν ἀνακεφαλαίωσις ἐκείνου. Ἐνταῦθα κεῖται ἡ ἀνακολουθία· διότι ὅπως τὸ *ὄντα τοιοῦτον* ἐξηνέχθη κατὰ μετοχ., οὕτως ἔπρεπε καὶ τὸ *ποριστικὸν εἶναι*. Μοὶ φαίνεται ὅτι ὁ Πλ. ἐν γνώσει παρέβη τοὺς κανόνας τῆς γλώσσης· διότι τὰ ἑπόμενα *ἢ κάπηλον ὄντα* κ. τ. λ. εἰσὶ μετοχ. προσδιορίζουσαι κατὰ τρόπον τὸ *ποριστικὸν εἶναι*· ἡ σχέσις αὕτη προσδιορίζοντος καὶ προσδιοριζομένου δὲν θὰ ἦτο σαφής, ἂν ἔλεγε *ποριστικὸν ὄντα*.

Κάπηλος, ἔμπορος, δημιουργός, εἶνε τὰ τρία γένη βιοποριστικῶν ἐπαγγελμάτων· ἐπειδὴ δὲ τὸ γ' εἶνε πολυειδές, καταλέγει καὶ τὰ κυριώτατα εἴδη αὐτοῦ: *σιτοποιόν, ὀψοποιὸν* κ.τ.λ. Κάπηλος μὲν εἶνε ὁ μεταπράτης, ὁ παρὰ τοῦ ἐμπόρου ἀγοράζων καὶ μεταπωλῶν *λιανικῶς*. Ἔμπορος δὲ ὁ πορευόμενος κατὰ τοὺς τόπους τῆς παραγωγῆς ἢ καταναλώσεως καὶ ἀγοράζων ἢ πωλῶν *χονδρικῶς*. Δημιουργὸς δὲ ὁ τεχνίτης ὁ κατεργαζόμενος τὰς πρώτας ὕλας. Πολιτ. 371 d· «ἢ οὐ καπήλους καλοῦμεν τοὺς πρὸς ὠνήν τε καὶ πρᾶσιν διακονοῦντας, ἱδρυμένους ἐν ἀγορᾷ;» 371 a· «καὶ δὴ καὶ τῶν ἄλλων διακόνων που τῶν τε εἰσαξόντων καὶ ἐξαξόντων ἕκαστα· οὗτοι δέ εἰσιν οἱ ἔμποροι».

10 *διὰ τὸ εἰδέναι ὅ τι τὸ χρηστὸν καὶ πονηρόν . . . εἰς ἀρετὴν σώματος* = διότι γινώσκουσι τί χρήσιμον καὶ τί βλαβερὸν εἰς τὴν ἀρετὴν (τὴν ὑγίειαν καὶ τὴν εὐεξίαν) τοῦ σώματος.

12 *διὸ δή*. Ὅρα πρχδλ.

14 *τὰς ἄλλας τέχνας*. Παράθεσις πρὸς διασάφησιν τοῦ *καὶ ταύτας*.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταῦτα ὅτι ἔστι καὶ περὶ ψυχήν, τοτὲ μέν μοι δοκεῖς μανθάνειν [ὅτι λέγω] καὶ ὁμολογεῖς ὡς εἰδὼς ὅ τι ἐγὼ λέγω· ἥκεις δὲ ὀλίγον ὕστερον λέγων, ὅτι ἄνθρωποι καλοὶ κἀγα-
B θοὶ γεγόνασι πολῖται ἐν τῇ πόλει, καὶ ἐπειδὰν ἐγὼ ἐρωτῶ οἵτινες, δοκεῖς μοι ὁμοιοτάτους προτείνεσθαι ἀνθρώπους περὶ τὰ πολιτικά, ὥςπερ ἂν εἰ περὶ τὰ γυμναστικὰ ἐμοῦ ἐρωτῶντος, οἵτινες ἀγαθοὶ γεγόνασιν ἢ εἰσὶ σωμάτων θεραπευταί, ἔλεγές μοι πάνυ σπουδάζων, Θεαρίων ὁ ἀρτοκόπος καὶ Μίθαικος ὁ τὴν ὀψοποιίαν συγγεγραφὼς τὴν Σικελικὴν καὶ Σάραμβος ὁ κάπηλος, ὅτι οὗτοι θαυμάσιοι γε-
C γόνασι σωμάτων θεραπευταί, ὁ μὲν ἄρτους θαυμαστοὺς παρασκευάζων, ὁ δὲ ὄψον, ὁ δὲ οἶνον.

ΟΔ'. Ἴσως ἂν οὖν ἠγανάκτεις, εἴ σοι ἔλεγον ἐγὼ ὅτι, ἄνθρωπε, ἐπαΐεις οὐδὲν περὶ γυμναστικῆς· διακόνους μοι λέγεις καὶ ἐπιθυμιῶν παρασκευαστὰς ἀνθρώπους, οὐκ ἐπαΐοντας καλὸν κἀγαθὸν οὐδὲν περὶ αὐτῶν, οἵ, ἂν οὕτω τύχωσιν, ἐμπλήσαντες καὶ παχύναντες τὰ σώματα τῶν

3 *ὅτι ἄνθρωποι καλοὶ κἀγαθοί.* Λάμβανε τὸ *γεγόνασιν* ὡς ὑπαρκτ., τὸ *ἄνθρωποι* ὑποκ. τοῦ *γεγόνασι*· τὸ *καλοὶ κἀγαθοὶ πολῖται* κατηγορ. τοῦ *ἄνθρωποι* παραλειπομένου τοῦ συνδετικοῦ *ὄντες*, ἢ *οἵτινες ἦσαν* = ὅτι ὑπῆρξαν ἐν τῇ πόλει ἄνθρωποι, οἵτινες ἦσαν καλοὶ κἀγαθοὶ πολῖται. Ὅρα παρεκβολάς.

4 *ἐρωτῶ, οἵτινες.* Συμπλ. οἵτινές εἰσιν οὗτοι; Τὸ *οἵτινες* ἀντὶ *τίνες*, οὔσης πλαγίας ἐρωτήσεως.

5 *προτείνεσθαι* = φέρειν εἰς τὸ μέσον καὶ ἐπιδεικνύναι, φέρειν τι ὡς παράδειγμα.

8 *Θεαρίων — ὁ κάπηλος.* Ταῦτα ἐξηνέχθησαν οὕτως, ὥ, να μὴ εἶχε κατὰ νοῦν νὰ ἀποκριθῇ διὰ πλήρους προτάσεως ἐξηρτημένης ἐκ τοῦ *ἔλεγες*, ἀλλὰ μόνον ὡς ἄμεσος ἀπόκρισις εἰς τὴν ἐρώτησιν *οἵτινες*· ὥςτε μετὰ τὸ *κάπηλος* ἠδύνατο νὰ τελειώσῃ ἡ ἀπόκρισις συμπληρουμένη ἐκ τῆς προηγουμένης ἐρωτήσεως.

Θεαρίων Ἀθηναῖος ἀρτοποιὸς περιβόητος. Ὡσαύτως ὁ οἰνοπώλης Σάραμβος. Ὁ Μίχαιθος ἦτο Συρακόσιος· καὶ εἰς τοιοῦτον ἥρμοζεν ἡ συγγραφὴ τοῦ «Ὀψαρτυτικοῦ». Παραθέτομεν καὶ ἓν γεῦμα τῆς συγγραφῆς, παραλαβόντες ἐκ τοῦ Ἀθηναίου Ζ', σελ. 326· «Μίχαιθος δ' ἐν Ὀψαρτυτικῷ 'ταινίαν, φησίν, ἐκκοιλιάξας, τὰν κεφαλὰν ἀποταμών, ἀποπλύνας καὶ ταμὼν τεμάχεα, κατάχει τυρὸν καὶ ἔλαιον'».

16 *ἂν οὕτω τύχωσιν.* Ἀντὶ ἀπροσώπου: *ἂν οὕτω τύχῃ.* Ταῦτα παρενέθηκε, διότι ἀποφαίνεταί τι, ὅπερ δὲν συμβαίνει οὔτε ἐξ ἀνάγκης οὔτε ὡς ἐπὶ τὸ πολύ, ἀλλ' ἐνίοτε κατὰ τύχην.

17 *ἐμπλήσαντες καὶ παχύναντες*· χρον. ἅμα καὶ αἰτιολ. μετοχαὶ τοῦ τε *ἐπαινούμενοι* καὶ τοῦ *προσαπολοῦσιν*· τούτων δὲ ἡ σχέσις εἶνε ἐναντιωμα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀνθρώπων, ἐπαινούμενοι ὑπ' αὐτῶν, προσαπολοῦσιν αὐτῶν
καὶ τὰς ἀρχαίας σάρκας· οἱ δ' αὖ δι' ἀπειρίαν οὐ τοὺς D
ἑστιῶντας αἰτιάσονται τῶν νόσων αἰτίους εἶναι καὶ τῆς ἀπο-
βολῆς τῶν ἀρχαίων σαρκῶν, ἀλλ' οἳ ἂν αὐτοῖς τύχωσι
τότε παρόντες καὶ συμβουλεύοντές τι, ὅταν δὴ αὐτοῖς ἥκῃ
ἡ τότε πλησμονὴ νόσον φέρουσα συχνῷ ὕστερον χρόνῳ,
ἅτε ἄνευ τοῦ ὑγιεινοῦ γεγονυῖα, τούτους αἰτιάσονται καὶ
ψέξουσι καὶ κακόν τι ποιήσουσιν, ἂν οἷοί τ' ὦσι, τοὺς δὲ
προτέρους ἐκείνους καὶ αἰτίους τῶν κακῶν ἐγκωμιάσουσι.
καὶ σὺ νῦν, ὦ Καλλίκλεις, ὁμοιότατον τούτῳ ἐργάζει· ἐγ- E
κωμιάζεις ἀνθρώπους, οἳ τούτους εἱστιάκασιν εὐωχοῦντες
ὧν ἐπεθύμουν, καί φασι μεγάλην τὴν πόλιν πεποιηκέναι
αὐτούς· ὅτι δὲ οἰδεῖ καὶ ὕπουλός ἐστι δι' ἐκείνους τοὺς πα-
λαιοὺς οὐκ αἰσθάνονται. ἄνευ γὰρ σωφροσύνης καὶ δικαιο- 519
σύνης λιμένων καὶ νεωρίων καὶ τειχῶν καὶ φόρων καὶ τοι-

τικὴ (καίπερ ἐπαινούμενοι)· ὥςτε αἱ αὐταὶ πράξεις εἰσὶν αἴτιαι δύο ἐναντίων πραγμάτων, ἐπαίνου παρὰ τῶν ἀνθρώπων καὶ ἀπωλείας αὐτῶν τούτων τῶν ἐπαινούντων.

1 *προσαπολοῦσιν*. Μέλλων. πρὸς τῇ ἀπωλείᾳ τῆς προσθέτου παχύνσεως, θὰ ἀπολέσωσι καὶ τὰς προϋπαρχούσας σάρκας, ἕνεκα τῆς ἐκ τῆς ἐμπλήσεως καὶ παχύνσεως ἐπερχομένης νοσηρᾶς καταστάσεως.

2 *τοὺς ἑστιῶντας*. Παρατατικὸς = ἐκείνους οἳ εἱστίων αὐτοὺς πάλαι ποτέ.

3 *αἰτιάσονται — αἰτίους εἶναι*. Εἶδος πλεονασμοῦ· τοῦτο δὲ διότι τὸ *αἰτιάσονται* εἶχεν ἐξασθενήσει ὥςτε νὰ εἶνε σχεδὸν ἰσοδύναμον τῷ *φήσουσιν*. Πρβλ. τὰ εἰς σελ. 503 c σεσημειωμένα.

11 *εἱστιάκασιν εὐωχοῦντες*. Τὸ μὲν *ἑστιῶ* = παραθέτω δεῖπνον ἢ τράπεζαν, ἢ πλουσίαν ἢ καὶ λιτήν· τὸ δὲ *εὐωχῶ* = εὐφραίνω τινὰ δι' ἡδέων καὶ ἀφθόνων ἐδεσμάτων καὶ ποτῶν.

12 *καί φασι μεγάλην πεποιηκέναι τὴν πόλιν αὐτούς*. *Φασὶν* οἱ πολῖται· *αὐτούς*, τοὺς πολιτικούς, οὓς ἐγκωμιάζει ὁ Καλλ. Ἂν καὶ ἡ πρότασις αὕτη, συνδεομένη μετὰ τῆς προηγουμένης διὰ τοῦ *καί*, εἶνε ὡσαύτως ἀναφορική, ὅμως ἀντὶ ἀναφορ. ἀντωνυμίας ἐτέθη τὸ *αὐτούς*. Ἐπιθι πρχβλ. εἰς σελ. 452 d.

13 *ὅτι δὲ οἰδεῖ καὶ ὕπουλός ἐστι*. Λέξεις κυριολεκτούμεναι ἐπὶ νοσοῦντος σώματος, μετενηνεγμέναι ἐπὶ τὸ πολιτ. σῶμα. Τὸ μὲν *οἰδεῖν* σημαίνει τὴν νοσηρὰν πάχυνσιν· ἐνταῦθα δὲ αἰνίττεται τὸν ὄγκον, ὃν ἔλαβεν ἡ πόλις ἀπὸ Κίμωνος καὶ Περικλέους διὰ τῆς συστάσεως τῆς μεγάλης Ἀθηναϊκῆς συμμαχίας, τῶν φόρων κ. τ. λ. ἅτινα καταλέγει κατωτέρω. Ὕπουλον νόσημα εἶνε τὸ ὑπὸ τὴν οὐλὴν ὑποβόσκον καὶ λανθάνον. Ὕπουλος πόλις, ἡ νοσοῦσα ὑπούλως καὶ λανθάνουσα.

14 *ἄνευ γὰρ σωφροσύνης* κ.τ.λ. Ἐξήνεγκε ταῦτα ὁμορρύθμως ὡς καὶ περὶ τοῦ σώματος ἀνωτέρω εἶπεν: ἄνευ τοῦ ὑγιεινοῦ, δηλῶν καὶ οὕτως ὅτι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὕτων φλυαριῶν ἐμπεπλήκασι τὴν πόλιν· ὅταν οὖν ἔλθῃ ἡ
καταβολὴ αὕτη τῆς ἀσθενείας, τοὺς τότε παρόντας αἰτιά-
σονται συμβούλους, Θεμιστοκλέα δὲ καὶ Κίμωνα καὶ Περι-
κλέα ἐγκωμιάσουσι, τοὺς αἰτίους τῶν κακῶν· σοῦ δὲ ἴσως
ἐπιλήψονται, ἐὰν μὴ εὐλαβῇ, καὶ τοῦ ἐμοῦ ἑταίρου Ἀλ-
B κιβιάδου, ὅταν καὶ τὰ ἀρχαῖα προσαπολλύωσι πρὸς οἷς
ἐκτήσαντο, οὐκ αἰτίων ὄντων τῶν κακῶν ἀλλ' ἴσως συναι-
τίων. καίτοι ἔγωγε ἀνόητον πρᾶγμα καὶ νῦν ὁρῶ γιγνόμε-
νον καὶ ἀκούω τῶν παλαιῶν ἀνδρῶν πέρι. αἰσθάνομαι γάρ,
ὅταν ἡ πόλις τινὰ τῶν πολιτικῶν ἀνδρῶν μεταχειρίζηται
ὡς ἀδικοῦντα, ἀγανακτούντων καὶ σχετλιαζόντων ὡς δεινὰ
πάσχουσι· πολλὰ καὶ ἀγαθὰ τὴν πόλιν πεποιηκότες ἄρα
ἀδίκως ὑπ' αὐτῆς ἀπόλλυνται, ὡς ὁ τούτων λόγος· τὸ δὲ
C ὅλον ψεῦδός ἐστι. προστάτης γὰρ πόλεως οὐδ' ἂν εἷς ποτε
ἀδίκως ἀπόλοιτο ὑπ' αὐτῆς τῆς πόλεως ἧς προστατεῖ· κιν-
δυνεύει γὰρ ταὐτὸν εἶναι, ὅσοι τε πολιτικοὶ προσποιοῦνται
εἶναι καὶ ὅσοι σοφισταί. καὶ γὰρ οἱ σοφισταί, τἆλλα σοφοὶ

σωφροσύνη καὶ δικαιοσύνη εἰσὶν ἐν ψυχῇ ὅ τι ἡ ὑγίεια ἐν σώματι.

1 *καὶ τοιούτων φλυαριῶν*. Ὁσάκις ὁ ῥήτωρ κατέλεγε πράγματα, ἅτινα κατὰ μὲν τὴν κοινὴν ὑπόληψιν ἦσαν πολλοῦ ἄξια, κατὰ δὲ τὴν ἑαυτοῦ, μικροῦ ἢ οὐδενός, συνείθιζε να ἐπιφέρῃ ἐπ' ἐκείνοις τὸ ὄνομα λῆρον ἢ φλυαρίαν. Σελ. 490 c· «Περὶ σιτία λέγεις καὶ ποτὰ καὶ ἰατροὺς καὶ φλυαρίας». Φαίδ. 66 c· «ἐρώτων δὲ καὶ ἐπιθυμιῶν καὶ φόβων καὶ εἰδώλων παντοδαπῶν καὶ φλυαρίας ἐμπίπλησιν ἡμᾶς πολλῆς». Δημοσθ. Ὀλυνθ. Γ', 29· «Καὶ τί ἂν εἰπεῖν τις ἔχοι; τὰς ἐπάλξεις ἃς κονιῶμεν, καὶ τὰς ὁδοὺς ἃς ἐπισκευάζομεν, καὶ κρήνας καὶ λήρους;»

*ἡ καταβολὴ αὕτη τῆς ἀσθενείας*. Τίμαιος ἐν Λεξ. «Καταβολή, περιοδικὴ λῆψις πυρετοῦ». Ἐνταῦθα σημαίνει τὴν ἔκρηξιν, τὴν ἐκδήλωσιν τῆς τέως λανθανούσης ἀσθενείας.

12 *πεποιηκότες ἄρα, ἀδίκως*. Τὸ ἄρα εἰς τὸ *πεποιηκότες*.

13 *τὸ δὲ ὅλον ψεῦδός ἐστι*. Τὸ ὅλον ἐνταῦθα = ὡς τὸ ὅλον εἰπεῖν, ἢ καθόλου εἰπεῖν, ἢ ὅλως. Ἱππ. Μ. 288 e· «ἀλλὰ τὸ ὅλον τοῦτο».

15 *κινδυνεύει γὰρ ταὐτὸν εἶναι*. Περὶ τοῦ *κινδυνεύει* ὅρα Ἀπολ. 20 d, ὑποσημ. Ἡ ταυτότης πολιτικῶν καὶ σοφιστῶν κεῖται ἐν τούτῳ, ὅτι ἀμφότεροι ἐπαγγέλλονται νὰ ἀποδείξωσι τοὺς ἐπιτετραμμένους αὐτοῖς βελτίους τὴν ψυχήν. Ἂν μὲν λοιπὸν κατώρθωσαν ὅ τι ἐπαγγέλλονται καὶ ἐγένοντο οἱ τρόφιμοι αὐτῶν τῷ ὄντι ἀγαθοὶ ἄνδρες, δὲν εἶνε δυνατὸν νὰ ἀδικῶνται ὑπό γε τῶν ἀγαθῶν. Ἂν δὲ δὲν κατώρθωσαν τοῦτο καὶ ἦσαν ψευδεῖς αἱ ἐπαγγελίαι των, τότε ἀδικούμενοι δὲν ἔχουσι δίκαιον νὰ παραπονῶνται ἐπ' ἀχαριστίᾳ.

16 ***προσποιοῦνται***· οὐχὶ ***ὑποκρίνον-***

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὄντες, τοῦτο ἄτοπον ἐργάζονται πρᾶγμα· φάσκοντες γὰρ ἀρετῆς διδάσκαλοι εἶναι πολλάκις κατηγοροῦσι τῶν μαθητῶν, ὡς ἀδικοῦσι σφᾶς αὐτούς, τούς τε μισθοὺς ἀποστεροῦντες καὶ ἄλλην χάριν οὐκ ἀποδιδόντες, εὖ παθόντες ὑπ' αὐτῶν· καὶ τούτου τοῦ λόγου τί ἂν ἀλογώτερον εἴη πρᾶγμα, D ἀνθρώπους ἀγαθοὺς καὶ δικαίους γενομένους, ἐξαιρεθέντας μὲν ἀδικίαν ὑπὸ τοῦ διδασκάλου, σχόντας δὲ δικαιοσύνην, ἀδικεῖν τούτῳ ὃ οὐκ ἔχουσιν; οὐ δοκεῖ σοι τοῦτο ἄτοπον εἶναι, ὦ ἑταῖρε; ὡς ἀληθῶς δημηγορεῖν με ἠνάγκασας, ὦ Καλλίκλεις, οὐκ ἐθέλων ἀποκρίνεσθαι.

ΟΕ'. ΚΑΛ. Σὺ δ' οὐκ ἂν οἷός τ' εἴης λέγειν, εἰ μή τίς σοι ἀποκρίνοιτο;

ΣΩ. Ἔοικά γε· νῦν γοῦν συχνοὺς τείνω τῶν λόγων, E ἐπειδή μοι οὐκ ἐθέλεις ἀποκρίνεσθαι. ἀλλ', ὦ 'γαθέ, εἰπὲ πρὸς φιλίου, οὐ δοκεῖ σοι ἄλογον εἶναι ἀγαθόν, φάσκοντα

*ται ψευδῶς, ἀλλ' ἐπαγγέλλονται, ἀξιοῦσιν ὅτι.*

1 *τοῦτο ἄτοπον ἐργάζονται πρᾶγμα.* Τὴν αὐτὴν ἀτοπίαν ὀνειδίζει τοῖς σοφισταῖς καὶ ὁ Ἰσοκρ. ἐν τῷ «κατὰ Σοφιστῶν» § 5, σχεδὸν αὐταῖς λέξεσιν, ὥστε εἶνε λίαν πιθανὸν ὅτι παρὰ τοῦ Πλάτωνος παρέλαβε τὸ ἐνθύμημα.

3 *ὡς ἀδικοῦσι σφᾶς αὐτούς.* Τὸ *αὐτοὺς* δὲν ἀποτελεῖ μετὰ τοῦ *σφᾶς* μίαν αὐτοπαθῆ ἀντωνυμίαν, ἀλλὰ κεῖται ἐφ' ἑαυτοῦ μετ' ἐμφάσεως = αὐτοὺς τοὺς ἰδίους, οὓς ἥκιστα ἥρμοζεν. Τὸ *σφᾶς αὐτοὺς* ὡς μία αὐτοπαθὴς ἀντωνυμία, θὰ ἦτο σόλοικον ἐνταῦθα.

4 *εὖ παθόντες ὑπ' αὐτῶν.* Ἀκριβέστερον θὰ ἔλεγεν ὑπὸ *σφῶν*· ἀλλὰ διὰ τὴν ἀπόστασιν ἀπὸ τοῦ κυρίου ρήματος (κατηγοροῦσιν) ἐλησμονήθη ἡ μετὰ τοῦ ὑποκειμένου αὐτοῦ ταυτοπροσωπία.

6 *ἀνθρώπους ἀγαθοὺς* κ. τ. λ. Ἐπεξηγ. τοῦ *τούτου τοῦ λόγου*. Τὸ *ἀνθρώπους* ὑποκ. τοῦ *ἀδικεῖν*.

*ἐξαιρεθέντας ἀδικίαν*. Ἐνεργητικῶς θὰ ἔλεγεν: «οἱ σοφισταὶ ἐξείλοντο αὐτῶν τὴν ἀδικίαν» ἢ καὶ «ἐξείλοντο αὐτοὺς τὴν ἀδικίαν», καθὼς καὶ τὸ ἀφαιροῦμαί τινά τι. Ἐν τῷ παθητικῷ ἐγένετο ὑποκ. ἡ γεν. ἢ αἰτιατικὴ τοῦ προσώπου ἀντὶ τῆς τοῦ πράγματος. Ὅμοιον τό: οἱ ἐννέα ἄρχοντες ἐπετράπησαν τὴν φυλακὴν τῆς πόλεως· ἀντί: ἐπετράπη τοῖς ἐννέα ἄρχουσιν ἡ φυλακὴ τῆς πόλεως.

8 *ἀδικεῖν τούτῳ ὃ οὐκ ἔχουσιν* = ἀδικεῖν τῇ ἀδικίᾳ ἣν ἐξαιρεθέντες ὑπὸ τῶν διδασκάλων οὐκ ἔχουσι.

9 *δημηγορεῖν με ἠνάγκασας*· μὴ διαλέγεσθαι, ἀλλὰ μακροὺς λόγους ἀποτείνειν, καὶ ρητορικῶς μᾶλλον ἢ διαλεκτικῶς πραγματεύεσθαι τὰ ζητήματα.

15 *πρὸς φιλίου.* Ὅρα ἔμπροσθεν σελ. 500 b· ὡς νὰ ἔλεγε: *μὰ τὴν φιλίαν μας*, περιποιούμενος αὐτόν.

*οὐ δοκεῖ σοι — ἔπειτα πονηρός ἐστιν;* Ἡ φράσις εἶνε οὕτω διατετυπωμένη, ὥστε νὰ καταφαίνηται ἡ ἀλογία τοῦ πράγματος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πεποιηκέναι τινά μέμφεσθαι τούτῳ, ὅτι ὑφ' ἑαυτοῦ ἀγαθὸς γεγονώς τε καὶ ὢν ἔπειτα πονηρός ἐστιν;

ΚΑΛ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Οὐκοῦν ἀκούεις τοιαῦτα λεγόντων τῶν φασκόντων παιδεύειν ἀνθρώπους εἰς ἀρετήν;

520 ΚΑΛ. Ἔγωγε· ἀλλὰ τί ἂν λέγοις ἀνθρώπων πέρι οὐδενὸς ἀξίων;

ΣΩ. Τί δ' ἂν περὶ ἐκείνων λέγοις, οἳ φάσκοντες προεστάναι τῆς πόλεως καὶ ἐπιμελεῖσθαι, ὅπως ὡς βελτίστη ἔσται, πάλιν αὐτῆς κατηγοροῦσιν, ὅταν τύχωσιν, ὡς πονηροτάτης; οἴει τι διαφέρειν τούτους ἐκείνων; ταὐτόν, ὦ μακάρι', ἐστὶ σοφιστὴς καὶ ῥήτωρ, ἢ ἐγγύς τι καὶ παραπλήσιον, ὥςπερ ἐγὼ ἔλεγον πρὸς Πῶλον· σὺ δὲ δι' ἄγνοιαν B τὸ μὲν πάγκαλόν τι οἴει εἶναι, τὴν ῥητορικήν, τοῦ δὲ καταφρονεῖς. τῇ δὲ ἀληθείᾳ κάλλιόν ἐστι σοφιστικὴ ῥητορικῆς, ὅσῳπερ νομοθετικὴ δικαστικῆς καὶ γυμναστικὴ ἰατρικῆς· μόνοις δ' ἔγωγε καὶ ᾤμην τοῖς δημηγόροις τε καὶ σοφισταῖς οὐκ ἐγχωρεῖν μέμφεσθαι τούτῳ τῷ πράγματι, ὃ αὐτοὶ παιδεύουσιν, ὡς πονηρόν ἐστιν εἰς σφᾶς, ἢ τῷ αὐτῷ λόγῳ τούτῳ ἅμα καὶ ἑαυτῶν κατηγορεῖν, ὅτι οὐδὲν ὠφελήκασιν οὕς φασιν ὠφελεῖν. οὐχ οὕτως ἔχει;

6 *ἀλλὰ τί ἂν λέγοις* κ. τ. λ. Ὅπως καὶ ἡμεῖς: τί να εἴπῃς περὶ τοιούτων ἀνθρώπων; πᾶς λόγος περὶ αὐτῶν εἶνε μάταιος, ἢ εἶνε ἀνάξιοι λόγου. Ὁ Καλλ. λίαν εὐπετῶς συγκατατίθεται τὴν αὐτὴν ψῆφον τῷ Σωκ. κατα τῶν σοφιστῶν, νομίζων ὅτι ταῦτα δὲν τείνουσι καὶ εἰς αὐτόν. Ἀλλ' ὁ Σωκ. ἀποφαίνει καὶ τοὺς ῥήτορας ἐνεχομένους ἐν τῇ αὐτῇ ἀλογίᾳ, καί τι χειροτέρους τῶν σοφιστῶν ὄντας.

13 *ὥςπερ ἐγὼ ἔλεγον πρὸς Πῶλον*· ἐν σελ. 465 c.

15 *τῇ δὲ ἀληθείᾳ κάλλιόν ἐστι* κ.τ.λ. Κατὰ τοῦτο ἀποφαίνει κάλλιον τὴν σοφιστικὴν τῆς ῥητορικῆς, καθότι ἐκείνη ὑποδύεται κάλλιον πρόσχημα, τὸ παιδεύειν ἀνθρώπους ὡς ἡ νομοθετική, οὐχὶ τὸ ἰατρεύειν νοσούσας ψυχὰς ὡς ἡ δικαστική, ὑφ' ἣν ὑπέδυ ἡ ῥητορική.

17 *καὶ ᾤμην — οὐκ ἐγχωρεῖν μέμφεσθαι.* Περὶ τοῦ *καὶ* ὅρ. πρκ6λ.

19 *ἢ τῷ αὐτῷ λόγῳ — κατηγορεῖν.* Τὸ ἢ = *εἰ δὲ μή· ἄλλως δέ.* Τὸ *κατηγορεῖν* ἐξάρτα ἐκ τοῦ *ἀνάγκη πᾶσα,* ὅπερ λαμβάνομεν κατὰ ζεῦγμα ἐκ τοῦ *ᾤμην οὐκ ἐγχωρεῖν.* Φαῖδρ. 245 d· «τοῦτο δὲ (τὸ αὐτὸ ἑαυτὸ κινοῦν) οὔτ' ἀπόλλυσθαι οὔτε γίγνεσθαι δυνατόν, ἢ πάντα τε οὐρανὸν πᾶσάν τε γένεσιν συμπεσοῦσαν στῆναι»· ἢ ἀνάγκη πᾶσα . . . στῆναι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΚΑΛ. Πάνυ γε. C

ΣΩ. Καὶ προέσθαι γε δήπου τὴν εὐεργεσίαν ἄνευ μισθοῦ, ὡς τὸ εἰκός, μόνοις τούτοις ἐνεχώρει, εἴπερ ἀληθῆ ἔλεγον. ἄλλην μὲν γὰρ εὐεργεσίαν τις εὐεργετηθείς, οἷον ταχὺς γενόμενος διὰ παιδοτρίβην, ἴσως ἂν ἀποστερήσειε τὴν χάριν, εἰ προεῖτο αὐτῷ ὁ παιδοτρίβης καὶ μὴ συνθέμενος αὐτῷ μισθὸν ὅτι μάλιστα ἅμα μεταδιδοὺς τοῦ τάχους λαμβάνοι τὸ ἀργύριον· οὐ γὰρ τῇ βραδυτῆτι, οἶμαι, ἀδικοῦσιν οἱ ἄνθρωποι, D ἀλλ' ἀδικίᾳ· ἢ γάρ;

ΚΑΛ. Ναί.

ΣΩ. Οὐκοῦν εἴ τις αὐτὸ τοῦτο ἀφαιρεῖ, τὴν ἀδικίαν, οὐδὲν δεινὸν αὐτῷ μήποτε ἀδικηθῇ, ἀλλὰ μόνῳ ἀσφαλὲς ταύτην τὴν εὐεργεσίαν προέσθαι, εἴπερ τῷ ὄντι δύναιτό τις ἀγαθοὺς ποιεῖν. οὐχ οὕτως;

ΚΑΛ. Φημί.

ΟϚʹ. ΣΩ. Διὰ ταῦτ' ἄρα, ὡς ἔοικε, τὰς μὲν ἄλλας συμβουλὰς συμβουλεύειν λαμβάνοντα ἀργύριον, οἷον οἰκοδομίας πέρι ἢ τῶν ἄλλων τεχνῶν, οὐδὲν αἰσχρόν.

ΚΑΛ. Ἔοικέ γε. E

ΣΩ. Περὶ δέ γε ταύτης τῆς πράξεως, ὅντιν' ἄν τις τρόπον ὡς βέλτιστος εἴη καὶ ἄριστα τὴν αὑτοῦ οἰκίαν διοικοῖ ἢ πόλιν, αἰσχρὸν νενόμισται μὴ φάναι συμβουλεύειν, ἐὰν μή τις αὐτῷ ἀργύριον διδῷ. ἦ γάρ;

2 *Καὶ προέσθαι τὴν εὐεργεσίαν.* Τὸ *προΐεμαι* ἐνταῦθα = παρέχω τινὶ εὐεργεσίαν (ὑπηρεσίαν ὠφέλιμον) ἄνευ συμπεφωνημένης ἀμοιβῆς. Πρβλ. τὸ κατωτέρω «εἰ προοῖτο αὐτῷ ὁ παιδοτρίβης».

7 *ὅ τι μάλιστα ἅμα μεταδιδοὺς — λαμβάνοι.* Τὸ *ὅ τι μάλιστα,* ἐπιτατικὸν τοῦ χρονικοῦ *ἅμα* = ὅσον ἐνδέχεται συγχρόνως νὰ μεταδίδῃ τῆς ταχύτητος καὶ νὰ λαμβάνῃ τὸ συμπεφωνημένον δι' αὐτὴν ἀργύριον· δηλ. οὐχὶ μετὰ μακρὰς προθεσμίας, ἀλλ' εἰ δυνατὸν κάθε ἡμέραν ἢ κάθε ὥραν νὰ λαμβάνῃ τὸν μισθόν.

11 *Οὐδὲν δεινὸν αὐτῷ, μὴ* = οὐδεὶς φόβος αὐτῷ (τῷ ἀφαιροῦντι τὴν ἀδικίαν) μὴ ἀδικηθῇ. Πρβλ. Ἀπολ. 28 b, καὶ Φαίδ. 84 b.

20 *ὅντιν' ἂν τρόπον.* Πλαγία ἐρώτησις, ἀναπτύσσουσα τὸ «περὶ ταύτης τῆς πράξεως».

22 *ἐὰν μή τις αὐτῷ* Τὸ *αὐτῷ* ἐπαναληπτ. ἀντων. τοῦ παραλειφθέντος ὑποκ. τοῦ *φάναι συμβουλεύειν,*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΚΑΛ. Ναί.

ΣΩ. Δῆλον γὰρ ὅτι τοῦτο αἴτιόν ἐστιν, ὅτι μόνη αὕτη τῶν εὐεργεσιῶν τὸν εὖ παθόντα ἐπιθυμεῖν ποιεῖ ἀντ' εὖ ποιεῖν, ὥςτε καλὸν δοκεῖ τὸ σημεῖον εἶναι, εἰ εὖ ποιήσας ταύτην τὴν εὐεργεσίαν ἀντ' εὖ πείσεται· εἰ δὲ μή, οὔ. ἔστι ταῦτα οὕτως ἔχοντα;

521 ΚΑΛ. Ἔστιν.

ΣΩ. Ἐπὶ ποτέραν οὖν με παρακαλεῖς τὴν θεραπείαν τῆς πόλεως, διόρισόν μοι· τὴν τοῦ διαμάχεσθαι Ἀθηναίοις, ὅπως ὡς βέλτιστοι ἔσονται, ὡς ἰατρόν, ἢ ὡς διακονήσοντα καὶ πρὸς χάριν ὁμιλήσοντα; τἀληθῆ μοι εἰπέ, Καλλίκλεις· δίκαιος γὰρ εἶ, ὥςπερ ἤρξω παρρησιάζεσθαι πρὸς ἐμέ, διατελεῖν ἃ νοεῖς λέγων· καὶ νῦν εὖ καὶ γενναίως εἰπέ.

ΚΑΛ. Λέγω τοίνυν ὅτι ὡς διακονήσοντα.

B ΣΩ Κολακεύσοντα ἄρα με, ὦ γενναιότατε, παρακαλεῖς.

ΚΑΛ. Εἴ σοι Μυσῶν γε ἥδιον εἶναι λείαν, ὦ Σώκρατες· ὡς εἰμὴ ταῦτά γε ποιήσεις —

ΣΩ. Μὴ εἴπῃς ὃ πολλάκις εἴρηκας, ὅτι ἀποκτενεῖ με ὁ βουλόμενος, ἵνα μὴ αὖ καὶ ἐγὼ εἴπω, ὅτι πονηρός γε ὢν

3 *ἀντ' εὖ ποιεῖν.* Ὅρα πρκδλ.

4 *εἰ εὖ ποιήσας κ. τ. λ.* Ἡ ὑποθ. πρότ. ἀντὶ ὀνοματικοῦ ἀπαρεμφ., ὅπερ θὰ ἦτο ἀνάπτυξις τοῦ *τὸ σημεῖον*. Ὁ νοῦς τοῦ χωρίου: «Τὸ τὸν εὖ ποιήσαντα ταύτην τὴν εὐεργεσίαν ἀντ' εὖ παθεῖν, τοῦτο τὸ σημεῖον δοκεῖ καλὸν εἶναι, ὅτι ὄντως εὖ ἐποίησεν· τὸ δὲ τὸν εὖ ποιήσαντα μὴ ἀντ' εὖ παθεῖν, τοῦτο οὐ δοκεῖ καλὸν εἶναι σημεῖον ὅτι ὄντως εὖ ἐποίησεν».

9 *διόρισόν μοι.* Διορίζω τι = ὁρίζω τι διακρίνων ἀπ' ἄλλου τινὸς γειτονεύοντος, μεθ' οὗ ἐνδέχεται νὰ συγχυθῇ. Πολιτ. 524 c· «οὐ συγκεχυμένα, ἀλλὰ διωρισμένα». Νόμ. 943 e «ῥᾴδιον οὐδαμῶς διορίσαι τούτων θάτερον».

*τὴν τοῦ διαμάχεσθαι — ἢ ὡς διακονήσοντα.* Δύο κατὰ τύπους μὲν διάφορα, συντακτικῶς δ' ὁμοειδῆ, ὡς ὄντα ἀμφότερα τελ. αἴτια τοῦ παρακαλεῖς. Συμπλήρου· ἐπὶ τὴν τοῦ διαμάχεσθαι θεραπείαν.

14 *ὅτι ὡς διακονήσοντα* = ὅτι παρακαλῶ σε ὡς διακονήσοντα.

15 *Κολακεύσοντα ἄρα.* Ἀντὶ τοῦ Καλλ. *διακονήσοντα* μεταλαμβάνει τὸ ἰσοδύναμον *κολακεύσοντα*.

16 *Εἴ σοι Μυσῶν γε.* Ὅρ. πρκδλ.

17 *ὡς εἰ μὴ ταῦτα ποιήσεις.* Ἀναπόδοτος ὁ ὑποθ. λόγος, οὐχὶ διότι ὁ Καλλ. τὸν ἤθελε τοιοῦτον, ἀλλὰ διότι ὁ Σωκ. παρεμπεσὼν προήρπασεν ἐκ τοῦ στόματός του τὴν ἀπόδοσιν καὶ τὴν λέγει μὲν αὐτός, ἀλλ' ὥς τι μὴ πρέπον νὰ ῥηθῇ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀγαθὸν ὄντα· μηδ' ὅτι ἀφαιρήσεται ἐάν τι ἔχω, ἵνα μὴ αὖ ἐγὼ εἴπω ὅ,τι, ἀλλ' ἀφελόμενος οὐχ ἕξει ὅτι χρήσεται αὐ- C τοῖς, ἀλλ' ὥςπερ με ἀδίκως ἀφείλετο, οὕτω καὶ λαβὼν ἀδίκως χρήσεται, εἰ δὲ ἀδίκως, αἰσχρῶς, εἰ δὲ αἰσχρῶς, κακῶς.

ΟΖ'. ΚΑΛ. Ὥς μοι δοκεῖς, ὦ Σώκρατες, πιστεύειν μηδ' ἂν ἓν τούτων παθεῖν, ὡς οἰκῶν ἐκποδὼν καὶ οὐκ ἂν εἰσαχθεὶς εἰς δικαστήριον ὑπὸ πάνυ ἴσως μοχθηροῦ ἀνθρώπου καὶ φαύλου.

ΣΩ. Ἀνόητος ἄρα εἰμί, ὦ Καλλίκλεις, ὡς ἀληθῶς, εἰ μὴ οἴομαι ἐν τῇδε τῇ πόλει ὁντινοῦν ἄν, ὅ τι τύχοι, τοῦτο

1 *ἐάν τι ἔχω·* ἀντὶ ὅ τι ἔχω. Τὸ μὲν *ὅ τι ἔχω* θὰ ἐδήλου ὅτι ὁ Σωκ. ἔχει τι, θὰ ἄφινε δὲ ἀόριστον τὸ τί ἔχει, ἢ πόσον, ἢ ποῖον· τὸ δὲ *ἐάν τι ἔχω* καθιστᾷ ἀμφίβολον καὶ ἂν ἔχῃ τι· τὸ παράπαν· τοῦθ' ὅπερ μᾶλλον ἡρμοζεν εἰς τὴν μυρίαν πενίαν τοῦ Σωκ. Ἰδὲ Ἀπολ. 23 c.

2 *οὐχ ἕξει ὅ τι χρήσεται.* Οὐχὶ ἁπλῶς = δὲν θα ἠξεύρῃ πῶς νὰ τὰ μεταχειρισθῇ· ἀλλὰ δὲν θὰ ἠξεύρῃ νὰ κάμῃ ὀρθὴν καὶ ἐπωφελῆ χρῆσιν αὐτῶν· δὲν θὰ τοῦ ἔβγουν σὲ καλό.

3 *οὕτω καὶ ἀδίκως χρήσεται, εἰ δὲ ἀδίκως, αἰσχρῶς, εἰ δ' αἰσχρῶς, κακῶς.* Αἱ μεταβάσεις γίνονται συμφώνως πρὸς τὰ προαποδειχθέντα, ὅτι πᾶσα ἀδικία ἐστὶν αἰσχρόν, πᾶν δὲ αἰσχρόν ἐστι καὶ κακόν.

6 *Ὥς μοι δοκεῖς* κ.τ.λ. Ἐπιφώνησις. = Πῶς μοι φαίνεσαι, ὦ Σώκ., ὅτι πιστεύεις πῶς δὲν θα ἐπάθαινες κανὲν τοιοῦτον κακόν! Ὁ Καλλ. φρονεῖ ὅτι τὰς ἀρχάς, ἃς πρεσβεύει ὁ Σωκ., οὐδεὶς ἄνθρωπος ἔχει τὴν δύναμιν νὰ πραγματοποιήσῃ, οὐδ' αὐτὸς ἄρα ὁ Σωκ., ἀλλ' ὅτι ἐπιδεικνύονται αὗται εἰς τὸν κόσμον, ὡς σέμνωμα, παρ' ἐκείνων οἵτινες δὲν κινδυνεύουσί ποτε νὰ περιέλθωσιν εἰς τὴν ἀνάγκην τῆς πραγματοποιήσεως, ὅτι ἄρα καὶ ὁ Σωκ. ὡς αἰσθανόμενος ἑαυτὸν ἐκτὸς κινδύνου λέγει ταῦτα, ἂν δ' ὅμως ὑπώπτευε κίνδυνον, θὰ ὡμίλει ἄλλως. Πρβλ. Κρίτ. 47 a καὶ 46 b, c.

7 *ὡς οἰκῶν ἐκποδὼν καὶ οὐκ ἂν εἰσαχθείς.* Αἱ μετοχαὶ αὗται αἰτιολογικαί· τὸ δὲ πρὸ αὐτῶν *ὡς* σημαίνει ὅτι τὸ δι' αὐτῶν ἐκφερόμενον αἴτιον εἶνε τοιοῦτον μόνον κατὰ τὴν δόξαν τοῦ ὑποκειμένου, οὐχὶ δὲ καὶ τὴν τοῦ λέγοντος. Ὥστε θὰ ἠδυνάμεθα νὰ ἀντικαταστήσωμεν τὸ *ὡς* διὰ τοῦ *πιστεύων*, ὧδέ πως· «Πιστεύων ὅτι οἰκεῖς ἐκποδὼν καὶ ὅτι οὐκ ἂν εἰσαχθείης εἰς δικαστήριον ὑπὸ μοχθηροῦ τινος ἀνθρώπου καὶ φαύλου, οὕτω πιστεύεις ὅτι οὐκ ἂν πάθοις οὐδὲν τούτων». Τὸ *οἰκῶ ἐκποδὼν* = εὑρίσκομαι ἐκτὸς κινδύνου, ἐν ἀσφαλεῖ· ὥστε τὸ *οἰκῶ* μεταφορ.

11 *ὅ τι τύχοι.* Προσωπικῶς· *ὅςτιςοῦν* ὑποκ. τοῦ *τύχοι*. Διὰ τοῦ *ὁντινοῦν* σημαίνει ὅτι ὁ κίνδυνος ἐπικρέμαται ἐξ ἴσου ἐπὶ πάντας τοὺς πολίτας· ὥστε διὰ τῆς ῥήσεως ταύτης χαρακτηρίζει τὴν τότε ἀξιοθρήνητον κατάστασιν, καθ' ἣν πᾶς πολίτης τὰ ἑαυτοῦ πράττων καὶ μὴ πολυπραγμονῶν, πολιτεύων ὡς ἀρνίον μᾶλλον ἢ ὡς λύκος, ἂν συνέβαινε νὰ εἶνε καὶ εὔπορος, ἐγίνετο θῦμα τῆς σπείρας τῶν συκοφαν-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παθεῖν. τόδε μέντοι εὖ οἶδ' ὅτι, ἐάνπερ εἰσίω εἰς δικαστήριον περὶ τούτων τινὸς κινδυνεύων ὧν σὺ λέγεις, πονηρός
D τίς με ἔσται ὁ εἰσάγων· οὐδεὶς γὰρ ἂν χρηστὸς μὴ ἀδικοῦντ' ἄνθρωπον εἰσαγάγοι· καὶ οὐδέν γε ἄτοπον εἰ ἀποθάνοιμι. βούλει σοι εἴπω δι' ὅ τι ταῦτα προσδοκῶ;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Οἶμαι μετ' ὀλίγων Ἀθηναίων, ἵνα μὴ εἴπω μόνος, ἐπιχειρεῖν τῇ ὡς ἀληθῶς πολιτικῇ τέχνῃ καὶ πράττειν τὰ πολιτικὰ μόνος τῶν νῦν· ἅτε οὖν οὐ πρὸς χάριν λέγων τοὺς λόγους οὓς λέγω ἑκάστοτε, ἀλλὰ πρὸς τὸ βέλτιστον, οὐ πρὸς τὸ ἥδιστον, καὶ οὐκ ἐθέλων ποιεῖν ἃ σὺ παραινεῖς, τὰ
E κομψὰ ταῦτα, οὐχ ἕξω ὅ τι λέγω ἐν τῷ δικαστηρίῳ. ὁ αὐτὸς δέ μοι ἥκει λόγος, ὅνπερ πρὸς Πῶλον ἔλεγον· κρινοῦμαι γὰρ ὡς ἐν παιδίοις ἰατρὸς ἂν κρίνοιτο κατηγοροῦντος ὀψοποιοῦ. σκόπει γάρ, τί ἂν ἀπολογοῖτο ὁ τοιοῦτος ἄνθρωπος ἐν τούτοις ληφθείς, εἰ αὐτοῦ κατηγοροῖ τις λέγων ὅτι, «Ὦ παῖδες, πολλὰ ὑμᾶς καὶ κακὰ ὅδε εἴργασται ἀνήρ, καὶ αὐτοὺς

τῶν· διότι ὁ εἰσαγόμενος εἰς δίκην σπανίως διέφευγε τὸν κίνδυνον, καὶ ἂν ἦτο ἀθῷος. Πρβλ. Μένωνος 94 e, Ξνφ. Ἀπομν. Β', 9 καὶ ἐν Ἀριστφ. Πλούτῳ τὰ κατὰ τὸν συκοφάντην.

2 *ὧν σὺ λέγεις.* Νοεῖ τα ἀνωτέρω ἅτινα θὰ ἔλεγε μὲν ὁ Καλλ. προήρπασε δὲ αὐτὰ ὁ Σωκ.

5 *δι' ὅτι* = διατί. Εἶνε πλαγ. ἐρώτ.

8 *καὶ πράττειν τὰ πολιτικά.* Παραλάμβανε ἀπὸ κοινου τὸ ὡς ἀληθῶς. Ὁ Σωκ. οὐδέποτε ἐπολιτεύθη κατὰ τὴν τότε σημασίαν τοῦ πολιτεύεσθαι· οὐδέποτε ἀνέβη εἰς τὸ βῆμα ἐν τῇ ἐκκλησίᾳ, ὡς μαρτυρεῖ αὐτὸς ἐν τῇ Ἀπολογίᾳ 31 c. Ἀλλ' ὁρίσας ἐν τοῖς ἔμπροσθεν ἔργον τοῦ γνησίου πολιτικοῦ τὸ βελτίους ποιεῖν τοὺς πολίτας, οὐχὶ πλημμελῶς λέγει περὶ ἑαυτοῦ ὅτι ἐπιχειρεῖ τῇ ὡς ἀληθῶς πολιτ. τέχνῃ.

9 *οὐ πρὸς χάριν . . . ἀλλὰ πρὸς τὸ βέλτιστον, οὐ πρὸς τὸ ἥδιστον.* Συνήθης παρὰ Πλ. παλινδρομία. Πρβλ. σελ. 452 e καὶ 519 a.

11 *τὰ κομψὰ ταῦτα.* Τὰ ἐν σελ. 486 c.

13 *ὅνπερ πρὸς Πῶλον ἔλεγον.* Σελ. 464 d.

*κρινοῦμαι.* Μέσ. μέλλ. μετὰ παθητ. διαθ.

16 *ἐν τούτοις ληφθείς.* Ἐν τούτοις τοῖς παισίν· ἀποληφθεὶς ἐν μέσῳ τῶν παίδων ὡς δικαστῶν, καὶ ἀπομονωθεὶς πάσης ἄλλης βοηθείας. Ἴδε καὶ κατωτέρω· «ἐν τούτῳ τῷ κακῷ ἀποληφθέντα».

17 *καὶ αὐτοὺς καὶ τοὺς νεωτάτους ὑμῶν.* Ἐπειδὴ τὸ δικαστήριον θὰ συνίστατο ἐκ πρεσβυτέρων παίδων (ἃς ὑποθέσωμεν ἀπὸ δεκαετοῦς καὶ ἀνωτέρω), διαστέλλει αὐτούς, τοὺς δικαστὰς παῖδας, πρὸς οὓς καὶ ἀπολογεῖται, ἀπὸ τῶν νεωτάτων τῶν μὴ παρακαθημένων ὡς δικαστῶν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ τοὺς νεωτάτους ὑμῶν διαφθείρει τέμνων τε καὶ κάων,
καὶ ἰσχναίνων καὶ πνίγων ἀπορεῖν ποιεῖ, πικρότατα πόματα 522
διδοὺς καὶ πεινῆν καὶ διψῆν ἀναγκάζων, οὐχ ὥςπερ ἐγὼ
πολλὰ καὶ ἡδέα καὶ παντοδαπὰ εὐώχουν ὑμᾶς»· τί ἂν οἴει
ἐν τούτῳ τῷ κακῷ ἀποληφθέντα ἰατρὸν ἔχειν εἰπεῖν; ἢ εἰ
εἴποι τὴν ἀλήθειαν, ὅτι Ταῦτα πάντα ἐγὼ ἐποίουν, ὦ παῖδες, ὑγιεινῶς, πόσον οἴει ἂν ἀναβοῆσαι τοὺς τοιούτους δικαστάς; οὐ μέγα;

ΚΑΛ. Ἴσως· οἴεσθαί γε χρή.

ΣΩ. Οὐκ οὖν οἴει ἐν πάσῃ ἀπορίᾳ ἂν αὐτὸν ἔχεσθαι, ὅ τι
χρὴ εἰπεῖν; B

ΚΑΛ. Πάνυ γε.

ΟΗ΄. ΣΩ. Τοιοῦτον μέντοι καὶ ἐγὼ οἶδα ὅτι πάθος πάθοιμι ἂν εἰσελθὼν εἰς δικαστήριον. οὔτε γὰρ ἡδονὰς ἃς ἐκπεπόρικα ἕξω αὐτοῖς λέγειν, ἃς οὗτοι εὐεργεσίας καὶ ὠφελείας νομίζουσιν, ἐγὼ δὲ οὔτε τοὺς πορίζοντας ζηλῶ οὔτε οἷς πορίζεται· ἐάν τέ τίς με ἢ νεωτέρους φῇ διαφθείρειν ἀπορεῖν ποιοῦντα, ἢ τοὺς πρεσβυτέρους κακηγορεῖν λέγοντα πικροὺς λόγους ἢ ἰδίᾳ ἢ δημοσίᾳ, οὔτε τὸ ἀληθὲς

1 *διαφθείρει — καὶ ἀπορεῖν ποιεῖ*. Τὰ ῥήματα ταῦτα δὲν εἶνε λίαν πρόσφορα πρὸς δήλωσιν τοῦ παθήματος τῶν παίδων· ἀλλ' ἐτέθησαν ἐπίτηδες, ἵνα ὡς ἔγγιστα ἐξομοιωθῇ τὸ πάθημα τῶν παίδων πρὸς τὸ τῶν ἀνδρῶν τῶν διαφθειρομένων καὶ εἰς ἀπορίαν ἐμβαλλομένων ὑπὸ τῶν τοῦ Σωκ. λόγων, κατὰ τοὺς κατηγόρους του.

10 *ἐν πάσῃ ἀπορίᾳ ἔχεσθαι*. Τὸ ἔχομαι παθ. ὅπως καὶ τὸ *ἀποληφθείς*, ἄνευ ποιητ. αἰτίου.

13 *καὶ ἐγὼ οἶδα ὅτι πάθος πάθοιμι ἄν*. Λάμβανε τὸ *οἶδ' ὅτι*, παρενθετικῶς.

14 *οὔτε γὰρ ἡδονάς*. Σύμπλεκε μετὰ τοῦ κατωτέρω: *ἐάν τέ τις*.

15 *ἃς οὗτοι*. Λείπει ὁ *μέν*, καὶ ἡ ἔλλειψίς του εἶνε ἐπαισθητὴ ἐνταῦθα, ἵνα δηλωθῇ σαφῶς ὅτι συνδέεται μετὰ τῆς ἐπομένης διὰ τοῦ *δὲ* ἀρχομένης ὡσαύτως ἀναφορ. προτάσεως, ἂν καὶ ἡ ἀναφορ. ἀντωνυμία δὲν ἐτέθη ἐν αὐτῇ. Πρβλ. σελ. 518 e.

16 *οὔτε οἷς πορίζεται* = οὔτε ἐκείνους ζηλῶ οἷς πορίζεται τὰ τοιαῦτα ἀγαθά.

18 *λέγοντα πικροὺς λόγους*. Πρβλ. Μέν. 94 a, 95 a.

19 *οὔτε τὸ ἀληθὲς ἔξω εἰπεῖν*. Δηλαδή· οὐχ ἕξω τὸ ἀληθὲς οὕτως εἰπεῖν ὥστε πιστευθῆναι, ὥστε πλέον τι ποιῆσαι ἀπολογούμενος, ὡς λέγει ἐν Ἀπολ. 19 a.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

C ἔξω εἰπεῖν, ὅτι Δικαίως πάντα ταῦτα ἐγὼ λέγω, καὶ πράττω τὸ ὑμέτερον δὴ τοῦτο, ὦ ἄνδρες δικασταί, οὔτε ἄλλο οὐδέν· ὥςτε ἴσως, ὅ τι ἂν τύχω, τοῦτο πείσομαι.

ΚΑΛ. Δοκεῖ οὖν σοι, ὦ Σώκρατες, καλῶς ἔχειν, ἄνθρωπος ἐν πόλει οὕτω διακείμενος καὶ ἀδύνατος ὢν ἑαυτῷ βοηθεῖν ;

ΣΩ. Εἰ ἐκεῖνό γε ἓν αὐτῷ ὑπάρχοι, ὦ Καλλίκλεις, ὃ σὺ πολλάκις ὡμολόγησας· εἰ βεβοηθηκὼς εἴη αὐτῷ, μήτε D περὶ ἀνθρώπους μήτε περὶ θεοὺς ἄδικον μηδὲν μήτε εἰρηκὼς μήτε εἰργασμένος. αὕτη γάρ τις βοήθεια ἑαυτῷ πολλάκις ἡμῖν ὡμολόγηται κρατίστη εἶναι. εἰ μὲν οὖν ἐμέ τις ἐξελέγχοι ταύτην τὴν βοήθειαν ἀδύνατον ὄντα ἐμαυτῷ καὶ ἄλλῳ βοηθεῖν, αἰσχυνοίμην ἂν καὶ ἐν πολλοῖς καὶ ἐν ὀλίγοις ἐξελεγχόμενος καὶ μόνος ὑπὸ μόνου, καὶ εἰ διὰ ταύτην τὴν ἀδυναμίαν ἀποθνήσκοιμι, ἀγανακτοίην ἄν· εἰ δὲ κολακικῆς ῥητορικῆς ἐνδείᾳ τελευτῴην ἔγωγε, εὖ οἶδα ὅτι E ῥᾳδίως ἴδοις ἄν με φέροντα τὸν θάνατον. αὐτὸ μὲν γὰρ τὸ

1 *ὅτι Δικαίως πάντα ταῦτα — ὦ ἄνδρες δικασταί*. Μετάπτωσις ἀπὸ τοῦ πλαγίου ἐπὶ τὸν εὐθὺν λόγον, ὡς νὰ εἶχεν ἔμπροσθέν του τοὺς δικαστὰς καὶ ἀπελογεῖτο πρὸς αὐτούς. Κεφαλαιώδης ἔκφρασις τῶν ἐν τῇ Ἀπολ. ἰδίως σελ. 28 b-33 b.

*καὶ πράττω τὸ ὑμέτερον δὴ τοῦτο.* Ἀπολ. 31 b· *τὸ δ' ὑμέτερον πράττειν ἀεί*. Σημαίνει περίπου ὅ τι καὶ τὸ *σπεύδειν*. Σελ. 455 c.

4 *Δοκεῖ οὖν σοι καλῶς ἔχειν, ἄνθρωπος*. Λάμβανε τὸ ἔχειν ἀπροσώπως, τὸ δέ: *ἄνθρωπος οὕτω διακείμενος,* ἀντὶ *ἄνθρωπον οὕτω διακεῖσθαι*, ὡς ὑποκ. τοῦ *καλῶς ἔχειν*. Ὅρα παρβλ. εἰς σελ. 506 e.

7 *Εἰ ἐκεῖνό γε ἓν αὐτῷ ὑπάρχοι.* Νόει ὡς ἀπόδοσιν· καλῶς ἂν ἔχοι οὕτω διακεῖσθαι. Τό: *εἰ βεβοηθηκὼς εἴη*, ἀνάπτυξις τῆς προτέρας ὑποθέσεως.

12 *ἐμαυτῷ καὶ ἄλλῳ βοηθεῖν·* ἐμαυτῷ μὲν διὰ τοῦ τὰ δίκαια πράττειν, ἄλλῳ δὲ διὰ τοῦ διδάσκειν καὶ παιδεύειν.

13 *αἰσχυνοίμην ἂν* κ.τ.λ. = αἰσχυνοίμην ἄν, καὶ ἐν πολλοῖς ἐξελεγχόμενος, τοὺς πολλούς, καὶ ἐν ὀλίγοις τοὺς ὀλίγους, καὶ μόνος ὑπὸ μόνου, ἐμαυτόν. Τὸ τελευταῖον τοῦτο εἶνε τὸ ἐμβριθέστατον, τὸ αἰσχύνεσθαι ἑαυτόν, ἄδικα καὶ ἀνόσια πράττοντα, καὶ ἂν μηδεὶς ἄλλος ἀνθρώπων ὑπάρχῃ μάρτυς τῆς κακίας. Πρβλ. Ἱππ. Μ. 298 b.

14 *καὶ εἰ διὰ ταύτην — ἀγανακτοίην ἄν*. Θὰ ἠγανάκτουν οὐχὶ διὰ τὸν θάνατον, ἀλλὰ διὰ τὴν συνείδησιν τῆς κακίας μου. Πρβλ. Ξνφ. Ἀπολ. Σωκ. 28.

15 *εἰ δὲ κολακικῆς ῥητορικῆς* κ.τ.λ. Πρβλ. Ἀπολ. 37 d.

17 *αὐτὸ μὲν γὰρ τὸ ἀποθνήσκειν.* Πρβλ. Ἀπολ. 38 a.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀποθνήσκειν οὐδεὶς φοβεῖται, ὅςτις μὴ παντάπασιν ἀλόγιστός τε καὶ ἄνανδρός ἐστι, τὸ δὲ ἀδικεῖν φοβεῖται· πολλῶν γὰρ ἀδικημάτων γέμοντα τὴν ψυχὴν εἰς Ἅδου ἀφικέσθαι πάντων ἔσχατον κακῶν ἐστιν. εἰ δὲ βούλει, σοὶ ἐγώ, ὡς τοῦτο οὕτως ἔχει, ἐθέλω λόγον λέξαι.

ΚΑΛ. Ἀλλ' ἐπείπερ γε καὶ τἆλλα ἐπέρανας, καὶ τοῦτο πέρανον.

ΟΘʹ. ΣΩ. Ἄκουε δή, φασί, μάλα καλοῦ λόγου, ὃν 523
σὺ μὲν ἡγήσει μῦθον, ὡς ἐγὼ οἶμαι, ἐγὼ δὲ λόγον· ὡς
ἀληθῆ γὰρ ὄντα σοι λέξω ἃ μέλλω λέγειν. ὥςπερ γὰρ Ὅμηρος λέγει, διενείμαντο τὴν ἀρχὴν ὁ Ζεὺς καὶ ὁ Ποσειδῶν καὶ ὁ Πλούτων, ἐπειδὴ παρὰ τοῦ πατρὸς παρέλαβον. ἦν οὖν νόμος ὅδε περὶ ἀνθρώπων ἐπὶ Κρόνου, καὶ ἀεὶ καὶ νῦν ἔτι ἔστιν ἐν θεοῖς, τῶν ἀνθρώπων τὸν μὲν δικαίως τὸν βίον διελθόντα καὶ ὁσίως, ἐπειδὰν τελευτήσῃ, εἰς μακάρων νήσους ἀπιόντα οἰκεῖν ἐν πάσῃ εὐδαιμονίᾳ ἐκτὸς κα- B
κῶν, τὸν δὲ ἀδίκως καὶ ἀθέως, εἰς τὸ τῆς τίσεώς τε καὶ δίκης δεσμωτήριον, ὃ δὴ Τάρταρον καλοῦσιν, ἰέναι. τούτων

3 *εἰς Ἅιδου ἀφικέσθαι.* Τὴν περὶ τοῦ Ἅιδου μνείαν ἐπεφύλαξεν εἰς τὸ τέλος, ἵνα ἐντεῦθεν ἀφορμώμενος ἐκθέσῃ τὸν περὶ μελλούσης ζωῆς μῦθον ἢ λόγον.

5 *λόγον λέξαι.* Τὸ λέξω, ἔλεξα μεταχειρίζονται συνήθως περὶ λόγου μακροῦ καὶ συνεχοῦς, περὶ δημηγορίας. Ὅθεν ὁ Θουκ. προαγγέλλων ἑκάστην δημηγορίαν συνήθως μεταχειρίζεται τό: *ἔλεξε τοιάδε.* Τὸ δὲ *ἐρῶ, εἶπον,* περὶ οἱουδήποτε λόγου.

8 *Ἄκουε δή, φασί, μάλα καλοῦ λόγου.* Τὸ *φασὶ* παρενέβαλεν, διότι τὸ *ἄκουε δὴ* ἦτο τρόπον τινὰ στερεότυπον ἐν ἀρχῇ ἑκάστης διηγήσεως μύθου. Τίμ. 20 d· «Ἄκουε δή, ὦ Σώκ., λόγου μάλα μὲν ἀτόπου, παντάπασί γε μὴν ἀληθοῦς». Ἔνθα ὁ Σχολιαστής· «Τοῦτο παροιμιῶδές ἐστιν ἐφ' ὧν ἐκκαλέσασθαι βουλόμεθα τὸν ἀκούοντα· ἴσον τῷ: δέχου δὴ τὰ ἄξια ἀκοῆς». Ὁμοίως καὶ ἡμεῖς σήμερον «*Ἄκουε λοιπόν, νά σου τὰ εἰπῶ*».

9 *ἐγὼ δὲ λόγον.* Ἀντιθέτει ἐνταῦθα τὸν μῦθον πρὸς τὸν λόγον, ὡς ἐκεῖνον μὲν σημαίνοντα πεπλασμένην ἱστορίαν, τοῦτον δὲ ἀληθινήν.

10 *Ὥςπερ γὰρ Ὅμηρος λέγει·* ἐν Ἰλ. Ο. 187 ἑξ.

12 *ἐπειδὴ παρὰ τοῦ πατρὸς παρέλαβον.* Μετεχειρίσθη τὸ εὔφημον *παρέλαβον,* ἀποσιωπῶν τὸν ἀσεβῆ καὶ ἐπονείδιστον τρόπον, καθ' ὃν οἱ υἱοὶ ἐξεθρόνισαν τὸν πατέρα. Πολλαχοῦ καταφέρεται ὁ Πλ. κατὰ τῶν ποιητῶν τῶν πλασάντων περὶ τοὺς θεοὺς πράξεις τιμωρουμένας ὑπὸ τῶν ἀνθρώπων ὡς κακὰς καὶ αἰσχράς. Εὐθύφρ. 5 e-6 e. Πολιτ. 377 d-383 c.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὲ δικασταὶ ἐπὶ Κρόνου καὶ ἔτι νεωστὶ τοῦ Διὸς τὴν ἀρχὴν ἔχοντος ζῶντες ἦσαν ζώντων, ἐκείνῃ τῇ ἡμέρᾳ δικάζοντες ᾗ μέλλοιεν τελευτᾶν. κακῶς οὖν αἱ δίκαι ἐκρίνοντο. ὅ τε οὖν Πλούτων καὶ οἱ ἐπιμεληταὶ *οἱ* ἐκ μακάρων νήσων ἰόντες ἔλεγον πρὸς τὸν Δία, ὅτι φοιτῷέν σφιν ἄνθρω-
C ποι ἑκατέρωσε ἀνάξιοι. εἶπεν οὖν ὁ Ζεύς· «Ἀλλ' ἐγώ, ἔφη, παύσω τοῦτο γιγνόμενον. νῦν μὲν γὰρ κακῶς αἱ δίκαι δικάζονται· ἀμπεχόμενοι γάρ, ἔφη, οἱ κρινόμενοι κρίνονται· ζῶντες γὰρ κρίνονται. πολλοὶ οὖν, ἦ δ' ὅς, ψυχὰς πονηρὰς ἔχοντες ἠμφιεσμένοι εἰσὶ σώματά τε καλὰ καὶ γένη καὶ πλούτους, καὶ ἐπειδὰν ἡ κρίσις ᾖ, ἔρχονται αὐτοῖς πολλοὶ μάρτυρες μαρτυρήσοντες ὡς δικαίως βεβιώκασιν. οἱ οὖν δικασταὶ ὑπό τε τούτων ἐκπλήττονται καὶ ἅμα καὶ αὐτοὶ
D ἀμπεχόμενοι δικάζουσι, πρὸ τῆς ψυχῆς τῆς αὐτῶν ὀφθαλμοὺς καὶ ὦτα καὶ ὅλον τὸ σῶμα προκεκαλυμμένοι. ταῦτα

1 ***καὶ ἔτι νεωστὶ τοῦ Διὸς*** κ. τ. λ. = κατὰ τὸν πρῶτον χρόνον τῆς ἀρχῆς τοῦ Διός· ὅτε ὁ Ζεὺς ἦτο ἔτι νέος ἐν τῇ ἀρχῇ.

2 ***ζῶντες ἦσαν ζώντων*** = ἦσαν ζῶντες δικασταὶ ζώντων ἀνθρώπων, δικάζοντες αὐτοὺς κατὰ τὴν τελευταίαν ἡμέραν τοῦ βίου των.

4 ***Ὁ Πλούτων καὶ οἱ ἐπιμεληταί.*** Ὅρα προλ.

***οἱ ἐκ μακάρων νήσων.*** Ἡ συνήθης βραχυλογικὴ σύμπτυξις δύο τοπικῶν σχέσεων οἱ ἐν μακάρων νήσοις ἐκ μακάρων νήσων ἰόντες

5 ***σφιν.*** Ποιητικόν, ἀντὶ τοῦ *σφίσιν*, διότι καὶ ὁ λόγος ἀρχαιοπρεπής.

6 ***ἑκατέρωσε ἀνάξιοι***· δηλ. εἴς τε τὰς μακάρων νήσους πονηροί, καὶ εἰς τὸν τάρταρον χρηστοί.

8 ***ἀμπεχόμενοι.*** Ἐκ τοῦ *ἀμφιεχόμενοι*, ἐκθλίψει τοῦ *ι* καὶ τροπῇ τοῦ δασέος *φ* εἰς ψιλὸν *π*, διὰ τὸ ἑπόμενον δασὺ *χ*.

9 ***ζῶντες γὰρ κρίνονται.*** Ἐπεξηγ. τοῦ ***ἀμπεχόμενοι κρίνονται***· ἐπειδὴ δὲ οὐδὲ τοῦτο καθ' ἑαυτὸ εἶνε σαφές, ἐπιφέρει διὰ τοῦ ***πολλοὶ οὖν*** λόγον δηλοῦντα τὰ ἄτοπα τὰ συμβαίνοντα ἐκ τοῦ κρίνεσθαι ζῶντας, καὶ πῶς τὸ ζῆν εἶνε οἷον ἀμπεχόνη τις.

Ἐπίστησον ἐπὶ τὴν συχνὴν παρεμβολὴν τοῦ *ἔφη* καὶ τοῦ *ἦ δ' ὅς*· εἶνε σύνηθες εἰς ἁπλοϊκοὺς ἀνθρώπους ἀναδιηγουμένους λόγον ἄλλου. Οὕτω καὶ σήμερον, τὸ ***λέει***.

11 ***ἔρχονται αὐτοῖς μαρτυρήσοντες.*** Οἱ μάρτυρες εἶνε οἱ ὠφεληθέντες ἀπὸ τῶν ἀδικιῶν τοῦ κρινομένου καὶ διὰ τὴν ὠφέλειαν πιστεύοντες αὐτὸν ἀγαθὸν ἄνδρα.

12 ***οἱ δικασταὶ ὑπὸ τούτων ἐκπλήττονται*** = ἐξίστανται τοῦ ὀρθῶς διαγινώσκειν καὶ κρίνειν, παρακρούονται.

14 ***ὀφθαλμοὺς καὶ ὦτα καὶ ὅλον τὸ σῶμα προκεκαλυμμένοι.*** Ἂν καὶ τὸ προκεκαλυμμένοι εἶνε παθητικόν, ἐδέχθη ἐνεργ. σύνταξιν, διότι περιῆλθεν εἰς τὴν σημασίαν τοῦ ***ἔχοντες ὡς προκαλύμματα***.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὴ αὐτοῖς πάντα ἐπίπροσθεν γίγνεται καὶ τὰ αὐτῶν ἀμφιέσματα καὶ τὰ τῶν κρινομένων. πρῶτον μὲν οὖν, ἔφη, παυστέον ἐστὶ προειδότας αὐτοὺς τὸν θάνατον· νῦν γὰρ προΐσασι. τοῦτο μὲν οὖν καὶ διείρηται τῷ Προμηθεῖ ὅπως ἂν E
παύσῃ αὐτῶν. ἔπειτα γυμνοὺς κριτέον ἁπάντων τούτων· τεθνεῶτας γὰρ δεῖ κρίνεσθαι· καὶ τὸν κριτὴν δεῖ γυμνὸν εἶναι, τεθνεῶτα, αὐτῇ τῇ ψυχῇ αὐτὴν τὴν ψυχὴν θεωροῦντα ἐξαίφνης ἀποθανόντος ἑκάστου, ἔρημον πάντων τῶν συγγενῶν καὶ καταλιπόντα ἐπὶ τῆς γῆς πάντα ἐκεῖνον τὸν κόσμον, ἵνα δικαία ἡ κρίσις ᾖ. ἐγὼ μὲν οὖν ταῦτα ἐγνωκὼς πρότερος ἢ ὑμεῖς, ἐποιησάμην δικαστὰς υἱεῖς ἐμαυτοῦ, δύο μὲν ἐκ τῆς Ἀσίας, Μίνω τε καὶ Ῥαδάμανθυν, ἕνα δὲ ἐκ τῆς Εὐρώπης, Αἰακόν· οὗτοι οὖν ἐπειδὰν τελευτήσωσι, δικά- 524

2 *παυστέον ἐστὶ προειδότας αὐτοὺς* = δεῖ παῦσαι αὐτοὺς τοῦ προειδέναι.

4 *Τοῦτο μὲν οὖν καὶ διείρηται τῷ Προμηθεῖ.* Εἶνε καὶ ταῦτα συνέχεια τοῦ λόγου τοῦ Διός, οὐχὶ λόγος τοῦ Σωκ. Σύμπλεκε ὧδε· «Διείρηται τῷ Προμηθεῖ ὅπως ἂν παύσῃ τοῦτο αὐτῶν (= ταύτην τὴν ἰδιότητα αὐτῶν)». Ταῦτα λέγει ὁ Πλ. κατ' Αἰσχύλον. Προμηθ. 248-251.

Πρ. Θνητοὺς ἔπαυσα μὴ προδέρκεσθαι [μόρον.
Χορ. Τὸ ποῖον εὑρὼν τῆςδε φάρμακον [νόσου;
Πρ. Τυφλὰς ἐν αὐτοῖς ἐλπίδας κατῴ- [κισα.
Χορ. Μέγ' ὠφέλημα τοῦτ' ἐδωρήσω [βροτοῖς.

Ἀλλ' ὁ μὲν ποιητὴς ἐποίησε τὸν Προμηθέα ἀντιστρατευόμενον πρὸς τὴν θέλησιν τοῦ Διός, ὁ δὲ φιλόσοφος πειθαρχοῦντα καὶ ἐπιτελοῦντα τὰ σοφὰ ἐκείνου προστάγματα. Περὶ τοῦ *διείρηται* ὅρ. πρκβλ.

5 *γυμνοὺς ἁπάντων τούτων* = ἐστερημένους ἁπάντων τούτων. Τὸ *γυμνοὺς* ἐνταῦθα εἶνε κατηγορούμενον τοῦ τε ὑποκ. καὶ τοῦ ἀντικ. τοῦ *κριτέον*· «γυμνοὺς ὄντας τοὺς κριτὰς δεῖ κρίνειν γυμνοὺς ὄντας τοὺς τεθνεῶτας».

6 *τεθνεῶτας γὰρ* κ. τ. λ. Ὁ θάνατος ἐπιφέρει τὴν γύμνωσιν· διότι ὑπολείπεται μόνη ἡ ψυχή, ἵνα ὑποστῇ τὴν κρίσιν.

8 *ἐξαίφνης ἀποθανόντος ἑκάστου* = εὐθὺς μετὰ τὸν θάνατον.

10 *ταῦτα ἐγνωκὼς πρότερος ἢ ὑμεῖς.* Ταῦτα, ὡς καὶ πάντα τὰ μέχρι τοῦδε, λέγει ὁ Ζεὺς πρός τε τὸν Πλούτωνα καὶ τοὺς ἐπιμελητάς. Σώζει δὲ δι' αὐτῶν ὁ Πλάτων τὸ ἀξίωμα τοῦ Μεγάλου Θεοῦ, παριστῶν ὅτι ἐν τῇ πανσοφίᾳ του κατεῖδεν εὐθὺς τὸ περὶ τὰς δίκας ἄτοπον καὶ προὐνόησε περὶ διορθώσεως, πρὶν μάθῃ ταῦτα παρὰ τοῦ Πλούτωνος καὶ τῶν ἐπιμελητῶν.

11 *δύο μὲν ἐκ τῆς Ἀσίας.* Ὀνομάζονται Ἀσιανοὶ οἱ δύο Κρῆτες ἀδελφοί, διὰ τὴν ἐκ τῆς Ἀσίας καταγωγὴν αὐτῶν, ὄντων υἱῶν τῆς Εὐρώπης τῆς τοῦ ἐκ Φοινίκης Κάδμου θυγατρός. Καὶ ἄλλως ὑπῆρχε διαδεδομένη παράδοσις ὅτι ὁ Μίνως ἦτο ἔπηλυς ἐν Κρήτῃ. Στράβ. Βιβλ. Ι'.

13 *ἐπειδὰν τελευτήσωσι.* Ὑποτί-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σουσιν ἐν τῷ λειμῶνι, ἐν τῇ τριόδῳ, ἐξ ἧς φέρετον τὼ ὁδώ, ἡ μὲν εἰς μακάρων νήσους, ἡ δ' εἰς Τάρταρον. καὶ τοὺς μὲν ἐκ τῆς Ἀσίας Ῥαδάμανθυς κρινεῖ, τοὺς δὲ ἐκ τῆς Εὐρώπης Αἰακός· Μίνῳ δὲ πρεσβεῖα δώσω ἐπιδιακρίνειν, ἐὰν ἀπορῆτόν τι τὼ ἑτέρω, ἵνα ὡς δικαιοτάτη ἡ κρίσις ᾖ περὶ τῆς πορείας τοῖς ἀνθρώποις».

Π΄. Ταῦτ' ἔστιν, ὦ Καλλίκλεις, ἃ ἐγὼ ἀκηκοὼς πι-
B στεύω ἀληθῆ εἶναι· καὶ ἐκ τούτων τῶν λόγων τοιόνδε τι λογίζομαι συμβαίνειν. ὁ θάνατος τυγχάνει ὤν, ὡς ἐμοὶ δοκεῖ, οὐδὲν ἄλλο ἢ δυοῖν πραγμάτοιν διάλυσις, τῆς ψυχῆς καὶ τοῦ σώματος, ἀπ' ἀλλήλοιν· ἐπειδὰν δὲ διαλυθῆτον ἄρα ἀπ' ἀλλήλοιν, οὐ πολὺ ἧττον ἑκάτερον αὐτοῖν ἔχει τὴν ἕξιν τὴν αὑτοῦ, ἥνπερ καὶ ὅτε ἔζη ὁ ἄνθρωπος, τό τε σῶμα

θενται ζῶντες ἔτι, ἐν ᾧ ὁ Ζεὺς καθίστα αὐτοὺς δικαστὰς μετὰ θάνατον.

1 *δικάσουσιν* = οὐχὶ θὰ δικάσωσιν, ἀλλὰ θὰ δικάζωσιν, ἢ ὅπερ τὸ αὐτό, *ἔσονται δικασταί.*

*ἐν τῷ λειμῶνι.* Τοῦ αὐτοῦ λειμῶνος μνημονεύει καὶ ἐν Πολ. 614 e. Ὁ Ὅμηρος Ὀδ. Λ. 539, καὶ Ω. 13, γινώσκει τὸν ἀσφοδελὸν λειμῶνα· ἀλλ' οὗτος μὲν φαντάζεται αὐτὸν ὡς μόνιμον τῶν ψυχῶν ἐνδιαίτημα, ὁ δὲ Πλ. ὡς προσωρινὸν τόπον συναγωγῆς τῶν ψυχῶν καὶ διακρίσεως. Ἐν αὐτῷ φαντάζεται μίαν μὲν κοινὴν ὁδὸν ἄγουσαν ἀπὸ τῆς γῆς, ταύτην δὲ σχιζομένην κατὰ τὸ μέσον τοῦ λειμῶνος εἰς δύο, ὧν ἡ μὲν ἄγει εἰς μακάρων νήσους, ἡ δὲ εἰς τὸν τάρταρον. Ἐν τῇ οὕτω σχηματιζομένῃ τριόδῳ ἔμελλον νὰ στήσωσι τὸ δικαστήριον οἱ τρεῖς δικασταί.

4 *Μίνῳ δὲ πρεσβεῖα δώσω ἐπιδιακρίνειν.* Τὰ πρεσβεῖα = εἶνε οἷον ἀξίωμα προεδρίας ἢ ἐφορείας. Τὸ ἐπιδιακρίνειν = ἐπιφέρειν τὴν ὁριστικὴν κρίσιν, ἐν περιπτώσει ἀπορίας τῶν κυρίως δικαστῶν.

5 *περὶ τῆς πορείας* = περὶ τοῦ ἐφ' ὁπότερα δεῖ πορευθῆναι ἕκαστον

8 *τοιόνδε τι λογίζομαι συμβαίνειν.* Ἀπὸ τοῦδε ἐκθέτει ὁ Πλ. μέρος μὲν ἑαυτοῦ σκέψεις, τοῦ μύθου πορίσματα, μέρος δέ, συνέχειαν τοῦ μύθου.

10 *δυοῖν πραγμάτοιν διάλυσις.* Πρβλ Φαίδ. 64 c.

12 *οὐ πολὺ ἧττον.* Ἂν παρέλειπε τὸ *πολὺ* καὶ ἔλεγεν ἁπλῶς *οὐχ ἧττον* τοῦτο θὰ ἐσήμαινεν ὅτι *ὡσαύτως* πρό τε τῆς διαλύσεως καὶ μετ' αὐτὴν ἑκάτερον αὐτῶν διασώζει τὴν ἑαυτοῦ ἕξιν. Προσέθηκε δὲ τὸ *πολὺ* = *σχεδὸν ἐπίσης,* ἵνα ᾖ ἐγγυτάτω τῆς ἀληθείας· διότι τὸ σῶμα ὑφίσταται ἀλλοίωσίν τινα, καὶ μετὰ τὸν θάνατον εὐθύς, καὶ ἔτι μείζονα μετὰ μακρότερον χρόνον.

*ἔχει τὴν ἕξιν.* *Ἕξις* ἐνταῦθα τὸ ἀφῃρημένον τοῦ ἀμεταβάτου μετὰ τροπ. ἐπιρρ. συντασσομένου *ἔχειν*· *εὖ ἔχειν, κακῶς ἔχειν*· ὅθεν εὐεξία, καχεξία.

13 *τό τε σῶμα . . .* Ἔθηκε τὸν *τε* διανοούμενος νὰ ἐπιφέρῃ *καὶ ἡ ψυχή*· ἀλλὰ διὰ τὰ παρεμπεσόντα πολλὰ περὶ τοῦ σώματος ἀπώλεσε τὸν μίτον τοῦ λόγου, καὶ ἐπιφέρει τὰ περὶ ψυχῆς ἀνακολούθως διὰ τῶν: *Ταὐτὸν δή μοι*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν φύσιν τὴν αὐτοῦ καὶ τὰ θεραπεύματα καὶ τὰ παθήματα ἔνδηλα πάντα· οἷον εἴ τινος μέγα ἦν τὸ σῶμα φύσει ἢ τροφῇ ἢ ἀμφότερα ζῶντος, τούτου καὶ ἐπειδὰν ἀποθάνῃ C ὁ νεκρὸς μέγας, καὶ εἰ παχύς παχὺ καὶ ἀποθανόντος, καὶ τἆλλα οὕτως· καὶ εἰ αὖ ἐπετήδευε κομᾶν, κομήτης τούτου καὶ ὁ νεκρός· μαστιγίας αὖ εἴ τις ἦν καὶ ἴχνη εἶχε τῶν πληγῶν οὐλὰς ἐν τῷ σώματι ἢ ὑπὸ μαστίγων ἢ ἄλλων τραυμάτων ζῶν, καὶ τεθνεῶτος τὸ σῶμα ἔστιν ἰδεῖν ταῦτα ἔχον· κατεαγότα τε εἴ του ἦν μέλη ἢ διεστραμμένα ζῶντος, καὶ τεθνεῶτος ταῦτα ἔνδηλα. ἑνὶ δὲ λόγῳ, οἷος εἶναι D παρεσκεύαστο τὸ σῶμα ζῶν, ἔνδηλα ταῦτα καὶ τελευτήσαντος ἦν πάντα ἢ τὰ πολλὰ ἐπί τινα χρόνον. ταὐτὸν δή μοι δοκεῖ τοῦτ' ἄρα καὶ περὶ τὴν ψυχὴν εἶναι, ὦ Καλλίκλεις· ἔνδηλα πάντα ἐστὶν ἐν τῇ ψυχῇ, ἐπειδὰν γυμνωθῇ τοῦ σώματος, τά τε τῆς φύσεως καὶ τὰ παθήματα, ἃ διὰ τὴν ἐπιτήδευσιν ἑκάστου πράγματος ἔσχεν ἐν τῇ ψυχῇ ὁ

*δοκεῖ τοῦτο ἄρα καὶ περὶ τὴν ψυχήν.* Ὁ λόγος ἀσύνδετος πρὸς τὰ προηγούμενα, ὡς ἐπεξήγησις τοῦ *ἑκάτερον ἔχει*. Συμπλήρου ὧδε· «*τό τε σῶμα ἔχει τὴν φύσιν καὶ τὰ θεραπεύματα καὶ τὰ παθήματα ἔνδηλα πάντα*». Φύσιν μὲν λέγει τὰς ἐμφύτους ἰδιότητας τοῦ σώματος: μέγεθος, μορφήν, χροιὰν κ.τ.τ., θεραπεύματα δὲ τὰς ἐπικτήτους ἰδιότητας τὰς ἐκ τῆς θεραπείας προσγινομένας, οἷον τὸ πολύσαρκον ἢ λιπόσαρκον, τὴν σκληραγωγίαν ἢ σκιατραφίαν, τὸ κομᾶν ἢ κείρεσθαι κ. τ. τ. παθήματα δὲ ἃ ἔπαθεν ἄκων, οἷον μαστιγώσεις, οὐλάς, στίγματα, πήρωσιν κ. τ. τ.

5 *ἐπετήδευε κομᾶν*. Τὸ κομᾶν παρὰ τοῖς ἀρχαίοις ἦτο σεμνοπρεπὲς καὶ ἐλευθέριον. Οἱ Σπαρτιᾶται ἔτρεφον πλήρη κόμην, ἐν ᾧ οἱ Εἵλωτες καὶ ἐν γένει οἱ δοῦλοι ἐκείροντο· διότι ἡ κόμη εἶνε ἐμπόδιον εἰς χειρωνακτικὰ ἐπαγγέλματα. Οἱ Ἀθηναῖοι συνήθως περιέκειρον τὴν κόμην, ἀλλ' οὐχὶ λίαν βραχεῖαν, τινὲς δὲ σεμνότυφοι ἐκόμων, καὶ ὡς *κομῆται* ἐσκώπτοντο ὑπὸ τῶν κωμικῶν. Ὁμοίως καὶ οἱ πενθοῦντες ἔκειρον τὴν κόμην εἰς ἔνδειξιν πένθους. Φαίδ. 89 b.

6 *μαστιγίας*. Κυρίως ὁ ὑπὸ μάστιγος ἐλαυνόμενος· μεταφορικῶς δὲ πᾶς οὐτιδανὸς τὴν ψυχὴν καὶ μάστιγος ἄξιος.

*καὶ ἴχνη εἶχε τῶν πληγῶν οὐλάς*· Συμπλ. ὧδε· καὶ εἶχεν οὐλὰς (ὡς, ἴχνη τῶν πληγῶν. Τὸ *οὐλὰς* ἀντικ.) τὸ *ἴχνη* κατηγ. Οὐλὴ τὸ παραμένον ἐπὶ τοῦ σώματος σημεῖον ἢ τύπος πληγῆς ἢ τραύματος σὺν τῷ χρόνῳ θεραπευθέντος (ἐπουλωθέντος).

10 *οἷος εἶναι παρεσκεύαστο τὸ σῶμα ζῶν, ἔνδηλα ταῦτα*. Σύνταξις κατὰ τὸ νοούμενον· ἔνδηλα ταῦτα ἃ ἔσχεν ἢ ἔπαθεν κατὰ τὸ σῶμα ἐκ τοῦ παρεσκευάσθαι εἶναι τοιόσδε ἢ τοιόσδε ζῶν.

15 *τά τε τῆς φύσεως καὶ τὰ παθήματα κ. τ. λ.* = ἥ τε φυσικὴ ἕξις τῆς ψυχῆς καὶ ἡ ἐπίκτητος ἡ ἐκ τῆς τοιᾶσδε ἢ τοιᾶσδε ἐπιτηδεύσεως.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄνθρωπος. ἐπειδὰν οὖν ἀφίκωνται παρὰ τὸν δικαστήν, οἱ
E μὲν ἐκ τῆς Ἀσίας παρὰ τὸν Ῥαδάμανθυν, οἱ δ' ἐκ τῆς Εὐρώπης παρὰ τὸν Αἰακόν, ὁ Ῥαδάμανθυς ἐκείνους ἐπιστήσας θεᾶται ἑκάστου τὴν ψυχήν, οὐκ εἰδὼς ὅτου ἐστίν, ἀλλὰ πολλάκις τοῦ μεγάλου βασιλέως ἐπιλαβόμενος ἢ ἄλλου ὁτουοῦν βασιλέως ἢ δυνάστου κατεῖδεν οὐδὲν ὑγιὲς ὂν τῆς ψυχῆς ἀλλὰ διαμεμαστιγωμένην καὶ οὐλῶν με-
525 στὴν ὑπὸ ἐπιορκιῶν καὶ ἀδικίας, ἃ ἑκάστη ἡ πρᾶξις αὐτοῦ ἐξωμόρξατο εἰς τὴν ψυχήν, καὶ πάντα σκολιὰ ὑπὸ ψεύδους καὶ ἀλαζονείας καὶ οὐδὲν εὐθὺ διὰ τὸ ἄνευ ἀληθείας τεθράφθαι· καὶ ὑπὸ ἐξουσίας καὶ τρυφῆς καὶ ὕβρεως καὶ ἀ-

3 *ἐκείνους ἐπιστήσας* = ἐκείνους (τοὺς ἐκ τῆς Ἀσίας) σταματήσας πορευομένους. Ὁ Πλ. φαντάζεται τὰς ψυχὰς οὐχὶ οἴκοθεν προσερχομένας πρὸς τὸν κριτήν, ἀλλὰ πορευομένας τὴν ὁδόν των, μέχρις οὗ ἐπισχεθῶσιν ὑπὸ τῶν παρισταμένων κριτῶν.

5 *τοῦ μεγάλου βασιλέως ἐπιλαβόμενος*. Ταῦτα οἷον ἀπάντησις εἰς τὸν ὑπὸ τοῦ Πώλου εὐδαιμονισμὸν τοῦ μεγάλου βασιλέως. Κατὰ τὸν Πλάτωνα, οἱ ἐπὶ γῆς εὐδαιμονέστατοί εἰσι καὶ ἐν Ἅιδου οἱ εὐδαιμονέστατοι. (Πρβλ. τὰ ἐν τέλει σελ. 527 b· «οὐκ ἔχετε ἀποδεῖξαι ὡς δεῖ ἄλλον τινὰ βίον ζῆν ἢ τοῦτον, ὅσπερ καὶ ἐκεῖσε φαίνεται συμφέρων»). Ἀλλ' οἱ ἐπὶ γῆς *εὐδαιμονιζόμενοί* εἰσιν ὡς ἐπὶ τὸ πολὺ οἱ ἐν Ἅιδου κακοδαιμονοῦντες, καὶ τοῦτο θέλει νὰ διδάξῃ ὁ Πλ. ἐνταῦθα διὰ τοῦ παραδείγματος τοῦ μεγάλου βασιλέως.

6 *κατεῖδεν*· ἀντὶ *καθορᾷ*. Πρβλ. τὰ ἐν σελ. 484 b σεσημειωμένα.

*οὐδὲν ὑγιὲς ὂν τῆς ψυχῆς* = οὐδαμῶς ὑγιᾶ οὖσαν τὴν ψυχήν. Νόμ 776 e· «ὡς ὑγιὲς οὐδὲν ψυχῆς δούλης». Πολ. 496 c· «οὐδεὶς οὐδὲν ὑγιὲς περὶ τὰ τῶν πόλεων πράττει». Φαίδ. 90 c· «οὔτε τῶν πραγμάτων οὐδενὸς οὐδὲν ὑγιὲς οὐδὲ βέβαιον, οὔτε τῶν λόγων». Φαίνεται ὅτι ἦτο συνήθης φράσις εἰς τὸ στόμα τοῦ λαοῦ τὸ *οὐδὲν ὑγιές*. Ἀριστφ. Θεσμοφ. περὶ τῶν γυναικῶν «τὰς οὐδὲν ὑγιές».

7 *διαμεμαστιγωμένην καὶ οὐλῶν μεστήν*. Μεταφέρει τὰς περὶ τοῦ σώματος κυριολεκτουμένας λέξεις ἐπὶ τὴν ψυχήν· τὸ δὲ τολμηρὸν καὶ ἄηθες τῆς μεταφορᾶς μετριάζει διὰ τῶν ἐπιφερομένων «ὑπὸ ἐπιορκιῶν καὶ ἀδικίας», διδάσκων οὕτως ὅτι αἱ πράξεις αὗται εἰσιν ὅμοια παθήματα τῆς ψυχῆς, οἷα αἱ μαστιγώσεις τοῦ σώματος.

8 *ἃ ἑκάστη ἡ πρᾶξις* = ἃς οὐλὰς ἡ πρᾶξις ἑκάστη αὐτοῦ ἐξωμόρξατο (ἀπεστύπωσεν) εἰς τὴν ψυχήν.

Εἰς τὴν πονηρὰν ψυχὴν ἀποδίδει τὰς ἑξῆς κακίας. Α', ἐπιορκίαν τὴν ἐναντίαν τῆς ὁσιότητος. Β', ἀδικίαν τὴν ἐναντίαν τῆς δικαιοσύνης. Αὗται ἀπεργάζονται ἐν τῇ ψυχῇ ὅ τι αἱ μαστιγώσεις ἐπὶ τοῦ σώματος. Γ', τὸ ψεῦδος καὶ τὴν ἀμάθειαν, ἐξ ἧς ἡ ἀλαζονεία ταῦτα καθιστῶσι τὴν ψυχὴν σκολιὰν ὡς τὸ διεστραμμένον σῶμα. Δ', τρυφὴν καὶ ἀκράτειαν καὶ ὕβριν, τὰ ἐναντία τῆς σωφροσύνης καὶ κοσμιότητος, ἅτινα καθιστῶσι τὴν ψυχὴν ἀσύμμετρον καὶ αἰσχράν, ὡς τὸ πεπηρωμένον ἢ κατεαγὸς σῶμα.

11 *καὶ ἀκρατείας τῶν πράξεων*. Α-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κρατείας τῶν πράξεων ἀσυμμετρίας τε καὶ αἰσχρότητος γέμουσαν τὴν ψυχὴν εἶδεν· ἰδὼν δὲ ἀτίμως ταύτην ἀπέπεμψεν εὐθὺ τῆς φρουρᾶς, οἷ μέλλει ἐλθοῦσα ἀνατλῆναι τὰ προσήκοντα πάθη.

ΠΑ΄. Προσήκει δὲ παντὶ τῷ ἐν τιμωρίᾳ ὄντι ὑπ᾽ ἄλλου B ὀρθῶς τιμωρουμένου, ἢ βελτίονι γίγνεσθαι καὶ ὀνίνασθαι ἢ παραδείγματι τοῖς ἄλλοις γίγνεσθαι. [ἵνα ἄλλοι ὁρῶντες πάσχοντα ἃ ἂν πάσχῃ φοβούμενοι βελτίους γίγνωνται]. εἰσὶ δὲ οἱ μὲν ὠφελούμενοί τε καὶ δίκην διδόντες [ὑπὸ θεῶν τε καὶ ἀνθρώπων] οὗτοι, οἳ ἂν ἰάσιμα ἁμαρτήματα ἁμάρτωσιν· [ὅμως δὲ δι᾽ ἀλγηδόνων καὶ ὀδυνῶν γίγνεται αὐτοῖς ἡ ὠφέλεια καὶ ἐνθάδε καὶ ἐν Ἅιδου· οὐ γὰρ οἷόν τε ἄλλως ἀδικίας ἀπαλλάττεσθαι]. οἳ δ᾽ ἂν τὰ ἔσχατα ἀδικήσωσι καὶ C διὰ τοιαῦτα ἀδικήματα ἀνίατοι γένωνται, ἐκ τούτων τὰ παραδείγματα γίγνεται, καὶ οὗτοι αὐτοὶ μὲν οὐκέτι ὀνίνανται οὐδέν, ἅτε ἀνίατοι ὄντες, ἄλλοι δὲ ὀνίνανται οἱ τούτους ὁρῶντες διὰ τὰς ἁμαρτίας τὰ μέγιστα καὶ ὀδυνηρότατα καὶ φοβερώτατα πάθη πάσχοντας τὸν ἀεὶ χρόνον, ἀτεχνῶς παραδείγματα ἀνηρτημένους ἐκεῖ ἐν Ἅιδου ἐν τῷ δεσμωτηρίῳ, τοῖς ἀεὶ τῶν ἀδίκων ἀφικνουμένοις θεάματα D

κράτεια τῶν πράξεών ἐστι τὸ μὴ εἶναι ἐγκρατῆ ἑαυτοῦ, ἀλλ᾽ ἄλλα μὲν βούλεσθαι, ἄλλα δὲ πράττειν.

2 *ἰδὼν δὲ ἀτίμως ταύτην ἀπέπεμψεν*. Ἀτίμως = καταφρονητικῶς, ἐπονειδίστως. Εἶνε ἀπάντησις εἰς τὰ τοῦ Καλλ. 486 c· «τὸν δὲ τοιοῦτον . . . ἔξεστιν ἐπὶ κόρρης τύπτοντα μὴ διδόναι δίκην».

3 *εὐθὺ τῆς φρουρᾶς*. Λύσιδ. 203 a· «*εὐθὺ Λυκείου*»· καὶ κατωτέρω «*Δεῦρο δὴ εὐθὺ ἡμῶν*»· Φρουρὰν λέγει τὸν τάρταρον, ὡς δεσμωτήριον ὄν.

*ἀνατλῆναι*. Λέξις ποιητική. Εὐριπ. Φοίν. 60· «ὁ πάντ᾽ ἀνατλὰς Οἰδίπους παθήματα».

9 *οἱ ὠφελούμενοί τε καὶ δίκην διδόντες*. Πρωθύστερον.

12 *οὐ γὰρ οἷόν τε ἄλλως ἀδικίας ἀπαλλάττεσθαι*. Τῆς ἀδικίας οὔσης νόσου τῆς ψυχῆς, ὅπως τῶν σωματ. νοσημάτων ἡ θεραπεία γίνεται ὡς ἐπὶ τὸ πολὺ δι᾽ ἀλγηδόνων καὶ ὀδυνῶν, οὕτω καὶ τῶν τῆς ψυχῆς.

13 *οἳ δ᾽ ἂν τὰ ἔσχατα ἀδικήσωσι*. Πρβλ. Φαίδ. 113 e. Πολ. 615 e.

19 *ἐκεῖ ἐν Ἅιδου ἐν τῷ δεσμωτηρίῳ*. Τρεῖς τοπικοὶ προσδιορισμοὶ ἑνὸς καὶ τοῦ αὐτοῦ τόπου, ὧν ἕκαστος ἑπόμενος σαφέστερος τοῦ προηγουμένου. Πρβλ. σελ. 508 e· «*ἄνω ἐκεῖ ἐν τοῖς πρόσθεν λόγοις*».

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ νουθετήματα. ὧν ἐγώ φημι ἕνα καὶ Ἀρχέλαον ἔσεσθαι, εἰ ἀληθῆ λέγει Πῶλος, καὶ ἄλλον ὅςτις ἂν τοιοῦτος τύραννος ᾖ· οἶμαι δὲ καὶ τοὺς πολλοὺς εἶναι, τοὺς τούτων τῶν παραδειγμάτων, ἐκ τυράννων καὶ βασιλέων καὶ δυναστῶν καὶ τὰ τῶν πόλεων πραξάντων γεγονότας· οὗτοι γὰρ διὰ τὴν ἐξουσίαν μέγιστα καὶ ἀνοσιώτατα ἁμαρτήματα ἁμαρτάνουσι. μαρτυρεῖ δὲ τούτοις καὶ Ὅμηρος· βασιλέας
E γὰρ καὶ δυνάστας ἐκεῖνος πεποίηκε τοὺς ἐν Ἅιδου τὸν ἀεὶ χρόνον τιμωρουμένους, Τάνταλον καὶ Σίσυφον καὶ Τιτυόν· Θερσίτην δέ, καὶ εἴ τις ἄλλος πονηρὸς ἦν ἰδιώτης, οὐδεὶς πεποίηκε μεγάλαις τιμωρίαις συνεχόμενον ὡς ἀνίατον· οὐ γάρ, οἶμαι, ἐξῆν αὐτῷ· διὸ καὶ εὐδαιμονέστερος ἦν ἢ οἷς ἐξῆν. ἀλλὰ γάρ, ὦ Καλλίκλεις, ἐκ τῶν δυναμένων εἰσὶ καὶ
526 οἱ σφόδρα πονηροὶ γιγνόμενοι ἄνθρωποι· οὐδὲν μὴν κωλύει καὶ ἐν τούτοις ἀγαθοὺς ἄνδρας ἐγγίγνεσθαι, καὶ σφόδρα γε

2 *εἰ ἀληθῆ λέγει Πῶλος*. Ἡ ὑποθετικὴ πρότασις, οὐχὶ διότι ὁ Σωκρ. διστάζει περὶ τῆς ἀληθείας τῶν λόγων τοῦ Πώλου, ἀλλὰ διότι προεῖπεν ὅτι αὐτὸς οὐ γιγνώσκει τὸν ἄνδρα. Ἀκριβῶς τοῦτο σημαίνει ἡ ὁριστ. ἐν ὑποθετ. προτάσει· ὁ λέγων ἐπέχει τὴν ἑαυτοῦ γνώμην περὶ τοῦ λεγομένου, ἐπιδεικνύει δὲ μόνον τὸ ἀναγκαῖον ἐκ τούτου ἐπακολούθημα.

3 *οἶμαι δὲ καὶ τοὺς πολλοὺς* κ. τ. λ. Σύμπλεκε καὶ συμπλήρου ὧδε· «Οἶμαι δὲ καὶ τοὺς πολλούς, τοὺς τούτων τῶν παραδειγμάτων ὄντας (τοὺς ὄντας τοιαῦτα παραδείγματα), εἶναι γεγονότας ἐκ τυράννων κ. τ. λ.»

4 *ἐκ τυράννων — καὶ τὰ τῶν πόλεων πραξάντων*. Αἱ πλεῖσται τῶν Ἑλλ. πόλεων δὲν ἐγνώριζον τυράννους καὶ βασιλεῖς· τὴν θέσιν τούτων κατεῖχον οἱ πολιτικοί. Καταλέγει λοιπὸν καὶ τούτους μετ' ἐκείνων ὡς συντιμωρουμένους τὰς αὐτὰς τιμωρίας.

9 *Τάνταλον καὶ Σίσυφον καὶ Τιτυόν*. Τάνταλος ὁ τοῦ Πέλοπος πατήρ, διά τι ἀνόσιον ἔργον, ἐτιμωρεῖτο ἐν Ἅιδου ἱστάμενος μέχρι γονάτων ἐν κρυσταλλώδει ῥύακι καὶ μὴ δυνάμενος νὰ πίῃ. Σίσυφος δὲ ὁ τοῦ Αἰόλου, ὁ κτίστης τῆς Κορίνθου, δι' ὑψηλοφροσύνην καὶ ὕβριν εἰς τοὺς θεοὺς ἐτιμωρεῖτο ἐν Ἅιδου κυλίων ἄνω ὄρους παμμεγέθη λίθον, ὅςτις, ὅτε προσήγγιζε πρὸς τὴν κορυφήν, ἐξωλίσθαινε τῶν χειρῶν του καὶ κατεκυλίετο. Ὁ δὲ Τιτυὸς δι' ἀσέλγειαν ἐτιμωρεῖτο ἐν Ἅιδου δεδεμένος καὶ σπαρασσόμενος ὑπὸ γυπῶν. Τὸν Θερσίτην γινώσκει πᾶς τις ἐξ Ὁμ. Ἰλ. Β. 212-277.

11 *μεγάλαις τιμωρίαις συνεχόμενον*. Συνήθως λέγεται: *συνέχομαι* νοσήματι, ὀνείδει, ἐν γένει κακῷ τινι· ἀλλὰ καὶ *συνέχομαι δεσμοῖς*. Τίμ. 43 a· καὶ ἐνταῦθα: *τιμωρίαις*.

*οὐ γάρ, οἶμαι, ἐξῆν αὐτῷ*. Ἐκ τοῦ ἀμέσως προηγουμένου, ὡς *ἀνίατον* (= ὡς ἀνίατα ἁμαρτόντα) παραλάμβανε τὸ *ἀνίατα ἁμαρτεῖν*. Ὅρ. πρχβλ.

12 *διὸ καὶ εὐδαιμονέστερος ἦν*· ἀντὶ ἧττον ἄθλιος. Πρβλ. ὑποσ. εἰς σ. 473 d.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄξιον ἄγασθαι τῶν γιγνομένων· χαλεπὸν γάρ, ὦ Καλλίκλεις, καὶ πολλοῦ ἐπαίνου ἄξιον ἐν μεγάλῃ ἐξουσίᾳ τοῦ ἀδικεῖν γενόμενον δικαίως διαβιῶναι. ὀλίγοι δὲ γίγνονται οἱ τοιοῦτοι· ἐπεὶ καὶ ἐνθάδε καὶ ἄλλοθι γεγόνασιν, οἶμαι δέ, καὶ ἔσονται καλοὶ κἀγαθοὶ ταύτην τὴν ἀρετὴν τὴν τοῦ δικαίως διαχειρίζειν ἃ ἄν τις ἐπιτρέπῃ· εἷς δὲ καὶ πάνυ B ἐλλόγιμος γέγονε καὶ εἰς τοὺς ἄλλους Ἕλληνας, Ἀριστείδης ὁ Λυσιμάχου· οἱ δὲ πολλοί, ὦ ἄριστε, κακοὶ γίγνονται τῶν δυναστῶν.

ΠΒʹ. Ὅπερ οὖν ἔλεγον, ἐπειδὰν ὁ Ῥαδάμανθυς ἐκείνων τοιοῦτόν τινα λάβῃ, ἄλλο μὲν περὶ αὐτοῦ οὐκ οἶδεν οὐδέν, οὔθ' ὅστις οὔθ' ὧντινων, ὅτι δὲ πονηρός τις· καὶ τοῦτο κατιδὼν ἀπέπεμψεν εἰς Τάρταρον, ἐπισημηνάμενος, ἐάν τε ἰάσιμος ἐάν τε ἀνίατος δοκῇ εἶναι· ὁ δὲ ἐκεῖσε ἀφικόμενος τὰ προσήκοντα πάσχει. ἐνίοτε δ' ἄλλην εἰσιδὼν ὁσίως βε- C βιωκυῖαν καὶ μετ' ἀληθείας, ἀνδρὸς ἰδιώτου ἢ ἄλλου τινός, μάλιστα μὲν ἔγωγέ φημι, ὦ Καλλίκλεις, φιλοσόφου

1 *ἄγασθαι τῶν γιγνομένων*. Τὸ ἄγαμαι συντάσσεται ὧδε· ἄγαμαί τινός τι, ἢ τινά τινος (πργ.), ἢ μονοπτώτως *τινά*, ἢ *τί*, ἢ τινὸς (προσ.) = χαίρω ἐπ' αὐτῷ, τὸν ἢ τὸ καμαρώνω.

7 *ἐλλόγιμος γέγονε* = *ἐν λόγῳ γέγονεν*, ὡς τὸ ἐνάριθμος = ἐν ἀριθμῷ. Φιληβ. 17 e· «*οὐκ ἐλλόγιμον οὐδ' ἐνάριθμον*» τουτέστιν, οὔτε ἐν λόγῳ οὔτε ἐν ἀριθμῷ τιθέμενον.

*καὶ εἰς τοὺς ἄλλους Ἕλληνας*. Τυ *ἐλλόγιμος γέγονε* = ἐξῆλθεν ὁ περὶ αὐτοῦ λόγος, ἡ περὶ αὐτοῦ φήμη· διὰ τοῦτο μετεχειρίσθη τὴν πρόθ. *εἰς*.

12 *οὔθ' ὅστις, οὔθ' ὧντινων* = οὔτε τίς ἐστιν, οἷον Ἆγις, οὔτε τίνων ἐστίν, οἷον ὁ Ἀρχιδάμου, ἢ ὁ Ἡρακλείδης. Τοῦτο τὸ ἔθος τοῦ ὁρίζειν οὕτω τὰ πρόσωπα βεβαίως ἐμιμήθη ὁ Πλ. Ἀλλὰ τὸ *τίς* καὶ *τίνων* ἐνταῦθα σημαίνουσι, πρὸς τῷ ὀνόματι τοῦ κρινομένου, καὶ τὸ ἐν τῇ πολιτείᾳ καὶ τῇ κοινωνίᾳ ἀξίωμα· καὶ πρὸς τῷ ὀνόματι τοῦ πατρός, τὸ γένος εἰς ὃ ἀνήκει μετὰ τῶν ἱστορικῶν αὐτοῦ τίτλων.

*ὅτι δὲ πονηρός τις*. Συμπλήρου· *οἶδεν*. Ὁ δὲ θετικός.

13 *ἐπισημηνάμενος* = ἐπιθεὶς σημεῖον (οἷον σφραγῖδα) δηλωτικὸν ἂν ἥμαρτεν ἰάσιμα ἢ ἀνίατα. Πρβλ. Πολ. 614 c.

15 *ἐνίοτε δ' ἄλλην εἰσιδών*. Τὸ *ἐνίοτε*, διὰ τὸ σπάνιον θέαμα τοιούτων ψυχῶν. Τὸ *εἰσιδών*, λέξις ποιητικὴ καὶ ἄλλως δὲ ἀήθης παρὰ Πλ.

*ὁσίως βεβιωκυῖαν καὶ μετ' ἀληθείας*. Ὑπὸ τὴν ἔννοιαν τοῦ ὁσίως ὑπήγαγε τὰς τρεῖς θεμελιώδεις ἠθικὰς ἀρετάς: τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν, τὴν πρὸς τοὺς ἀνθρώπους δικαιοσύνην καὶ τὴν σωφροσύνην· ὑπὸ δὲ τὴν τῆς ἀληθείας, τὴν διανοητικὴν ἀρετὴν τῆς φρονήσεως καὶ ἐπιστήμης.

17 *ἔγωγέ φημι*. Μετ' ἐμφάσεως διὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰ αὑτοῦ πράξαντος καὶ οὐ πολυπραγμονήσαντος ἐν τῷ βίῳ, ἠγάσθη τε καὶ ἐς μακάρων νήσους ἀπέπεμψε. ταὐτὰ ταῦτα καὶ ὁ Αἰακός· ἑκάτερος δὲ τούτων ῥάβδον ἔχων δικάζει· ὁ δὲ Μίνως ἐπισκοπῶν κάθηται, μόνος ἔχων χρυσοῦν σκῆ-
D πτρον, ὥς φησιν Ὀδυσσεὺς ὁ Ὁμήρου ἰδεῖν αὐτὸν

χρύσεον σκῆπτρον ἔχοντα, θεμιστεύοντα νέκυσσιν.

Ἐγὼ μὲν οὖν, ὦ Καλλίκλεις, ὑπὸ τούτων τῶν λόγων πέπεισμαι, καὶ σκοπῶ ὅπως ἀποφανοῦμαι τῷ κριτῇ ὡς ὑγιεστάτην τὴν ψυχήν· χαίρειν οὖν ἐάσας τὰς τιμὰς τὰς τῶν πολλῶν ἀνθρώπων, τὴν ἀλήθειαν σκοπῶν πειράσομαι τῷ ὄντι ὡς ἂν δύνωμαι βέλτιστος ὢν καὶ ζῆν καὶ ἐπειδὰν ἀποθνήσκω
E ἀποθνήσκειν. παρακαλῶ δὲ καὶ τοὺς ἄλλους πάντας ἀνθρώπους, καθ' ὅσον δύναμαι, καὶ δὴ καὶ σὲ ἀντιπαρακαλῶ ἐπὶ τοῦτον τὸν βίον καὶ τὸν ἀγῶνα τοῦτον, ὃν ἐγώ φημι

τὸ παράδοξον τοῦ ἰσχυρισμοῦ κατὰ τὴν τοῦ Καλλ. δόξαν.

1 *τὰ αὑτοῦ πράξαντος* = μείναντος ἐφ' ᾧ ἐτάχθη ἢ ὑπὸ τοῦ θεοῦ, ἢ αὐτὸς ἔταξεν ἑαυτόν. Πρβλ. Ἀπολ. 28 d, 29 d, 33 a. Ἐν τῷ Χαρμίδῃ 161 b, ἑξ. ὁρίζεται ὑπὸ Κριτίου σωφροσύνη τὸ τὰ ἑαυτοῦ πράττειν. Ἐν δὲ τῇ Πολιτ. 433 a-434 c, 443 c-e ὁρίζεται ἡ δικαιοσύνη τὸ πράττειν τὰ ἑαυτοῦ ἕκαστον μέλος τῆς κοινωνίας καὶ ἕκαστον μόριον τῆς ψυχῆς.

2 *ταὐτὰ ταῦτα καὶ ὁ Αἰακός*· ποιεῖ δηλ.

3 *ῥάβδον ἔχων*. Ῥάβδος καὶ βακτηρία ἦσαν σύμβολα δημοσίων ἀξιωμάτων, ἰδίως τοῦ δικαστικοῦ. Δημοσθ. περὶ Στεφ. ℅ 210 «καὶ παραλαμβάνειν γε ἅμα τῇ βακτηρίᾳ καὶ τῷ συμβόλῳ τὸ φρόνημα τῆς πόλεως νομίζειν ἕκαστον ὑμῶν δεῖ». Τὸ δὲ σκῆπτρον, ἀπὸ Ὁμήρου ἤδη ἦτο σύμβολον βασιλέων καὶ δυναστῶν καὶ ὑψηλοτέρων ἢ ἱερωτέρων δημοσίων ἀξιωμάτων. Ἐνταῦθα ἀπονέμει τὸ σκῆπτρον μόνον εἰς τὸν Μίνωα, ὡς καὶ Ὅμηρος, εἰς δὲ τοὺς δύο ἄλλους τὴν ῥάβδον, διὰ τὸ κατώτερον ἀξίωμα.

4 *ἐπισκοπῶν κάθηται*. Τὸ κάθηται ἐνταῦθα καὶ κυριολεκτικῶς καὶ μεταφορικῶς περὶ τοῦ χρηματίζοντος δικαστοῦ. Πρβλ. Ἀπολ. 35 c.

6 *χρύσεον σκῆπτρον*. Ὀδ. Λ. 569.

8 *ἀποφανοῦμαι ὡς ὑγιεστάτην τὴν ψυχὴν* = ἀποφανῶ τὴν ἐμαυτοῦ ψυχὴν ὡς ὑγιεστάτην.

10 *πειράσομαι τῷ ὄντι* κ.τ.λ. Σύμπλεκε καὶ συμπλήρου ὧδε· «πειράσομαι, καὶ ζῆν, ὢν τῷ ὄντι ὡς ἂν δύνωμαι βέλτιστος, καὶ ἀποθνήσκειν ὢν τοιοῦτος, ἐπειδὰν ἀποθνήσκω».

13 *ἀντιπαρακαλῶ*. Ἡ *ἀντὶ* σημαίνει ἀντίστροφον παράκλησιν. Σὺ μέν με παρεκάλεις νὰ ἀφήσω τὴν μικρολόγον φιλοσοφίαν καὶ νὰ ἐπιχειρήσω τοῖς μεγάλοις καὶ ἐνδόξοις· ἐγὼ δέ σε ἀντιπαρακαλῶ ἐπὶ τοῦτον τὸν ἀγῶνα κ.τ.λ.

14 *ἐπὶ τοῦτον τὸν βίον*· δηλ. τὸν ἐν ὁσιότητι καὶ τῇ ἄλλῃ ἀρετῇ, συνδεδυασμένῃ μετὰ τῆς ἐπιστήμης, ἤγουν τῆς φιλοσοφίας.

*καὶ τὸν ἀγῶνα τοῦτον*. Νοεῖ τὴν ἐν Ἅιδου δίκην. Συνεπτυγμένως, ἀντὶ «ἀντιπαρακαλῶ σε παρασκευάζεσθαι ἐπὶ τὸν ἀγῶνα τοῦτον».

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀντὶ πάντων τῶν ἐνθάδε ἀγώνων εἶναι, καὶ ὀνειδίζω σοι,
ὅτι οὐχ οἷός τ' ἔσει σαυτῷ βοηθῆσαι, ὅταν ἡ δίκη σοι ᾖ
καὶ ἡ κρίσις ἣν νῦν δὴ ἐγὼ ἔλεγον, ἀλλὰ ἐλθὼν παρὰ τὸν
δικαστὴν τὸν τῆς Αἰγίνης υἱόν, ἐπειδάν σου ἐπιλαβόμενος
ἄγῃ, χασμήσει καὶ ἰλιγγιάσεις οὐδὲν ἧττον ἢ ἐγὼ ἐνθάδε 527
σὺ ἐκεῖ, καί σε ἴσως τυπτήσει τις ἐπὶ κόρρης ἀτίμως καὶ
πάντως προπηλακιεῖ.

ΠΓ'. Τάχα δ' οὖν ταῦτα μῦθός σοι δοκεῖ λέγεσθαι ὥς-
περ γραὸς καὶ καταφρονεῖς αὐτῶν, καὶ οὐδέν γ' ἂν ἦν θαυ-
μαστὸν καταφρονεῖν τούτων, εἴ πῃ ζητοῦντες εἴχομεν αὐ-
τῶν βελτίω καὶ ἀληθέστερα εὑρεῖν· νῦν δὲ ὁρᾷς, ὅτι τρεῖς
ὄντες ὑμεῖς, οἵπερ σοφώτατοί ἐστε τῶν νῦν Ἑλλήνων, σύ
τε καὶ Πῶλος καὶ Γοργίας, οὐκ ἔχετε ἀποδεῖξαι, ὡς δεῖ B
ἄλλον τινὰ βίον ζῆν ἢ τοῦτον, ὅςπερ καὶ ἐκεῖσε φαίνεται

1 *ἀντὶ πάντων τῶν ἐνθάδε ἀγώνων εἶναι*. Εἶναί τι ἀντί τινος = εἶναί τι ἀντάξιόν τινος δηλ. ἴσης ἀξίας, ὡς φαίνεται ἐν τοῖς Ὁμηρ. *ἀντιάνειρα, ἀντίθεος* κ. τ. λ. Ἐνταῦθα, κατά τινα λιτότητα, σημαίνει *ὑπέρτερον, περισπουδαστότερον* πάντων τῶν ἐνθάδε ἀγώνων. Ἀγῶνας νοεῖ, ἐν γένει μέν, πᾶσαν σπουδὴν καὶ μόχθον τοῦ ἀνθρώπου πρὸς πορισμὸν βίου καὶ προβιβασμὸν ἑαυτοῦ ἐν τῇ κοινωνίᾳ, ἰδίᾳ δὲ τοὺς κατὰ τὰς δίκας κινδύνους, οὓς ὁ Καλλ. ὑπελάμβανε τόσον φοβερούς, ὥςτε, καὶ μόνον ἵνα σώζηταί τις ἀπ' αὐτῶν, ἔκρινεν ἄξιον νὰ γίνηταί τις ῥήτωρ καὶ ἑταῖρος τῆς καθεστώσης ἀρχῆς, κολακεύων καὶ συναδικῶν μετὰ τῶν ἐν τῇ ἐξουσίᾳ.

*καὶ ὀνειδίζω σοι* κ. τ. λ. Ἀνταποδίδει τῷ Καλλ. τὰ αὐτὰ καὶ διὰ τῶν αὐτῶν ἐφ' ὅσον ἐνδέχεται λέξεων, ἃ οὗτος ἔμπροσθεν, ἰδίως σελ. 486 a, ἑξ.

8 *μῦθος — ὥςπερ γραός*. Γραὸς μύθους καὶ γραὸς ὕθλους ἀπεκάλουν παροιμιωδῶς πᾶσαν μωρὰν καὶ ἀνόητον διήγησιν. Πρβλ. Ἱππ. Μ. 286 a.

9 *καὶ οὐδέν γ' ἂν ἦν θαυμαστὸν καταφρονεῖν*. Ὁ Σωκ. ἀξιοῖ νὰ πιστευθῇ ὁ μῦθος οὗτος, καθ' ὅτι συμφωνεῖ πρὸς τὸν λόγον, δηλ. πρὸς τὰς διαπερανθείσας διαλεκτικὰς ἀποδείξεις. Ἂν τὰ ἐκεῖθεν συμπερανθέντα καὶ ὁμολογηθέντα ἦσαν διάφορα τῶν τοῦ μύθου, θὰ ἦτο εὔλογον νὰ καταφρονῇ τις αὐτοῦ. Οὕτω νοεῖ ὁ Πλ. τὴν χρησιμότητα τῶν μύθων. Ἐπειδὴ δὲ πάντες οἱ παραδεδομένοι ἐκ τῶν ἀρχαίων ποιητῶν μῦθοι δὲν ἦσαν τοιοῦτοι, ἐπιχειρεῖ ἐν τῇ Πολιτείᾳ διαλογὴν τῶν τε συνᾳδόντων τῷ λόγῳ καὶ τῶν ἀπᾳδόντων.

14 *ὅςπερ καὶ ἐκεῖσε φαίνεται συμφέρων*. Ἐν τῇ διαλεκτικῇ ζητήσει μετὰ Καλλ. Πώλου καὶ Γοργ. δὲν εὗρον ὅτι συμφέρει νὰ ζῶσιν ἐνταῦθα ἄλλον βίον ἢ αὐτὸν τοῦτον, ὅςτις φαίνεται καὶ ἐν τῷ μέλλοντι συμφέρων· ὁ αὐτὸς βίος καθιστᾷ τὸν ἄνθρωπον εὐδαίμονα καὶ ἐνταῦθα καὶ ἐκεῖ. Τὸ *ἐκεῖσε* ἀντὶ τοῦ *ἐκεῖ*, διότι εἶχεν ἐν νῷ τὴν ἐκεῖσε πορείαν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

συμφέρων· ἀλλ' ἐν τοσούτοις λόγοις τῶν ἄλλων ἐλεγχο-
μένων μόνος οὗτος ἠρεμεῖ ὁ λόγος, ὡς εὐλαβητέον ἐστὶ τὸ
ἀδικεῖν μᾶλλον ἢ τὸ ἀδικεῖσθαι, καὶ παντὸς μᾶλλον ἀνδρὶ
μελετητέον οὐ τὸ δοκεῖν εἶναι ἀγαθὸν ἀλλὰ τὸ εἶναι, καὶ
ἰδίᾳ καὶ δημοσίᾳ· ἐὰν δέ τις κατά τι κακὸς γίγνηται, κο-
λαστέος ἐστί, καὶ τοῦτο δεύτερον ἀγαθὸν μετὰ τὸ εἶναι δί-
C καιον, τὸ γίγνεσθαι καὶ κολαζόμενον διδόναι δίκην· καὶ
πᾶσαν κολακείαν καὶ τὴν περὶ ἑαυτὸν καὶ τὴν περὶ τοὺς
ἄλλους, καὶ περὶ ὀλίγους καὶ περὶ πολλούς, φευκτέον· καὶ
τῇ ῥητορικῇ οὕτω χρηστέον, ἐπὶ τὸ δίκαιον ἀεί, καὶ τῇ
ἄλλῃ πάσῃ πράξει. Ἐμοὶ οὖν πειθόμενος ἀκολούθησον ἐν-
ταῦθα, οἷ ἀφικόμενος εὐδαιμονήσεις καὶ ζῶν καὶ τελευτή-
σας, ὡς ὁ νῦν λόγος σημαίνει. καὶ ἔασόν τινά σου κατα-
φρονῆσαι ὡς ἀνοήτου καὶ προπηλακίσαι, ἐὰν βούληται,
D καὶ ναὶ μὰ Δία σ' ἐπὶ κόρρης πατάξαι τὴν ἄτιμον ταύτην
πληγήν· οὐδὲν γὰρ δεινὸν πείσει, ἐὰν τῷ ὄντι ᾖς καλὸς κἀ-
γαθός, ἀσκῶν ἀρετήν. κἄπειτα οὕτω κοινῇ ἀσκήσαντες,
τότε ἤδη, ἐὰν δοκῇ χρῆναι, ἐπιθησόμεθα τοῖς πολιτικοῖς,
ἢ ὁποῖον ἄν τι ἡμῖν δοκῇ, τότε βουλευσόμεθα, βελτίους

1 *ἐν τοσούτοις λόγοις*. Νοεῖ τὸ πλῆθος τῶν προεκτεθέντων παντοδαπῶν λόγων καὶ ἄνω κάτω στρεφομένων καὶ μεταπιπτόντων.

2 *μόνος οὗτος ἠρεμεῖ* = διαμένει ἔμπεδος, ἀμετάπτωτος.

4 *οὐ τὸ δοκεῖν εἶναι ἀγαθόν, ἀλλὰ τὸ εἶναι.* Αἰνίττεται τὰ περιλάλητα χρυσᾶ ἔπη τοῦ Αἰσχύλου περὶ Ἀμφιαράου (Ἑπτ. ἐπὶ Θήβ. 598) «οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλει κ. τ. λ.», ἅπερ οἱ θεαταὶ ἀκούσαντες ἀπέβλεψαν εἰς τὸν Ἀριστείδην. Πλουτ. Β. Ἀριστ. Γ'. Πρβλ. καὶ Πολιτ. 361, ἑξ.

6 *δεύτερον ἀγαθὸν μετὰ τὸ εἶναι δίκαιον, τὸ γίγνεσθαι* δηλ. *δίκαιον*.

11 *ἀκολούθησον ἐνταῦθα*. Ἐξυπακουστέον· *ἔνθα ἐγὼ ἵσταμαι*· ταῦτα δὲ μεταφορικῶς, ἀντί· «ἄσπασαι τὸν ἐμὸν τρόπον τοῦ βίου· ἐπιτήδευε ἅπερ καὶ ἐγώ».

15 *τὴν ἄτιμον ταύτην πληγήν*· δηλ. τὴν ἐπὶ κόρρης, ἄτιμον = τὴν ἀτιμωτικήν.

17 *κοινῇ ἀσκήσαντες*· ἀρετὴν δηλ.

18 *ἐπιθησόμεθα τοῖς πολιτικοῖς*. Συνώνυμον τῷ *ἐπιχειρήσομεν*, ἀλλ' ἐμφαντικώτερον· ἐπιχειρῶ τινι = ἐπιβάλλω χεῖρα ἐπί τι· ἐπιτίθεμαί τινι = ἐπιθέτω ὅλον ἐμαυτὸν ἐπί τι.

19 *ἢ ὁποῖον ἄν τι ἡμῖν δοκῇ*. Συμπλ. *χρῆναι ποιεῖν*.

*βελτίους ὄντες βουλεύεσθαι* = ἱκανώτεροι ὄντες εἰς τὸ βουλεύεσθαι. Ἐκ τῆς τοῦ ἤθους βελτιώσεως, ἐκ τῆς ἠθικῆς ἀρετῆς, προσδοκᾷ καὶ τὴν διανοητικὴν ἀρετήν, τὴν ὀρθοφροσύνην

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὄντες βουλεύεσθαι ἢ νῦν. αἰσχρὸν γάρ, ἔχοντάς γε ὡς νῦν φαινόμεθα ἔχειν, ἔπειτα νεανιεύεσθαι ὥς τι ὄντας, οἷς οὐδέποτε ταὐτὰ δοκεῖ περὶ τῶν αὐτῶν, καὶ ταῦτα περὶ τῶν μεγίστων· εἰς τοσοῦτον ἥκομεν ἀπαιδευσίας! ὥςπερ οὖν E
ἡγεμόνι τῷ λόγῳ χρησώμεθα τῷ νῦν παραφανέντι, ὃς ἡμῖν σημαίνει, ὅτι οὗτος ὁ τρόπος ἄριστος τοῦ βίου, καὶ τὴν δικαιοσύνην καὶ τὴν ἄλλην ἀρετὴν ἀσκοῦντας καὶ ζῆν καὶ τεθνάναι. τούτῳ οὖν ἑπώμεθα, καὶ τοὺς ἄλλους παρακαλῶμεν, μὴ ἐκείνῳ, ᾧ σὺ πιστεύων ἐμὲ παρακαλεῖς· ἔστι γὰρ οὐδενὸς ἄξιος, ὦ Καλλίκλεις.

1 *Αἰσχρὸν γάρ, ἔχοντάς γε κ.τ.λ.* Ἀντιστροφὴ τῶν τοῦ Καλλ. 486 α· «οὐκ αἰσχρὸν δοκεῖ σοι εἶναι οὕτως ἔχειν κ.τ.λ.» Ἀλλ' ὁ Σωκ. ἐν τῇ μετριοφροσύνῃ του περιλαμβάνει καὶ ἑαυτὸν ἐν τῷ ὀνείδει τούτῳ.

2 *νεανιεύεσθαι* = ἀλαζονεύεσθαι ὡς οἱ κουφότεροι τῶν νέων.

*ὥς τι ὄντας* = ὡς νὰ εἴμεθα κἄτι τι. Τὸ *τὶ* ἐν τοιαύτῃ χρήσει διαμένει ἄκλιτον· οἷον· *τῶν οἰομένων εἶναί τι.*

*οἷς οὐδέποτε ταὐτὰ δοκεῖ περὶ τῶν αὐτῶν.* Αἰσχίστην ἕξιν καὶ ἀπαιδευσίαν ὑπολαμβάνει ὁ Σωκ. τὴν περὶ τὰ μέγιστα καὶ σπουδαιότατα τοῦ ἀνθρώπου ἀμάθειαν, τὸ μὴ ἔχειν βεβαίας γνώμας ἀλλ' ἄνω καὶ κάτω μεταβάλλεσθαι περὶ αὐτά.

5 *τῷ νῦν παραφανέντι* = τῷ ἐκ τῆς συζητήσεως προκύψαντι.

6 *καὶ τὴν δικαιοσύνην καὶ τὴν ἄλλην ἀρετὴν ἀσκοῦντας καὶ ζῆν καὶ τεθνάναι.* Ἀνάπτυξις τοῦ οὗτος ὁ τρόπος ἄριστος τοῦ βίου.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΑΡΕΚΒΟΛΑΙ ΕΙΣ ΤΟΝ ΓΟΡΓΙΑΝ

Σελ.
447

***παρ' ἐμὲ ἥκειν οἴκαδε.*** Ἐν ταῖς ὑποσημ. ἐκδέχομαι τὸ ἀπαρέμφ. ἀντὶ προστακτ. καὶ ὡς τὴν ἀπόδοσιν τῆς ὑποθετ. προτάσεως. Οὕτω καὶ Ὀλυμπιόδωρος «Ὁ Καλλικλῆς φησιν· Ὅταν θέλητε, ἔλθετε εἰς τὸν οἶκον, καὶ ποιῶ αὐτὸν ἐπιδείξασθαι». Ἄλλη ἐκδοχὴ εἶνε, ὅτι ἀπεσιωπήθη ἡ ἀπόδοσις, ὡς εὐνόητος, ὅπως καὶ ἡμεῖς σήμερον φιλοφρόνως λέγομεν «Ἂν θέλετε νὰ κοπιάσητε στὸ σπίτι μου . . . ἔνθα ἀποσιωπᾶται ἡ ἀπόδοσις: *κοπιάσατε*». Ἀλλὰ τοιαύτη ἀποσιώπησις συμβαίνει ἐπὶ ὑποθετ. λόγων, οὐχὶ δὲ καὶ χρονικῶν. Τρίτη ἐκδοχὴ εἶνε ἡ ἀνακολουθία, καθ' ἣν διενοεῖτο μὲν νὰ ἐπιφέρῃ ὡς ἀπόδοσιν τὸ *ἐπιδείξεται*, παρενέθηκε δὲ πρὸ αὐτοῦ τὴν διὰ τοῦ *γὰρ* πρότασιν, ἔπειτα δὲ τρόπον τινὰ ἀπολέσας τὸν μίτον τοῦ λόγου, συνέδεσε τὴν κυρίαν μετὰ τῆς παρενθετικῆς διὰ τοῦ ***καὶ*** ὧδέ πως· «Οὐκοῦν ὅταν βούλησθε παρ' ἐμὲ ἥκειν οἴκαδε — παρ' ἐμοὶ γὰρ Γοργίας διατρίβει — (καὶ) ἐπιδείξεται ὑμῖν». Ὁ Σχάντιος μετὰ τῆς συνήθους εὐμαρείας ἐκκόπτει τὸν ***καί***. b

Μεγάλην ταραχὴν ἐπήνεγκε καὶ τὸ ἀβέβαιον τῆς γραφῆς τοῦ ***ὅταν βούλησθε***. Τινὰ χειρόγρ. φέρουσιν ***ὅταν βούλεσθε*** ἢ ὅταν βουλήσεσθε, ἢ ὅτε βουλήσεσθε, ὧν τὰ δύο πρῶτα εἶνε σόλοικα· ἀλλὰ παρέχουσιν ὑποψίαν καὶ ἀφορμὴν πρὸς ἀποπείρας διορθώσεων· ὧν περιεργοτάτη εἶνε ἡ τοῦ Ἐμστερουϊσίου: «Οὐκοῦν, ὦ τᾶν, βούλεσθε παρ' ἐμὲ ἥκειν οἴκαδε;»

Τὴν ὀρθὴν κατάληψιν καθιστᾷ δυσχερῆ καὶ ἡ προκατάληψις τῶν πλείστων ἑρμηνευτῶν, ὅτι ὁ διάλογος ἐγένετο ἐν τῇ οἰκίᾳ τοῦ Καλλικλέους. Περὶ τούτου ἐπραγματεύθην τὰ δέοντα ἐν τῇ εἰσαγωγῇ κεφ. Ε'. Ὑποκειμένου ὅτι ὁ διάλογος δὲν ἐγένετο ἐν τῇ οἰκίᾳ τοῦ Καλλικλέους, ἐννοῶ τὰ ἐν ἀρχῇ γενόμενα ὧδέ πως· Ὁ Γοργίας εἶχε τελέσει μίαν τῶν συνήθων ἐπιδείξεών του ἐν τῷ Λυκείῳ. Ἐκάθητο λοιπὸν παρά τινα πλευρὰν τοῦ οἰκοδομήματος· ἔνθεν καὶ ἔνθεν αὐτοῦ οἱ οἰκειότατα πρὸς αὐτὸν διακείμενοι, ἐν οἷς Πῶλος καὶ Καλλικλῆς· ἔμπροσθεν αὐτῶν, ἐν ἡμικυκλίῳ, πλῆθος ἀκροατῶν. Ὁ Καλλ. ἰδὼν ἀπὸ τῆς ἕδρας του προσερχομένους τὸν Σωκ. καὶ Χαιρ. ἀνέστη, διέσχισε τὸ ἡμικύκλιον τῶν ἀκροατῶν καὶ ὑπαντήσας προσηγόρευσεν αὐτοὺς φιλοφρόνως διὰ τῶν ***Πολέμου καὶ μάχης***· οὕτω δὲ ἱστάμενοι οἱ τρεῖς διελέχθησαν τὰ μέχρι τοῦ ***Μανθάνω καὶ ἐρήσομαι.*** Ἐνταῦθα ὑποτίθεται ὅτι προέβησάν τινα βήματα διὰ μέσου τῶν ἀκροατῶν πρὸς τὴν ἕδραν τοῦ Γοργ. καὶ ὁ Χαιρεφῶν, ὢν καὶ πρότερον γνώριμος τοῦ Γοργ., ἀμέσως ἀποτείνει πρὸς αὐτὸν τὸν λόγον: Εἰπέ μοι, ὦ Γοργία, κ. τ. λ.

***καὶ γὰρ αὐτῷ.*** Τινὰ χειρόγρ. τῶν ὑποδεεστέρων φέρουσιν ***αὐτό***, ὅπερ ἀπεδέχθη ὁ Εἰνδορφ. συμπλέκων ***αὐτὸ τοῦτο***· ἐπηκολούθησε δὲ καὶ Κορ. Ἀλλ' ἡ δοτ. ἔχει κάλλιστα. c

***ἢ οὐ μανθάνεις, ὡς λέγω.*** Τινὰ χειρόγρ. ***ὃ λέγω.*** d

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

***ῥαδίως ἀποκρίνει;*** Τινὰ χειρόγρ. *ἀποκρινεῖ*· οὕτω καὶ πολλοὶ ἐκδόται.
448 'Αλλ' εἰς τὸ *ἀποκρινεῖ* δὲν εὐαρμοστεῖ ἡ ἀπόκρισις τοῦ Γοργ. «Πάρεστι κ. τ. λ.»
a ***ἂν δέ γε βούλῃ, ὦ Χαιρεφῶν, ἐμοῦ.*** Οἱ ἑρμηνευταὶ ἐκλαμβάνουσι τὸ *ἐμοῦ* ὡς ἀνῆκον εἰς τὴν ἀπόδοσιν, νοοῦντες συμπλήρωσιν: *ἐμοῦ λάβε πεῖραν*. 'Αλλ' οὕτω μοι φαίνεται ὅτι ὁ λόγος τοῦ Πώλου, ὁ καὶ ἄλλως ἤδη ἱκανῶς αὐθάδης, καταντᾷ ἀφόρητος. Διὰ τοῦτο κλίνω μᾶλλον νὰ πιστεύσω, ὅτι ἀποτελεῖ μέρος τῆς ὑποθ. προτάσεως, ἀποσιωπομένης τῆς ἀποδόσεως. «Νὴ Δία· ἂν δέ γε βούλῃ, ὦ Χαιρεφῶν, ἐμοῦ πεῖραν λαβεῖν . . . Γοργίας μὲν γὰρ κ.τ.λ.» Οὕτως ἀποβαίνει ὁ λόγος ἠπιώτερος. Τοιαῦται παραλείψεις τῆς ἀποδόσεως ὑποθετ. λόγων ἦσαν συνηθέσταται καὶ τότε καὶ σήμερον. Εἶνε γνωστότατον τὸ 'Ομηρικὸν 'Ιλ. Α· 135 «εἰ μὲν δώσουσι γέρας μεγάθυμοι 'Αχαιοί . . .» καὶ Γοργ. 456 a «*εἰ πάντα γε εἰδείης*».

e ***ἀλλ' οὐδεὶς ἐρωτᾷ.*** Οὕτω πάντα τὰ χργρ. 'Ο Βέκκερος διώρθωσεν *ἠρώτα*, ὅπερ ἀπεδέχθησαν πολλοὶ μετ' αὐτόν, οἰκονομοῦντες οὕτω τὸ ἄηθες τῆς ἐξαρτήσεως ἐρωτηματ. λόγου κατ' εὐκτ. ἐκ ῥήματος ἐνεστ. χρόνου. 'Εμμένω εἰς τὸν ἐνεστῶτα. Τὸ *οὐδεὶς ἐρωτᾷ* ἐξηνέχθη ὡς καθόλου πρότασις, ὅπου μόνος ὁ ἐνεστὼς ἁρμόζει. Ἂν ἔλεγεν *ἠρώτα*, τὸ *οὐδεὶς* θὰ ἦτο ἄτοπον· ἀναγκαίως θὰ ἔλε-
449 γεν· «'Αλλ' ὁ Χαιρεφῶν οὐκ ἠρώτα». Πρβλ. καὶ τὰ εἰς σελ. 461 d.
b ***'Αλλ' ὅπερ ὑπισχνεῖ, μὴ ψεύσῃ.*** Τινὰ τῶν ὑποδεεστέρων χγρ. μετὰ τὸ *ἀποθέσθαι* παρεμβάλλουσι: *Γορ. Ναί*· ὥστε τό, *'Αλλ' ὅπερ*, νὰ εἶνε ἀρχὴ νέου λόγου τοῦ Σωκ. Καὶ τῷ ὄντι φαίνεται λίαν ἄπορον, πῶς ὁ Σωκ. χωρὶς νὰ λάβῃ καταφατικὴν παρὰ Γορ. ἀπόκρισιν, ἐξακολουθεῖ λέγων· «ἀλλὰ κύτταξε νὰ φυλάξῃς τὴν ὑπόσχεσίν σου». Καὶ ὁ μὲν Σταλβ. πειρᾶται νὰ οἰκονομήσῃ τὸ πρᾶγμα, λέγων ὅτι ὁ Σωκ. βέβαιος ὢν περὶ τῆς καταφατικῆς τοῦ Γορ. ἀποκρίσεως, ἐπιφέρει τὴν παρακέλευσιν νὰ τηρήσῃ τὸν λόγον του. 'Ο δὲ Ἀστ. νομίζει τοῦτο ἀδύνατον, καὶ ὅτι ἢ πρέπει νὰ τραπῇ τὸ *ὅπερ* εἰς *εἴπερ*, ἢ νὰ εἰσαγάγωμεν τὸ «*Γορ. Ναί*», δι' οὗ αἴρονται, ὡς νομίζει, πᾶσαι αἱ δυσχέρειαι. Οἱ λοιποὶ ἑρμηνευταὶ σιγῶσιν.

'Η οἰκονομία τοῦ Σταλβ. φαίνεται καὶ εἰς ἐμὲ ἀνοικονόμητος. 'Αλλὰ καὶ ἡ παραδοχὴ τοῦ *Γορ. Ναὶ* δὲν αἴρει, ἀλλὰ προσθέτει δυσχερείας. 'Η ἀπόκρισις τοῦ Γορ. ἐπέρχεται εἰς τὸ τέλος· εἶνε δὲ τοιαύτη ὥστε δὲν ἐπιβεβαιοῖ τὸ *ἁπλοῦν Ναί*, ἂν προηγήθη τοιοῦτον, ἀλλ' εἶνε *Ναὶ* ὑπὸ ὅρους οἵτινες καθιστῶσιν αὐτὸ λίαν ἀμφίβολον. 'Η ἀπόκρισις ἄρα ἡ ἐν τέλει δὲν συνᾴδει πρὸς τὴν προηγηθεῖσαν διὰ τοῦ *Ναί*. Τὸ πρᾶγμα ἔχει ὧδε· 'Ο ἐρωτηματ. λόγος τοῦ Σωκ. εἶνε κατὰ τύπους ἐρώτησις, πράγματι δὲ παράκλησις. 'Ως τοιοῦτος δὲ ἐνδέχεται κατὰ τὸ ἥμισυ νὰ εἶνε ἐρωτηματικὸς καὶ κατὰ τὸ ἄλλο ἥμισυ νὰ ἀποβάλῃ τὸν τύπον τῆς ἐρωτήσεως. 'Ιππ. 'Ελ. 364 c· «Ἆρ' ἄν τί μοι χαρίσαιο τοιόνδε, μή μου καταγελᾶν, ἐὰν μόγις μανθάνω τὰ λεγόμενα καὶ πολλάκις ἀνερωτῶ; ἀλλά μοι πειρῶ πράως τε καὶ εὐκόλως ἀποκρίνεσθαι». 'Ο λόγος λοιπὸν καὶ ἐνταῦθα εἶνε συνεχὴς μέχρι τέλους λόγος τοῦ Σωκ.

'Αλλὰ τί ὑπισχνεῖται ὁ Γορ. ὅπερ ὁ Σωκ. τὸν παρακαλεῖ νὰ μὴ παραβῇ; 'Ο Γοργ. ὑπισχνεῖται ὅτι θὰ ἀποκρίνηται τὸ *ἐρωτώμενον*· τὸ ἐβεβαίωσεν ἐν ἀρχῇ ὁ Καλλ. πρὸς τὸν Σωκ καὶ ὕστερον αὐτὸς ὁ Γορ. πρὸς τὸν Χαιρεφ. Ἴσως ὁ Γορ. δὲν εἶχε σαφῆ συνείδησιν τῆς ὑποχρεώσεως ἣν ἀνελάμβανεν, ὑπισχνούμενος ὅτι *θὰ ἀποκρίνηται τὸ ἐρωτώμενον*, ὅπως δὲν εἶχεν οὐδ' ὁ Πῶλος, καὶ ἐλέγχεται

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὑπὸ τοῦ Σωκ. ὅτι, «ὃ *ὑπέσχετο* Χαιρεφῶντι οὐ ποιεῖ», ὅτι «οὐκ ἀποκρίνεται 449
τὸ ἐρωτώμενον»· ὁμοίως καὶ κατωτέρω «σοῦ μακρὰ λέγοντος καὶ μὴ ἐθέλοντος τὸ ἐρωτώμενον ἀποκρίνεσθαι». Μεταξὺ ἐρωτήσεως καὶ ἀποκρίσεως διαλεκτικῆς ὑπάρχει τοιαύτη σχέσις, ὥςτε πολλάκις αὐτὴ ἡ ἐρώτησις παρέχει καὶ τὸ μέτρον τῆς ἀποκρίσεως· ἡ ὑπέρβασις τοῦ μέτρου εἶνε τρόπον τινὰ ὑπεκφυγὴ τῆς ἀποκρίσεως. Πρβλ. καὶ Πρωταγ. 336 c.

Ὁ νοῦς λοιπὸν τοῦ χωρίου εἶνε τοιόςδε· Ἆρα, ὦ Γοργία, θὰ εἶχες τὴν καλὴν διάθεσιν νὰ ἐξακολουθήσῃς, ὅπως τώρα διαλεγόμεθα, μὲ τὴν σειρὰν νὰ ἐρωτᾷς, καὶ νὰ ἀποκρίνησαι, τοὺς δὲ μακροὺς λόγους, ὅπως ἤρχισε καὶ ὁ Πῶλος, νὰ ἀναβάλῃς εἰς ἄλλην εὐκαιρίαν; Ἀλλ' ἀπόδειξον ἀληθῆ τὴν ὑπόσχεσίν σου, (ἣν συνειθίζεις νὰ δίδῃς πρὸς πάντα), καὶ θέλησον νὰ ἀποκρίνησαι τὸ *ἐρωτώμενον* κατὰ βραχὺ (ὅσον ἀπαιτεῖ ἑκάστοτε ἡ ἐρώτησις, μηδὲν προσθέτων ἔξω τοῦ πράγματος).

***Ἀλλὰ ποιήσω.*** Ὁ Κορ. διορθοῖ *ποιήσομαι*, ὡς νὰ ἐπανελάμβανεν ὁ Γορ. c
μίαν λέξιν τῶν τοῦ Σωκ. καὶ νὰ ἄφινε τὰς λοιπὰς νὰ νοῶνται. Ἀλλὰ ποιήσομαι (ἐπίδειξιν τῆς βραχυλογίας δηλ.). Ἡ διόρθωσις δὲν εἶνε ἐπιτυχής. Ὁ Γοργ. δὲν ὑπισχνεῖται ὅτι ποιήσεται ἐπίδειξιν βραχυλογίας· τοῦτο δὲν τῷ εἶνε πάντοτε δυνατόν· ἀλλ' ὅτι ποιήσει ὡς ἐπιθυμεῖ ὁ Σωκ. τουτέστι πειράσεται ἀποκρίνεσθαι ὡς διὰ βραχυτάτων. 462 b «Σωκ. Καὶ νῦν δὴ . . . ἐρώτα ἢ ἀποκρίνου. — Πῶλ. Ἀλλὰ ποιήσω ταῦτα, καί μοι ἀπόκριναι».

***Ἡ ῥητορικὴ περί τι τῶν ὄντων τυγχάνει οὖσα.*** Πᾶσαι αἱ ἐκδόσεις φέ- d
ρουσι *περὶ τί τῶν ὄντων τυγχάνει οὖσα;* Ὅσον καὶ ἂν ἐβασάνισα τὸν νοῦν μου ὅπως εὕρω σωτηρίαν τῆς κοινῆς γραφῆς, δὲν ἠδυνήθην νὰ πείσω ἐμαυτόν, ὅτι ὁ Σωκ. ἐρωτῶν περὶ τοῦ ἔργου τῆς ῥητορικῆς, καὶ ὑποβάλλων τῷ Γορ. παραδείγματα, ἵνα καταστήσῃ σαφέστερον τὸ τί ζητεῖ διὰ τῆς ἐρωτήσεώς του, ὑποβάλλει ταῦτα οὕτως ἀδεξίως, ὥςτε ὁ ἐρωτώμενος νὰ μὴ ἠξεύρῃ πλέον ἂν ἐρωτᾶται περὶ τοῦ ἔργου τῆς ῥητορικῆς, ἢ τοῦ τῆς ὑφαντικῆς.

Ὁ Σωκ. ἄρχεται σειρᾶς συλλογιστικῆς, ἐν ᾗ τὰ ἀναμφισβήτητα τίθησιν αὐτός, καὶ μόνον τυπικὴν ἐπιβεβαίωσιν ζητεῖ παρὰ Γοργ. Τοιοῦτόν τι ἀναμφισβήτητον, τιθέμενον ὑπ' αὐτοῦ τοῦ Σωκ. εἶνε ὅτι ἡ ῥητορικὴ τυγχάνει οὖσα *περί τι* τῶν ὄντων, ὡς καὶ πᾶσα ἄλλη τέχνη, οἷον ἡ ὑφαντικὴ καὶ ἡ μουσική. Δι' ὁμοίων θέσεων ἄρχεται κατωτέρω νέων συλλογιστικῶν σειρῶν· οἷον σελ. 450 c· «ἀλλ' ἀπόκριναι· εἰσὶν ἡμῖν τέχναι· ἦ γάρ; Γορ. Ναί. Σωκ. Πασῶν δέ, οἶμαι, τῶν τεχνῶν κ.τ.λ.»· καὶ ἔτι κατωτέρω 451 d· «Ἴθι δὴ οὖν καὶ σύ, ὦ Γοργία· τυγχάνει μὲν γὰρ ἡ ῥητορικὴ οὖσα τῶν λόγῳ τὰ πάντα διαπραττομένων καὶ κυρουμένων τις· ἦ γάρ; - Γορ. Ἔστι ταῦτα.— Σωκ. Λέγε δὴ τῶν περὶ τί; — Διώρθωσα λοιπὸν *περί τι*» κατά τινα χειρόγραφα καὶ κατὰ τὸν Ῥούθιον.

***ἄγαμαί σου τὰς ἀποκρίσεις*** Πολλὰ χγρ. ἀντὶ σου φέρουσι *γε*. d

***Ἆρ' οὖν καὶ ἣν νῦν δὴ ἐλέγομεν, ἡ ἰατρική, περὶ τῶν καμνόντων*** e
***δυνατοὺς εἶναι φρονεῖν καὶ λέγειν;*** Πολυτρόπως συνεχύθη ἡ ῥῆσις αὕτη ἐν τοῖς χγρ. εὐτυχῶς ἄνευ συγχύσεως καὶ τοῦ νοήματος. Μετὰ τὸ *ἆρ' οὖν* παρεμβάλλεται *οὐ*· παραλείπεται ὁ *καί*· ἀντὶ *ἐλέγομεν, λέγομεν*· ἀντί, *ἡ ἰατρική, ἰατρική,* ἢ *ἰατρικήν*· μετὰ τὸ καμνόντων παρεμβάλλεται *ποιεῖ*. Καὶ οἱ ἐκδόται

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

449 ἄλλοι ἄλλα τούτων ἀποδέχονται. Ὁ Deutschle καὶ ὁ Κρόνιος τρέπουσι τὸ *εἶναι* εἰς *ποιεῖ*.

450 ***Ἀρ' οὖν μανθάνω οἵαν βούλει αὐτὴν καλεῖν;*** Οὐδεμίαν δυσχέρειαν
c παρέχει τὸ νόημα. Ἐν τῇ ψυχῇ τοῦ Σωκ. ἀναβαίνει ἀμυδρά τις ἔννοια τῆς κατὰ Γοργίαν οὐσίας τῆς ῥητορικῆς· διστάζων δ' ἐρωτᾷ τρόπον τινὰ ἑαυτόν. Καὶ ἡμεῖς λέγομεν ὁμοίως· «Νὰ ἐκατάλαβα τί μου εἶπες, ἢ μήπως ἀπατῶμαι; — Ἀλλ' ἄς εἶνε, ὕστερα θὰ καταλάβω καλλίτερα». Ποία εἶνε ἡ ἀμυδρὰ ἔννοια δηλοῦται κατωτέρω, ὅτι εἶνέ τινες τέχναι διὰ λόγου περαίνουσαι τὸ πᾶν, ἄνευ χειρουργίας, καὶ ὅτι τοιαύτην τινὰ νοεῖ ὁ Γορ. καὶ τὴν ῥητορικήν· διὸ λέγει ὁ Σωκ. «τῶν τοιούτων τινά μοι δοκεῖς λέγειν τὴν ῥητορικήν». Τοῦτο συνᾴδει πρὸς τὸ προκείμενον ἐκλαμβανόμενον ὅπως ἡμεῖς τὸ ἐκλαμβάνομεν. Ὁ Ἑἶνδ. γράφει τὸ συμπερασματικὸν *ἄρ' οὖν*, ἄνευ ἐρωτήσεως. Ἀλλὰ τὸ συμπερασματικὸν *ἄρα* δὲν τίθεται ἐν ἀρχῇ προτάσεως. Ὁ Ἀστ. γράφει *ἄρ' οὖν*, ὡσαύτως ἄνευ ἐρωτ. καὶ μεταφράζει: Sane intelligo quam velis ipsam dicere. Ὁ Κορ. διορθοῖ «*ἀλλ' οὐ μανθάνω*», λέγων ὅτι τοῦτο ἀπαιτεῖ τὸ νόημα. Ἀλλὰ πρῶτον μὲν τοιαύτη ἀπόλυτος ἄρνησις κατανοήσεως τῶν λόγων τοῦ Γοργ. οὔτε ἀληθὴς εἶνε, οὔτε φιλόφρων πρὸς τὸν Γοργ. (Δὲν καταλαβαίνω τί λές!), ἔπειτα δὲ δὲν συμβιβάζεται πρὸς τὸ ἑπόμενον «τάχα δ' εἴσομαι σαφέστερον». Οὕτως ἀποφαίνεται ἐκεῖνος ὅςτις ἐμισοκατάλαβεν ἤδη.

d ***Τὰς τοιαύτας μοι δοκεῖς λέγειν, περὶ ἃς οὐ φῂς τὴν ῥητορικὴν εἶναι.*** Ἡ φράσις φαίνεται ὑπό τι ἄτοπος, ὅτι ἡ ῥητορικὴ εἶνε ἢ δὲν εἶνε *περὶ* τὰς τοιαύτας τέχνας. Ὁ Σχλεϊέρμ. προσκόπτων διορθοῖ *περὶ ἅ*· ἀλλά: *τὰς τοιαύτας περὶ ἅ*, εἶνε σόλοικον. Ὁ Σταλβ. σιγᾷ. Κατωτέρω, ἀφ' οὗ εἶπεν ὁ Σωκ. περὶ τῶν ἄλλων τεχνῶν τῶν διὰ λόγου τὸ πᾶν περαινουσῶν, ἐπιφέρει· «*τῶν τοιούτων τινά μοι δοκεῖς λέγειν τὴν ῥητορικήν*»· ἐξ οὗ δικαιούμεθα νὰ συμπεράνωμεν ὅτι καὶ ἐν τῷ προκειμένῳ τὸ *περὶ ἃς* κεῖται ἀντὶ τοῦ «*ὧν* οὐ φῂς τὴν ῥητορικὴν εἶναι», τουτέστι «δὲν τὴν συγκαταλέγεις μετὰ τῶν τεχνῶν τούτων».

Ἀλλὰ διατί εἶπε *περὶ ἃς* καὶ οὐχὶ *ὧν;* Εἶνε βραχυλογικὴ σύμπτυξις ἢ μᾶλλον σύνθλιψις δύο προτάσεων. Ἀκριβολογῶν θὰ ἔλεγεν ὧδε· «Τὰς τοιαύτας τέχνας μοι δοκεῖς λέγειν, αἵ εἰσι περὶ τοιαῦτα, περὶ ἃ οὐ φῂς εἶναι τὴν ῥητορικήν».

d ***Ἕτεραι δέ γέ εἰσι τῶν τεχνῶν κ. τ. λ.*** Ἀπορεῖται, πῶς καὶ ἡ πεττευτικὴ καταλέγεται μετὰ τῆς ἀριθμητικῆς καὶ τῆς λογιστικῆς καὶ τῆς γεωμετρίας εἰς τὰς τέχνας τὰς τὸ πᾶν διὰ λόγου περαινούσας, ἔργου δὲ οὐδενὸς ἢ βραχέος πάνυ προσδεομένας. Οἱ παλαιότεροι τῶν ἑρμηνευτῶν δὲν προέβαλον ἑαυτοῖς τὸ πρόβλημα τοῦτο. Πρῶτος ὁ Ῥίχτερος (Fleckeisens Jahrbücher 1868) ἐπέστησεν ἐπ' αὐτοῦ. Ὁ Ῥίχτερος ἰσχυρίζεται ὅτι οὔτε τέχνη ἦτο ἡ πεττευτική, ἀλλὰ παιδιά, οὔτε ἡ λέξις *πεττευτικὴ* ἀνευρίσκεται ἀλλαχοῦ ἐν τοῖς Ἑλλ. συγγραφεῦσιν, ἂν καὶ εὕρηνται πολλαχοῦ πεττεία, πεττεύειν, πεττευτής, πεττευτικός, τὰ πεττευτικά· τὸ δὲ μέγιστον, λέγει, τίς θὰ ἠδύνατο νὰ ἀρνηθῇ ὅτι καὶ οἱ ἄλλοι δύνανται νὰ πεττεύωσιν; Συμπεραίνει λοιπὸν ὁ Ῥίχτερος, ὅτι ἡ λέξις εἶνε ἐφθαρμένη, καταγελῶν τῶν μέχρι τοῦδε μακαρίως πιστευόντων ὅτι ὁ Πλ. ἔγραψε *πεττευτική*· εἰκάζει δὲ αὐτὸς ὅτι ὁ Πλ. θὰ ἔγραψεν ἢ *πιστευτικὴ* ἢ *παιδευτική*. Πρὸς τὸν Ῥίχτερον ἀντεπεξερχόμενος ὁ Κρόνιος διὰ μακρῶν, λέγει ὅτι τὸ νὰ καταλέξῃ ὁ Πλ. τὴν πιστευτικὴν ὡς τέχνην πάγκοινον (διότι τοιαύτας καταλέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γει ἐνταῦθα ὁ Πλ.) εἶνε ὅλως ἀπίστευτον· καὶ ἔχει μέγα δίκαιον. Ἀλλὰ καὶ ἡ 450 παιδευτικὴ δὲν παρέχει μεγάλην πιθανότητα. Ὁ Πλ. οὐδαμοῦ μεταχειρίζεται τὴν λέξιν (πλὴν ἅπαξ ἐν τῷ Σοφιστῇ, ὅςτις κατ' ἐμὲ δὲν εἶνε γνήσιος). Προβαίνων ὁ Κρ. δεικνύει ὅτι ἡ πεττευτικὴ ἠδύνατο νὰ ὀνομασθῇ τέχνη, διότι ἦτο περισπούδαστος διατριβὴ τοῖς ἀρχαίοις. Ἐν τῷ Φαίδρῳ 274 c, διηγεῖται περὶ τοῦ Αἰγυπτίου θεοῦ Θεῦθ τάδε· «τοῦτον δὲ πρῶτον ἀριθμόν τε καὶ λογισμὸν εὑρεῖν καὶ γεωμετρίαν καὶ ἀστρονομίαν, ἔτι δὲ πεττείας τε καὶ κυβείας καὶ δὴ καὶ γράμματα»· ἔνθα ἄξιον ἐπιστροφῆς ὅτι συγκαταλέγει πεττείας καὶ κυβείας μετὰ τῶν αὐτῶν τεχνῶν, μεθ' ὧν καὶ ἐν τῷ προκειμένῳ. Ὁμοίως ἐν τοῖς Νόμ. 820 c· «Ἔοικε γοῦν ἥ τε πεττεία καὶ ταῦτα ἀλλήλων τὰ μαθήματα (ἡ λογιστικὴ καὶ ἡ γεωμετρία) οὐ πάμπολυ κεχωρίσθαι». Ταῦτα μὲν ὁ Κρόνιος. Τούτοις δ' ἐπιπροσθέτω τὰ ἐν Πολ. 374 c, ἔνθα ἡ πεττευτικὴ ὀνομάζεται τέχνη· «ἢ οὕτω ῥᾴδιον, ὥςτε καὶ γεωργῶν τις ἅμα πολεμικὸς ἔσται, καὶ σκυτοτομῶν καὶ ἄλλην *τέχνην* ἡντινοῦν ἐργαζόμενος, πεττευτικὸς δὲ ἢ κυβευτικὸς ἱκανῶς οὐδ' ἂν εἷς γένοιτο, μὴ αὐτὸ τοῦτο ἐκ παιδὸς ἐπιτηδεύων, ἀλλὰ παρέργως χρώμενος;» ἐξ οὗ φαίνεται ὅτι κατὰ τὴν κοινὴν ὑπόληψιν καὶ τὴν τοῦ Πλ. ἡ πεττευτικὴ τέχνη ἦτο δύσκολος καὶ ἀπῄτει ἐκ παίδων μελέτην.

Ὁ Κρόνιος ἔλυσεν ἐπιτυχῶς τὸ ἓν ζήτημα, ὅτι ἡ λέξις *πεττευτικὴ* εἶνε ἡ ὑπὸ Πλ. γραφεῖσα. Ἀλλ' ἀνήκει εἰς τὰς διὰ λόγου τὸ πᾶν περαινούσας; Ἐνταῦθα διστάζει ὁ Κρόνιος, καὶ ἐκφέρει τὴν ὑποψίαν ὅτι ἡ λέξις, τεθεῖσα ὑπὸ Πλ. ἐν τῇ σειρᾷ τῆς γραφικῆς καὶ ἀνδριαντοποιΐας, μετετοπίσθη ὑπὸ τῶν ἀντιγραφέων, πιστεύει δηλ. ὅτι ἡ πεττευτικὴ ἀνήκει εἰς τὰς λόγου βραχέος ἢ καὶ οὐδενὸς προσδεομένας. Ἀλλ' οὕτως ἄνθρακες ἡμῖν ὁ θησαυρός! Τί ὠφελεῖ πρὸς κατανόησιν τῆς ὑπὸ Πλ. διαιρέσεως τῶν τεχνῶν, ἂν ἐβεβαιώθημεν ὅτι ὁ Πλ. ἔγραψε μὲν τὴν λέξιν, ἀγνοοῦμεν δὲ ποῦ τὴν ἔθεσεν;

Τὸ χωρίον λοιπὸν μένει μέχρι τοῦδε ἀνερμήνευτον. Ἂς ἀποπειραθῶμεν καὶ ἡμεῖς.

Ἡ Ἑλλ. γλῶσσα πρὸς δήλωσιν τοῦ ἐπιστήμονος καὶ διδασκαλικοῦ τέχνης τινὸς συνειθίζει νὰ προσθέτῃ τὴν κατάληξιν *-ικὸς* εἰς τὸ ἁπλοῦν τῆς τέχνης ἢ τοῦ τεχνίτου ὄνομα· ἰατρός, ἰατρικός· ῥήτωρ, ῥητορικός· τέκτων, τεκτονικός· παιδαγωγός, παιδαγωγικός· πεττευτής, πεττευτικός. Ἡ αὐτὴ διαφορὰ ὑφίσταται μεταξὺ τῶν οὐσιαστικῶν παιδαγωγία, παιδαγωγική· ἰατρεία, ἰατρική· γυμνασία, γυμναστική· γεωμετρία, γεωμετρική· πεττεία, πεττευτική. Ὅτι ὁ κανὼν δὲν εἶνε ἀνεξαίρετος, ὅτι πολλάκις λαμβάνεται τὸ ἕτερον ἀντὶ τοῦ ἑτέρου, ἢ ὅλως ἐλλείποντος, ἢ καὶ ὑπάρχοντος, ἀδιαφόρως, τοῦτο εἶνε ἴδιον πάσης γλώσσης, ἥτις δὲν δημιουργεῖται ὑπὸ Σχολῆς σοφῶν συμβουλευομένων, ἀλλ' ὑπὸ λαοῦ ὁλοκλήρου, ὁδηγουμένου μὲν ὑπὸ τοῦ ἐμφύτου αὐτῷ γλωσσικοῦ δαιμονίου, ἀλλὰ πολλάκις διὰ μικρὰν καὶ λανθάνουσαν ἀφορμὴν ῥέποντος ἐπιτάδε ἢ ἐπέκεινα.

Ὁ Πλ. ἐπὶ τοῦ προκειμένου κατατάσσων τὰς τέχνας εἰς δύο κατηγορίας καὶ ὁρίζων αὐτάς, *ἀπέβλεπε μᾶλλον εἰς τὴν διδασκαλίαν αὐτῶν ἢ τὴν πρακτικὴν ἄσκησιν, καὶ εἰς τοὺς διδάσκοντας αὐτὰς τεχνικοὺς μᾶλλον ἢ τοὺς ἀσκοῦντας τεχνίτας*. Διὰ τοῦτο καὶ δὲν εἶπε γεωμετρία ἀλλὰ γεωμετρική, οὐδὲ πεττεία ἀλλὰ πεττευτική. Ὅτι τὴν διδασκαλίαν τῶν τεχνῶν, καὶ οὐχὶ τὴν ἄσκησιν αὐτῶν, ἔχει ἐν νῷ ὁ Πλ. γίνεται πολλαχόθεν δῆλον· οἷον ἔμπροσθεν ἐν σελ. 449 d λέγει περὶ τῆς ἰατρικῆς· «Ποίους λόγους; ἆρα οἳ δηλοῦσι τοὺς κάμνοντας ὡς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

450 ἂν διαιτώμενοι ὑγιαίνοιεν;» Ἀλλὰ τούτους τοὺς λόγους προφανῶς δὲν λέγει ὁ ἰατρὸς πρὸς τοὺς κάμνοντας, ἀλλ' ὁ ἰατρικὸς ὁ διδάσκων ἄλλους τὴν ἰατρικὴν τέχνην. Ὁμοίως κατωτέρω λέγων ὅτι ἡ γυμναστικὴ περὶ λόγους ἐστὶ τοὺς περὶ εὐεξίαν τε τῶν σωμάτων καὶ καχεξίαν, δὲν νοεῖ βεβαίως τὴν ὑπὸ τοῦ *γυμναστοῦ* ἀσκουμένην τέχνην, ἀλλὰ τὴν ὑπὸ τοῦ *γυμναστικοῦ* διδασκομένην θεωρίαν τῆς γυμναστικῆς. Ἄλλως τὴν αὐτὴν ἀτοπίαν ἣν ἔχει ἡ πεττευτική, θὰ εἶχε καὶ ἡ ἰατρικὴ καὶ ἡ γυμναστική, ὁριζόμεναι τέχναι περὶ λόγους· τὴν αὐτὴν ἀτοπίαν καὶ ἡ ἀριθμητικὴ καὶ ἡ γεωμετρική, ὡς περαίνουσαι τὸ πᾶν διὰ λόγου.

Ἔτι σαφέστερον καὶ ἀμεσώτερον λέγει περὶ διδασκαλίας, οὐχὶ ἀσκήσεως τῶν τεχνῶν ἐν σελ. 453 d· «Πότερόν σοι δοκεῖ πειθὼ ποιεῖν ἡ ῥητορικὴ ἢ καὶ αἱ ἄλλαι τέχναι; Λέγω δὲ τὸ τοιόνδε· ὅστις διδάσκει ὁτιοῦν πρᾶγμα, πότερον, ὃ διδάσκει, πείθει ἢ οὔ; . . . Πάλιν δή, εἰ ἐπὶ τῶν αὐτῶν τεχνῶν ἐλέγομεν, ὧνπερ νῦν δή, ἡ ἀριθμητικὴ οὐ διδάσκει ἡμᾶς ὅσα ἐστὶ τὰ τοῦ ἀριθμοῦ, *καὶ ὁ ἀριθμητικὸς ἄνθρωπος;* — Γορ. Ναί.— Σωκ. Πειθοῦς ἄρα δημιουργός ἐστι καὶ ἡ ἀριθμητική.— Γορ. Φαίνεται.— Σωκ. Οὐκοῦν ἐάν τις ἐρωτᾷ ἡμᾶς ποίας πειθοῦς καὶ περὶ τί, ἀποκρινούμεθά που αὐτῷ, ὅτι *τῆς διδασκαλικῆς* τῆς περὶ τὸ ἄρτιόν τε καὶ περιττὸν ὅσον ἐστί· καὶ τὰς ἄλλας ἃς νῦν δὴ ἐλέγομεν τέχνας ἁπάσας (καὶ τὴν πεττευτικὴν ἄρα!) ἕξομεν ἀποδεῖξαι πειθοῦς δημιουργοὺς οὔσας, καὶ ἧς τινος (τῆς διδασκαλικῆς δηλονότι) καὶ περὶ ὅ τι».

Τέλος δὲ γίνεται καὶ ἐντεῦθεν δῆλον ὅτι περὶ διδασκαλίας τῶν τεχνῶν ὁ λόγος, ἐκ τοῦ ὅτι ὁ Γοργίας κυρίως δὲν ἦτο ῥήτωρ, ἀλλὰ ῥητορικός, δηλ. διδασκαλικὸς τῆς ῥητορικῆς· καὶ οὐχὶ ἄνευ λόγου ὁ Σωκ. εἶπε 449 d· «ῥητορικῆς γὰρ φῂς ἐπιστήμων τέχνης εἶναι, *καὶ ποιῆσαι ἂν καὶ ἄλλον ῥήτορα*». Πρὸς τὸν οὕτω ῥητορικὸν ὀρθῶς εἶχε νὰ παραβάλῃ οὐχὶ τὸν ἀριθμοῦντα ἢ γεωμετροῦντα ἢ πεττεύοντα, ἀλλὰ τὸν ἀριθμητικὸν καὶ τὸν γεωμετρικὸν καὶ τὸν πεττευτικόν, τοὺς διδασκαλικοὺς τῶν τεχνῶν τούτων. Οὕτω νοουμένου τοῦ πράγματος, ὁ ἄλαλος τοῦ Ῥιχτέρου ἐνδέχεται μὲν νὰ εἶνε ἔξοχος πεττευτής, οὐχὶ δὲ καὶ πεττευτικός.

Λείπεται ἔτι νὰ διασαφήσωμεν, πῶς, ἀφ' οὗ πρόκειται περὶ διδασκαλίας τῶν τεχνῶν, πᾶσα δὲ διδασκαλία διὰ λόγου γίνεται, ὅμως διαστέλλει τινὰς τέχνας, «ὧν τὸ πολὺ ἐργασία ἐστὶ καὶ λόγου βραχέος ἢ οὐδενὸς προσδέονται, οἷον γραφικὴ καὶ ἀνδριαντοποιία;» Λέγω λοιπὸν ὅτι διαστέλλει ἐκείνας τὰς τέχνας, αἵτινες δὲν διδάσκονται διὰ θεωρίας, ἀλλὰ διὰ πράξεως, καθ' ἃς ὁ μαθητὴς ὁρᾷ καὶ μιμεῖται τὸν διδάσκαλον. Ὁ ἄλαλος τοῦ Ῥιχτέρου ἂν ἦτο ἔξοχος ζωγράφος ἢ ἀνδριαντοποιός, θὰ ἠδύνατο νὰ ἀποδείξῃ μαθητὰς ἐπίσης ἐξόχους, ἐν ᾧ δὲν θὰ ἠδύνατο νὰ διδάξῃ ἕνα πολλαπλασιασμὸν οὐδὲ τὴν πεττείαν.

d ***οἷον ἀριθμητικὴ καὶ λογιστική.*** Ἐκ τῶν ὁρισμῶν οὓς δίδει κατωτέρω (451 c, καὶ 453 e) οὐδὲν σαφὲς προκύπτει οὔτε τί καλεῖ κυρίως ἀριθμητικήν, οὔτε τί διαφέρει τῆς λογιστικῆς. Ἐν τῷ Χαρμ. 166 a πάλιν ὁρίζει τὴν λογιστικὴν διὰ τῶν αὐτῶν λέξεων. Ἐν δὲ τῇ Πολιτείᾳ, 525 a-526 c, περιγράφει τὴν ἀριθμητικὴν ὡς ἀνώτερον μάθημα τῆς λογιστικῆς, ἄξιον τῶν φιλοσοφούντων· διότι δὲν τείνει πρὸς ὠνὴν καὶ πρᾶσιν, ἀλλὰ πρὸς γνῶσιν τῆς ἀληθείας. Ταῦτα πάντα συνδυάζοντες εἰκάζομεν ὅτι λογιστικὴ μὲν ἦτο ἡ ἡμετέρα πρακτικὴ ἀριθμητική, ἀριθμητικὴ δὲ ἡ σήμερον καλουμένη θεωρητικὴ ἀριθμητικὴ καὶ ἡ ἄλγεβρα. Ὅρα ὑποσημ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

***Οὐχ ὅτι τῷ ῥήματι οὕτως εἶπες.*** Ὅτι μὲν ἡ πλοκὴ *οὐχ ὅτι* σημαίνει 450
ἐναντίωσιν πρὸς τὰ προηγούμενα (=καίτοι ἢ καίπερ) εἶνε φανερόν. Ζητεῖται e
δὲ ἡ γένεσις αὐτῆς. Οἱ πλεῖστοι τῶν ἑρμηνευτῶν ὑπολαμβάνουσιν ὅτι εἶνε τῆς αὐτῆς καταγωγῆς καὶ ἡ ἄλλη *οὐχ ὅτι* ἡ σημαίνουσα *οὐ μόνον οὐ*, καὶ προελθοῦσα ἐκ παραλείψεως τοῦ *λέγω* = οὐ λέγω ὅτι· ἔπειτα δὲ δολιχοδρομοῦντες πειρῶνται νὰ ἀποδείξωσιν αὐτὴν εὐαρμοστοῦσαν καὶ ἐν τῷ προκειμένῳ καὶ τοῖς ὁμοίοις αὐτοῦ.

Τὸ προκείμενον *οὐχ ὅτι* ἔχει ὧδε τήν τε γένεσιν καὶ τὴν σημασίαν. Ἐπιφερόμενον πάντοτε κυρίας προτάσεως ἀποφατικῆς ἢ ἐνεχούσης ἄρνησιν, τὸ μὲν *οὐ* εἶνε ἐπανάληψις τῆς ἐν τῇ κυρίᾳ προτ. ἀρνήσεως, τὸ δὲ *ὅτι* αἰτιολογικὸν τῆς ἐναντίας τῇ κυρίᾳ προτάσει καταφατικῆς προτάσεως, διότι αὕτη ἦτο λογικῶς προσδόκιμος. Ἂς θεωρήσωμεν ταῦτα ἐφαρμοζόμενα ἐπὶ τοῦ προκειμένου καὶ τῶν ὁμοίων χωρίων. «Ἀλλ' οὔτοι τούτων γε οὐδεμίαν οἶμαί σε βούλεσθαι ῥητορικὴν καλεῖν, οὐχ ὅτι τῷ ῥήματι οὕτως εἶπες... καὶ ὑπολάβοι ἄν τις κ. τ. λ.» — «Ἀλλ' οὐκ οἶμαί σε βούλεσθαι οὐδεμίαν τούτων ῥητορικὴν καλεῖν· *οὐκ* οἶμαι τοῦτο, καίτοι δίκαιος ἦν οἴεσθαι, *ὅτι* (διότι) τῷ ῥήματι οὕτως εἶπες, καὶ ὑπολάβοι ἄν τις κ.τ.λ.». Πρωταγ. 336 d· «Σωκράτη ἐγγυῶμαι μὴ ἐπιλήσεσθαι, οὐχ ὅτι παίζει καί φησιν ἐπιλήσμων εἶναι».=«Σωκ. οὐκ ἐπιλήσεται· *οὐχ*, ὥσπερ ὑπολάβοι ἄν τις, *ὅτι* (διότι) παίζει καί φησιν ἐπιλήσμων εἶναι». Λύσ. 220 d· «Πᾶσα ἡ τοιαύτη σπουδὴ οὐκ ἐπὶ τούτοις ἐστὶν ἐσπουδασμένη, ἐπὶ τοῖς ἕνεκά του παρασκευαζομένοις, ἀλλ' ἐπ' ἐκείνῳ, οὗ ἕνεκα πάντα τὰ τοιαῦτα παρασκευάζεται· οὐχ ὅτι πολλάκις λέγομεν ὡς περὶ πολλοῦ ποιούμεθα χρυσίον καὶ ἀργύριον» = *οὐκ* ἐπὶ τούτοις ἐστὶν ἐσπουδασμένη, ὡς ἄν τις οἴοιτο, *ὅτι* (διότι) πολλάκις λέγομεν κ. τ. λ. Θεαίτ. 157 b· «οὐδὲν εἶναι ἓν αὐτὸ καθ' αὑτὸ... οὐχ ὅτι ἡμεῖς πολλὰ καὶ ἄρτι ἠναγκάσμεθα ὑπὸ συνηθείας καὶ ἀνεπιστημοσύνης χρῆσθαι αὐτῷ» = *οὐκ* ἔστιν ἓν αὐτὸ καθ' αὑτό, ὡς ἂν οἴοιτό τις, *ὅτι* (διότι) ἡμεῖς πολλὰ καὶ ἄρτι κ. τ. λ.

Ἡ ἡμετέρα γλῶσσα ἔχει ὁμοίαν φράσιν ἐν ὁμοίᾳ περιστάσει. Τὸ τοῦ Πρωταγόρου θὰ ἐξεφέρομεν ὧδέ πως· «Ἐγὼ σᾶς ἐγγυῶμαι ὅτι ὁ Σωκ. δὲν λησμονεῖ, *ὄχι ποῦ* χωρατεύει καὶ λέγει πῶς εἶνε ξεχασάρης». Καὶ τὸ προκείμενον ὧδε· «Δέν μου φαίνεται νὰ θέλῃς καμμίαν ἀπ' αὐτὰς νὰ ὀνομάσῃς ῥητορικήν, *ὄχι ποῦ* μὲ τὰ λόγια ἔτσι εἶπες πῶς ῥητορικὴ εἶνε κ. τ. λ.» Πρβλ. καὶ Münscher: «Zur Erklärung und Kritik von Plato's Gorgias» (in Freckeisen's Jahrbücher, 1870).
451

